Printed in Greece
Athens 2001

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

© Ἀποστολική Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος
Ἰασίου 1, 115 21 Ἀθήνα, τηλ. 0107228.008, fax 0107238.149
e-mail: apostoliki-diakonia@ath.forthnet.gr
http://www. apostoliki-diakonia.gr
Ἐκδοσις Α΄ 1976
Ἐκδοσις Β΄ 2001
Κ.Α. 99.02.054 ISBN 960-315-353-2
Set 960-315-290-0
ISSN 1106-5303

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΠΕΝΤΗΚΟΣΤΟΣ ΤΕΤΑΡΤΟΣ

ΒΑΣΙΛΕΙΟΣ Ο ΜΕΓΑΣ

(ΜΕΡΟΣ Δ')

Γενική Ἐπιστασία
ΚΩΝΣΤΑΝΤΙΝΟΥ Γ. ΜΠΟΝΗ Δ. Θ. καὶ Φ.
Ὁμοτίμου Καθηγητοῦ τοῦ Παν/μίου Ἀθηνῶν

Ἐπιμελητὴς ἐκδόσεως
ΗΛΙΑΣ Δ. ΜΟΥΤΣΟΥΛΑΣ
Ἐντ. Ὑφηγητὴς τοῦ Παν/μίου Ἀθηνῶν

Ἐπιμελητὴς τόμου
ΚΙΜΩΝ Γ. ΠΑΠΑΧΡΙΣΤΟΠΟΥΛΟΣ
Θεολόγος - Καθηγητὴς

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1976

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΒΑΣΙΛΕΙΟΣ Ο ΜΕΓΑΣ

(ΜΕΡΟΣ Δ')

Σελ.

ΚΕΙΜΕΝΑ.—Α' Ὁμιλίαι καὶ Λόγοι. (Κατὰ τὴν Ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca τ. 31, στ. 164-197, 217-261, 304-564 καὶ 586-617) 11

Περὶ νηστείας, λόγος Α' 11

Περὶ νηστείας, λόγος Β' 21

Εἰς τὸ «Πρόσεχε σεαυτῷ». (Κατὰ τὴν ἔκδοσιν τοῦ Stig Y. Rudberg, L' homélie de Basile sur le mot «Observe-toi toi meme», Stockholm-Upsal 1962) 28

Περὶ Εὐχαριστίας 38

Εἰς τὴν μάρτυρα Ἰουλίτταν καὶ εἰς τὰ λειπόμενα τῆς προλεχθείσης ὁμιλίας τῆς περὶ Εὐχαριστίας 47

Εἰς τὸ ῥητὸν τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου «καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω καὶ περὶ πλεονεξίας. (Κατὰ τὴν ἔκδοσιν τοῦ Yves Courtonne, Saint Basile Homélies sur la richesse, Paris 1935 pp. 15-37) 58

Πρὸς τοὺς πλουτοῦντας. (Κατὰ τὴν ἔκδοσιν τοῦ Yves Courtonne, Saint Basile Homélies sur la richesse, Paris 1935 pp. 39-71). 66

Ἐν λιμῷ καὶ αὐχμῷ 77

Ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεὸς 88

Κατὰ ὀργιζομένων 100

Περὶ φθόνου 109

Εἰς τὴν ἀρχὴν τῶν Παροιμιῶν 116

Προτρεπτικὴ εἰς τὸ ἅγιον Βάπτισμα 133

Κατὰ μεθυόντων 142

Περὶ πίστεως 152

Εἰς τὸ «ἐν ἀρχῇ ἦν ὁ Λόγος» 157

Εἰς Βαρλαὰμ τὸν μάρτυρα 161

Εἰς Γόρδιον τὸν μάρτυρα 165

Εἰς τοὺς ἁγίους Τεσσαράκοντα μάρτυρας 172

Περὶ ταπεινοφροσύνης 180

Περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς καὶ περὶ τοῦ γενομένου ἐμπρησμοῦ ἔξωθεν τῆς ἐκκλησίας 187

Πρὸς τοὺς νέους, ὅπως ἂν ἐξ ἑλληνικῶν ὠφελοῖντο λόγων. (Κατὰ τὴν ἔκδοσιν τοῦ F. Boulenger, Aux jeunes gens, sur la maniè-re de tirer profit des lettres helléniques, Paris 1935 pp. 41-61). 199

Σελ.

Εἰς τὸν ἅγιον μάρτυρα Μάμαντα 212

Κατὰ Σαβελλιανῶν καὶ Ἀρείου καὶ τῶν Ἀνομοίων 217

Β' Ὁμιλία εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν. (Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 31 στ. 1457-1473) 226

Ὁμιλία εἰς τοὺς συκοφαντοῦντας ἡμᾶς ὅτι τρεῖς θεοὺς λέγομεν. (Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca τ. 31 στ. 1488-1496) 234

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ 239

ΠΙΝΑΞ ΕΞΩΒΙΒΛΙΚΩΝ ΧΩΡΙΩΝ 247

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ 249

ΒΑΣΙΛΕΙΟΣ Ο ΜΕΓΑΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ

ΟΜΙΛΙΑΙ ΚΑΙ ΛΟΓΟΙ *

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ

ΛΟΓΟΣ Α'

[164] 1. «Σαλπίσατε» φησίν, «ἐν νεομηνίᾳ σάλπιγγι ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν»[1]. Τοῦτο πρόσταγμά ἐστι προφητικόν. Ἡμῖν δὲ πάσης σάλπιγγος μεγαλοφωνότερον καὶ παντὸς ὀργάνου μουσικοῦ εὐσημότερον, τὴν προάγουσαν τῶν ἡμερῶν ἑορτὴν ὑποσημαίνει τὰ ἀναγνώσματα. Ἐγνωρίσαμεν γὰρ τῶν νηστειῶν τὴν χάριν ἐκ τοῦ Ἡσαΐου, τὸν μὲν Ἰουδαϊκὸν τῆς νηστείας τρόπον παρωσαμένου, τὴν δὲ ἀληθινὴν νηστείαν ἡμῖν παραδείξαντος. «Μὴ εἰς κρίσεις καὶ μάχας νηστεύετε[2], ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας»[3]. Καὶ ὁ Κύριος· μὴ γίνεσθε σκυθρωποί, ἀλλὰ νίψαι σου τὸ πρόσωπον καὶ ἄλειψαί σου τὴν κεφαλήν[4]. Διατεθῶμεν ταίνυν, ὡς ἐδιδάχθημεν, μὴ κατασκυθρωπάζοντες ἐπὶ ταῖς προσιούσαις ἡμέραις, ἀλλὰ φαιδρῶς πρὸς αὐτάς, ὡς πρέπει ἁγίοις[5], διατιθέμενοι. Οὐδεὶς ἀθυμῶν στεφανοῦται· οὐδεὶς στυγνάζων τρόπαιον ἵστησι. Μὴ σκυθρωπάσῃς θεραπευόμενος. Ἄτοπον μὴ χαίρειν ἐπὶ ὑγείᾳ ψυχῆς, ἀλλὰ λυπεῖσθαι ἐπὶ βρωμάτων ὑπαλλαγῇ καὶ πλείονα χάριν φαίνεσθαι διδόντας ἡδονῇ γαστρὸς ἢ ἐπιμελείᾳ ψυχῆς. Κόρος μὲν γὰρ εἰς γαστέρα τὴν χάριν ἵστησι· νηστεία δὲ πρὸς ψυχὴν ἀναβιβάζει τὸ **[165]** κέρδος. Εὐθύμησον, ὅτι σοι δέδοται παρὰ τοῦ ἰατροῦ φάρμακον ἁμαρτίας ἀναιρετικόν. Ὥσπερ γὰρ οἱ ἐν τοῖς ἐγκάτοις τῶν παίδων ζωογονούμενοι σκώληκες φαρμάκοις τισὶ δριμυτάτοις ἐξαφανίζονται, οὕτως ἁμαρτίαν, ὑποικουροῦσαν τῷ βάθει, ἐναποκτείνει τῇ ψυχῇ ἐπεισελθοῦσα νηστεία, ἤγε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἄξια.

2. Ἄλειψαί σου τὴν κεφαλὴν καὶ νίψαι τὸ πρόσωπον[6]. Ἐπὶ μυστήριά σε καλεῖ ὁ λόγος. Ὁ ἀλειψάμενος ἐχρίσατο· ὁ νιψάμενος ἀπε-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca τ. 31 στ. 164-197, 217-261, 304-564 καὶ 589-617. Εἰς τὰς διορθώσεις ἐλήφθη ὑπ' ὄψιν ἡ ἔκδοσις τοῦ J. Garnier (Paris 1889).

1. Ψαλ. 80,4. 2. Πρβλ. Ἡσ. 58,4. 3. Ἡσ. 58,6. 4. Πρβλ. Ματθ. 6,16-17. 5. Πρβλ. Ἐφ. 5,3. 5. Πρβλ. Ματθ. 6,17.

πλύνατο. Ἐπὶ τὰ ἔνδον λάμβανε τῶν μελῶν τὴν νομοθεσίαν. Ἀπόπλυνε τὴν ψυχὴν ἁμαρτημάτων. Χρῖσαι τὴν κεφαλὴν χρίσματι ἁγίῳ, ἵνα μέτοχος γένῃ Χριστοῦ καὶ οὕτω πρόσελθε τῇ νηστείᾳ. Μὴ ἀφανίσῃς τὸ πρόσωπόν σου ὥσπερ οἱ ὑποκριταί[1]. Ἀφανίζεται πρόσωπον, ὅταν ἡ ἔνδον διάθεσις ἐπιπλάστῳ σχήματι τῷ ἔξωθεν ἐπισκοτῆται, ὥσπερ ὑπὸ παραπετάσματι τῷ ψεύδει καλυπτομένη. Ὑποκριτής ἐστιν ὁ ἐν θεάτρῳ ἀλλότριον πρόσωπον ὑπελθών· δοῦλος ὤν, πολλάκις τὸ τοῦ δεσπότου καὶ ἰδιώτης, τὸ τοῦ βασιλέως. Οὕτω καὶ ἐν τῷ βίῳ τούτῳ, ὥσπερ ἐπὶ ὀρχήστρας τῆς ἑαυτῶν ζωῆς οἱ πολλοὶ θεατρίζουσιν, ἄλλα μὲν ἐν τῇ καρδίᾳ φέροντες, ἄλλα δὲ ἐν τῇ ἐπιφανείᾳ τοῖς ἀνθρώποις δεικνύντες. Μὴ ἀφάνιζε οὖν τὸ πρόσωπον. Οἷος εἶ, τοιοῦτος φαίνου· μὴ κατασχηματίζου σεαυτὸν πρὸς τὸ σκυθρωπόν, τὴν ἐκ τοῦ δοκεῖν ἐγκρατὴς εἶναι δόξαν θηρώμενος. Οὔτε γὰρ εὐποιΐας σαλπιζομένης ὄφελος καὶ νηστείας δημοσιευομένης κέρδος οὐδέν. Τὰ γὰρ ἐπιδεικτικῶς γινόμενα οὐ πρὸς τὸν αἰῶνα τὸν μέλλοντα τὸν καρπὸν ἐκτείνει, ἀλλ' εἰς τὸν τῶν ἀνθρώπων ἔπαινον καταστρέφει. Πρόσδραμε τοίνυν φαιδρῶς τῇ δωρεᾷ τῆς νηστείας. Ἀρχαῖον δῶρον ἡ νηστεία· οὐ παλαιούμενον καὶ γηράσκον, ἀλλ' ἀνανεούμενον ἀεὶ καὶ εἰς ἀκμὴν ἐπανθοῦν.

3. Οἴει με τὴν ἀρχαιογονίαν αὐτῆς ἀπὸ τοῦ νόμου τίθεσθαι; Καὶ νόμου πρεσβυτέρα νηστεία. Ἐὰν μικρὸν ἀναμείνῃς, εὑρήσεις τοῦ λόγου τὴν ἀλήθειαν. Μὴ οἶου τὴν ἡμέραν τοῦ ἱλασμοῦ, τὴν διατεταγμένην τῷ Ἰσραὴλ τῷ ἑβδόμῳ μηνί, τῇ δεκάτῃ ἡμέρᾳ τοῦ μηνός[2], ταύτην εἶναι τῆς νηστείας τὴν ἀρχήν. Δεῦρο δὴ διὰ τῆς ἱστορίας βαδίζων, ἀνερεύνησον τὴν ἀρχαιογονίαν αὐτῆς. Οὐ γὰρ νεώτερον τὸ ἐφεύρεμα· πατέρων ἐστὶ τὸ κειμήλιον. Πᾶν τὸ ἀρχαιότητι διαφέρον, αἰδέσιμον. Δυσωπήθητι τὴν πολιὰν τῆς νη[168]στείας. Συνηλικιώτις ἐστὶ τῆς ἀνθρωπότητος· νηστεία ἐν τῷ παραδείσῳ ἐνομοθετήθη. Τὴν πρώτην ἐντολὴν ἔλαβεν Ἀδάμ· «ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε»[3]. Τὸ δέ, «οὐ φάγεσθε», νηστείας ἐστὶ καὶ ἐγκρατείας νομοθεσία. Εἰ ἐνήστευσεν ἀπὸ τοῦ ξύλου ἡ Εὔα, οὐκ ἂν ταύτης νῦν ἐδεόμεθα τῆς νηστείας. «Οὐ γὰρ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες»[4]. Ἐκακώθημεν διὰ τῆς ἁμαρτίας· ἰαθῶμεν διὰ τῆς μετανοίας· μετάνοια δὲ χωρὶς νηστείας ἀργή. «Ἐπικατάρατος ἡ γῆ»[5], «ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι»[6]. Στυγνάζειν προσετάχθης, μὴ γὰρ τρυφᾷν. Διὰ νηστείας ἀπολόγησαι τῷ Θεῷ. Ἀλλὰ καὶ ἡ ἐν παραδείσῳ διαγωγὴ νηστείας ἐστὶν εἰκών, οὐ μόνον καθότι τοῖς ἀγγέλοις ὁμοδίαιτος ὢν ὁ ἄνθρωπος, διὰ τῆς ὀλιγαρκίας τὴν πρὸς αὐτοὺς ὁμοίωσιν κατώρθου, ἀλλ' ὅτι καὶ ὅσα ὕστερον ἡ ἐπίνοια τῶν ἀνθρώπων ἐξεῦρεν, οὕπω τοῖς ἐν ἐν τῷ παραδείσῳ διαιτωμένοις ἐπε-

1. Πρβλ. Ματθ. 6,16. 2. Πρβλ. Λευϊτ. 16,29. 23,27. 3. Γεν. 2,17. 4. Ματθ. 9,12. 5. Γεν. 3,17. 6. Γεν. 3,18.

νενόητο· οὔπω οἰνοποσίαι, οὔπω ζωοθυσίαι, οὐχ ὅσα τὸν νοῦν ἐπιθολοῖ τὸν ἄνθρωπινον.

4. Ἐπειδὴ οὐκ ἐνηστεύσαμεν, ἐξεπέσομεν τοῦ παραδείσου· νηστεύσωμεν τοίνυν, ἵνα πρὸς αὐτὸν ἐπανέλθωμεν. Οὐχ ὁρᾷς τὸν Λάζαρον[1], πῶς διὰ νηστείας εἰσῆλθεν εἰς τὸν παράδεισον; Μὴ μιμήσῃ τῆς Εὔας τὴν παρακοήν[2], μὴ πάλιν σύμβουλον παραδέξῃ τὸν ὄφιν, φειδοῖ τῆς σαρκὸς τὴν βρῶσιν ὑποτιθέμενον. Μὴ προφασίζου ἀρρωστίαν σώματος καὶ ἀδυναμίαν. Οὐ γὰρ ἐμοὶ τὰς προφάσεις, ἀλλὰ τῷ εἰδότι λέγεις. Νηστεύειν οὐ δύνασαι (εἰπέ μοι); κορέννυσθαι δὲ διὰ βίου καὶ συντρίβειν τὸ σῶμα τῷ βάρει τῶν ἐσθιομένων δύνασαι; Καὶ μὴν τοῖς ἀσθενοῦσιν οὐχὶ βρωμάτων ποικιλίαν, ἀλλ' ἀσιτίαν καὶ ἔνδειαν οἶδα τοὺς ἰατροὺς ἐπιτάσσοντας. Πῶς οὖν ὁ ταῦτα δυνάμενος, ἐκεῖνα προφασίζῃ μὴ δύνασθαι; Τί εὐκοπώτερον τῇ γαστρί; λιτότητι διαίτης παρενεγκεῖν τὴν νύκτα, ἢ δαψιλείᾳ βρωμάτων βεβαρημένην κεῖσθαι; μᾶλλον δὲ μηδὲ κεῖσθαι, ἀλλὰ πυκνὰ μεταστρέφεσθαι διαρρηγνυμένην καὶ στένουσαν; εἰ μὴ καὶ τοὺς κυβερνήτας φήσεις βαρυνομένην τοῖς ἀγωγίμοις ὁλκάδα εὐκολώτερον σῴζειν τῆς εὐσταλεστέρας καὶ κούφης. Τὴν μὲν γὰρ πεπιεσμένην τῷ πλήθει βραχεῖα κύματος ἐπανάστασις κατεβάπτισεν, ἡ δὲ συμμέτρως τῶν ἀγωγίμων ἔχουσα ῥᾳδίως ὑπεραίρει τοῦ κλύδωνος, οὐδενὸς ἐμποδίζοντος αὐτὴν ὑψηλοτέραν γενέσθαι. Καὶ τοίνυν τὰ τῶν ἀνθρώπων σώματα, συνεχεῖ μὲν τῷ κόρῳ καταβαρυνόμενα, εὐκόλως ὑποβρύχια ταῖς ἀρρωστίαις γίνεται· εὐσταλεῖ δὲ καὶ κούφῃ τῇ τροφῇ κεχρημένα καὶ τὸ προσδοκώμενον ἐκ νόσου κακὸν **[169]** ὥσπερ χειμῶνος ἐπανάστασιν ὑπεξέφυγε καὶ τὸ ἤδη παρὸν ὀχληρὸν ὥσπερ τινὰ σπιλάδος ἐπιδρομὴν διεκρούσατο. Ἥπου καὶ τὸ ἡσυχάζειν κατὰ σὲ τοῦ τρέχειν ἐπιπονώτερον καὶ τοῦ παλαίειν τὸ ἡρεμεῖν· εἴπερ οὖν καὶ τὸ τρυφᾶν τοῦ λιτῶς διαιτᾶσθαι τοῖς ἀσθενοῦσι φῆς εἶναι καταλληλότερον. Ἡ γὰρ οἰκονομοῦσα τὸ ζῷον δύναμις αὐτάρκειαν μὲν καὶ λιτότητα ῥᾳδίως κατειργάσατο καὶ ᾠκείωσε τῷ τρεφομένῳ· πολυτέλειαν δὲ καὶ ποικιλίαν βρωμάτων παραλαβοῦσα, εἶτα ἀντισχεῖν πρὸς τὸ πέρας οὐκ ἐξαρκέσασα, τὰ ποικίλα γένη τῶν νοσημάτων ἐποίησεν.

5. Ἀλλ' ἐπὶ τὴν ἱστορίαν βαδιζέτω ὁ λόγος, τὸ ἀρχαῖον τῆς νηστείας διεξιών· καὶ ὅπως πάντες οἱ ἅγιοι, ὥσπερ τινὰ κλῆρον πατρῷον διαδεξάμενοι, οὕτω διεφύλαξαν, πατὴρ παιδὶ παραδιδόντες· ὅθεν καὶ εἰς ἡμᾶς ἀκολουθίᾳ διαδοχῆς διεσώθη τὸ κτῆμα. Οὐκ ἦν ἐν τῷ παραδείσῳ οἶνος, οὔπω ζωοθυσίαι, οὔπω κρεωφαγίαι. Μετὰ τὸν κατακλυσμὸν οἶνος· μετὰ τὸν κατακλυσμόν, φάγεσθε, πάντα ὡς λάχανα χόρτου[3]. Ὅτε ἀπεγνώσθη ἡ τελείωσις, τότε συνεχωρήθη ἡ ἀπόλαυσις. Δεῖγμα δὲ τῆς τοῦ οἴνου ἀπειρίας Νῶε ἀγνοῶν τοῦ οἴνου τὴν χρῆσιν. Οὔπω γὰρ εἰς τὸν βίον παρεληλύθει, οὐδ' ἐτέτριπτο ἐν τῇ συνηθείᾳ

1. Πρβλ. Λουκ. 16,20-31. 2. Πρβλ. Γεν. 3,6. 3. Πρβλ. Γεν. 9,3.

τῇ τῶν ἀνθρώπων. Οὔτε οὖν ἄλλον τεθεαμένος, οὔτε αὐτὸς πειραθείς, τῇ ἀπ' αὐτοῦ βλάβῃ περιέπεσεν ἀφυλάκτως· ἐφύτευσε γὰρ ἄμπελον Νῶε καὶ ἔπιεν ἀπὸ τοῦ καρποῦ καὶ ἐμεθύσθη[1]· οὐχὶ τῷ πάροινος εἶναι, ἀλλὰ τῷ ἄπειρος εἶναι τῶν μέτρων τῆς μεταλήψεως. Οὕτω νεαρώτερον παραδείσου τὸ εὕρημα τῆς οἰνοποσίας καὶ οὕτως ἀρχαῖον τὸ τῆς νηστείας σεμνόν. Ἀλλὰ καὶ Μωυσέα διὰ νηστείας ἔγνωμεν προσβαλόντα τῷ ὄρει[2]. Οὐ γὰρ ἂν κατετόλμησε καπνιζομένης τῆς κορυφῆς, οὐδ' ἂν ἐθάρσησεν εἰσελθεῖν εἰς τὸν γνόφον, εἰ μὴ νηστείᾳ καθώπλιστο. Διὰ νηστείας τὴν ἐντολὴν ὑπεδέξατο δακτύλῳ Θεοῦ γραφεῖσαν ἐν ταῖς πλαξί[3]. Καὶ ἄνω μὲν ἡ νηστεία νομοθεσίας πρόξενος ἦν, κάτω δὲ ἡ γαστριμαργία εἰς εἰδωλολατρίαν ἐξέμηνεν· «ἐκάθισε γὰρ ὁ λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν»[4]. Τεσσαράκοντα ἡμερῶν προσεδρίαν νηστεύοντος καὶ δεομένου τοῦ θεράποντος ἄχρηστον ἀπέδειξεν οἰνοφλυγία μία. Ἃς γὰρ ἡ νηστεία ἔλαβε πλάκας δακτύλῳ Θεοῦ γεγραμμένας, ταύτας ἡ μέθη συνέτριψεν, οὐκ ἄξιον κρίναντος τοῦ προφήτου μεθύοντα λαὸν νομοθετεῖσθαι παρὰ τοῦ Θεοῦ. Ἐν μιᾷ καιροῦ ῥοπῇ, διὰ γαστριμαργίας ὁ λαὸς ἐκεῖνος, ὁ τὸν Θεὸν διὰ τῶν μεγίστων τεραστίων δεδιδαγμένος, εἰς τὴν Αἰγυπτίων εἰδωλομανίαν ἐξεκυλίσθη. Παράλληλα θὲς ἀμφότερα· πῶς νηστεία Θεῷ προσάγει, [172] καὶ πῶς τρυφὴ τὴν σωτηρίαν προδίδωσι. Κατάβα ὁδῷ βαδίζων ἐπὶ τὰ κάτω.

6. Τί τὸν Ἡσαῦ ἐβεβήλωσε καὶ δοῦλον ἐποίησε τοῦ ἀδελφοῦ; Οὐ βρῶσις μία, δι' ἣν ἀπέδοτο τά πρωτοτόκια[5]; Τὸν δὲ Σαμουὴλ οὐχ ἡ μετὰ νηστείας προσευχὴ ἐχαρίσατο τῇ μητρί[6]; Τί τὸν μέγαν ἀριστέα τὸν Σαμψὼν ἀκαταγώνιστον ἀπειργάσατο; Οὐχ ἡ νηστεία, μεθ' ἧς ἐν τῇ γαστρὶ τῆς μητρὸς συνελήφθη[7]; Νηστεία αὐτὸν ἐκύησε· νηστεία αὐτὸν ἐτιθηνήσατο· νηστεία αὐτὸν ἤνδρωσεν, ἣν ὁ ἄγγελος διετάξατο τῇ μητρί· ὅσα ἐκπορεύεται ἐξ ἀμπέλου, οὐ μὴ φάγῃ καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ[8]. Νηστεία προφήτας γεννᾷ, δυνατοὺς ῥώννυσι· νηστεία νομοθέτας σοφίζει, ψυχῆς ἀγαθὸν φυλακτήριον, σώματι σύνοικος ἀσφαλής, ὅπλον ἀριστεύουσιν, ἄθλησις γυμνάσιον. Τοῦτο πειρασμοὺς ἀποκρούεται τοῦτο ἀλείφει πρὸς εὐσέβειαν, νήψεως σύνοικος, σωφροσύνης δημιουργός. Ἐν πολέμοις ἀνδραγαθεῖ, ἐν εἰρήνῃ ἡσυχίαν διδάσκει. Τὸν Ναζιραῖον ἁγιάζει, τὸν ἱερέα τελειοῖ. Οὐ γὰρ δυνατὸν ἄνευ νηστείας ἱερουργίας κατατολμῆσαι, οὐ μόνον ἐν τῇ μυστικῇ νῦν καὶ ἀληθινῇ λατρείᾳ ἀλλὰ καὶ ἐν τῇ τυπικῇ τῇ κατὰ τὸν νόμον προσαγομένῃ. Αὕτη θεατὴν ἐποίησε τοῦ μεγάλου θεάματος τὸν Ἠλίαν· τεσσαράκοντα γὰρ ἡμέραις νηστείᾳ τὴν ψυχὴν ἀποκαθάρας, οὕτως ἐν τῷ σπηλαίῳ τῷ ἐν Χωρὴβ ἰδεῖν κατηξιώθη, ὡς δυνατόν ἐστιν

1. Πρβλ. Γεν. 9,20-21. 2. Πρβλ. Ἐξ. 24,18. 3. Πρβλ. Ἐξ. 31,18. 4. Ἐξ. 32,6. 5. Πρβλ. Γεν. 25,30-34. 6. Πρβλ. Α' Βασ. 1,11-13. 7. Πρβλ. Κριτ. 13,4-5. 8. Πρβλ. Κριτ. 13,14.

ἰδεῖν ἀνθρώπῳ, τὸν Κύριον[1]. Νηστεύων ἀπέδωκε τῇ χήρᾳ τὸν παῖδα, ἰσχυρὸς φανεὶς κατὰ τοῦ θανάτου διὰ νηστείας[2]. Ἀπὸ νηστεύοντος στόματος φωνὴ ἐξελθοῦσα ἀπέκλεισε τῷ παρανομοῦντι λαῷ τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἕξ[3]. Ἵνα γὰρ μαλάξῃ τὴν ἀδάμαστον καρδίαν τῶν σκληροτραχήλων, εἵλετο καὶ ἑαυτὸν τῇ κακοπαθείᾳ συγκαταδικάσαι. Διὰ τοῦτο, ζῇ Κύριος, ἔφη, εἰ ἔσται ὕδωρ ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ στόματός μου[4]. Καὶ ἐπήγαγε παντὶ τῷ λαῷ νηστείαν διὰ τοῦ λιμοῦ, ὥστε τὴν ἐκ τῆς τρυφῆς καὶ τοῦ ἀνειμένου βίου κακίαν ἐπανορθώσασθαι. Ἐλισσαίῳ δὲ ποταπὸς ὁ βίος; πῶς μὲν παρὰ τῇ Σουναμίτιδι τῆς ξενίας ἀπέλαυσε[5]; πῶς δὲ αὐτὸς τοὺς προφήτας ἐδεξιοῦτο; Οὐχὶ λάχανα ἄγρια καὶ ἁλεύρου βραχὺ τὴν φιλοξενίαν ἐπλήρου; ὅτε, καὶ τῆς τολύπης συμπαραληφθείσης, κινδυνεύειν ἔμελλον οἱ ἀψάμενοι, εἰ μὴ τῇ εὐχῇ τοῦ νηστευτοῦ ἠμαυρώθη **[173]** τὸ δηλητήριον[6]. Καὶ ἁπαξαπλῶς εὕροις ἂν τὴν νηστείαν πάντας τοὺς ἁγίους εἰς τὴν κατὰ Θεὸν πολιτείαν χειραγωγήσασαν. Ἔστι τις φύσις σώματος, ἣν καλοῦσιν ἀμίαντον, ἀνάλωτος πυρί, ἥτις, ἐν μὲν τῇ φλογὶ κειμένη, ἀπηνθρακῶσθαι δοκεῖ, ἐξαιρεθεῖσα δὲ τοῦ πυρός, ὡς ὕδατι λαμπρυνθεῖσα καθαρωτέρα γίνεται. Τοιαῦτα ἦν τὰ τῶν τριῶν παίδων ἐκείνων σώματα ἐπὶ τῆς Βαβυλωνίας ἐκ τῆς νηστείας ἔχοντα τὸ ἀμίαντον[7]. Ἐν γὰρ τῇ μεγάλῃ φλογὶ τῆς καμίνου, οἱονεὶ χρυσοῖ τὴν φύσιν ὄντες, οὕτω κρείττους τῆς ἀπὸ τοῦ πυρὸς διεδείκνυντο βλάβης[8]. Ἦπου καὶ χρυσοῦ δυνατώτεροι διεδείκνυντο· οὐ γὰρ ἐχώνευεν αὐτοὺς τὸ πῦρ, ἀλλ' ἐφύλασσεν ἀκεραίους. Καίτοι οὐδὲν ἂν ἐκείνην τότε τὴν φλόγα ὑπέστη, ἣν νάφθα καὶ πίσσα καὶ κληματίδες ἔτρεφον, ὡς ἐπὶ τεσσαρακονταενέα πήχεις αὐτὴν διαχεῖσθαι καὶ τὰ κύκλῳ αὐτῆς ἐπινεμομένην πολλοὺς τῶν Χαλδαίων ἐξαναλῶσαι[9]. Ἐκείνην τοίνυν τὴν πυρκαϊὰν μετὰ νηστείας εἰσελθόντες κατεπάτουν οἱ παῖδες, λεπτὸν ἀέρα καὶ ἔνδροσον[10] ἐν οὕτω λάβρῳ πυρὶ ἀναπνέοντες. Οὐδὲ γὰρ τῶν τριχῶν τὸ πῦρ κατετόλμησε, διὰ τὸ ὑπὸ νηστείας αὐτὰς ἐκτραφῆναι.

7. Δανιὴλ δὲ ὁ «ἀνὴρ τῶν ἐπιθυμιῶν»[11], ὁ τρεῖς ἑβδομάδας ἄρτον μὴ φαγὼν καὶ ὕδωρ μὴ πιὼν[12] καὶ τοὺς λέοντας νηστεύειν ἐδίδαξε, κατελθὼν εἰς τὸν λάκκον[13]. Ὥσπερ γὰρ ἐκ λίθου ἢ χαλκοῦ, ἢ ἄλλης στερροτέρας τινὸς ὕλης συμπεπηγότι, ἐμβαλεῖν οὐκ εἶχον τοὺς ὀδόντας οἱ λέοντες. Οὕτως οἱονεὶ βαφὴ σιδήρου τὸ σῶμα τοῦ ἀνδρὸς ἡ νηστεία στομώσασα, ἀδάμαστον ἐποίει τοῖς λέουσιν· οὐ γὰρ ἠνοιγον κατὰ τοῦ ἁγίου τὸ στόμα. Νηστεία ἔσβεσε δύναμιν πυρός, ἔφραξε στόματα λεόντων[14]. Νηστεία προσευχὴν εἰς οὐρανὸν ἀναπέμπει, οἱονεὶ πτερὸν αὐτῇ γινομένη πρὸς τὴν ἄνω πορείαν. Νηστεία οἴκων αὔξησις, ὑγείας μήτηρ,

1. Πρβλ. Γ' Βασ. 19,8-13. 2. Πρβλ. Γ' Βασ. 17,23. 3. Πρβλ. Ἰακ. 5,17. 4. Πρβλ. Γ' Βασ. 17,1. 5. Πρβλ. Δ' Βασ. 4,8. 6. Πρβλ. Δ' Βασ. 4,38-44. 7. Πρβλ. Δαν. 1,8-16. 8. Πρβλ. Δαν. 3,94. 9. Πρβλ. Δαν. 3,47-48. 10. Πρβλ. Δαν. 3,50. 11. Δαν. (Θδτ.) 9,23. 12. Πρβλ. Δαν. 10,2-3. 13. Πρβλ. Δαν. 6,18-19. 14. Πρβλ. Ἑβρ. 11,33-34.

νεότητος παιδαγωγός, κόσμος πρεσβύταις, ἀγαθὴ συνέμπορος ὁδοιπόροις, ἀσφαλὴς ὁμόσκηνος τοῖς συνοίκοις. Οὐχ ὑποπτεύει γάμων ἐπιβουλὴν ὁ ἀνήρ, νηστείαις ὁρῶν τὴν γυναῖκα συζῶσαν. Οὐ τήκεται ζηλοτυπίαις γυνή, τὸν ἄνδρα βλέπουσα νηστείαν καταδεχόμενον. Τίς τὸν ἑαυτοῦ οἶκον ἠλάττωσεν ἐν νηστείᾳ; Ἀρίθμησον **[176]** σήμερον τὰ ἔνδον καὶ ἀρίθμησον μετὰ ταῦτα· οὐδὲν διὰ τὴν νηστείαν λείψει τῶν ἐν τῷ οἴκῳ. Οὐδὲν ζῷον ὀδύρεται θάνατον, οὐδαμοῦ αἷμα, οὐδαμοῦ ἀπόφασις παρὰ τῆς ἀπαραιτήτου γαστρὸς ἐκφερομένη κατὰ τῶν ζώων. Πέπαυται μαγείρων ἡ μάχαιρα· ἡ τράπεζα ἀρκεῖται τοῖς αὐτομάτοις. Τὸ Σάββατον ἐδόθη τοῖς Ἰουδαίοις, ἵνα ἀναπαύσηται, φησί, τὸ ὑποζύγιόν σου καὶ ὁ παῖς σου[1]. Γινέσθω ἡ νηστεία ἀνάπαυσις ἐκ τῶν συνεχῶν πόνων τοῖς διὰ τοῦ ἐνιαυτοῦ παντὸς ὑπηρετοῦσιν οἰκέταις. Ἀνάπαυσόν σου τὸν μάγειρον, δὸς ἄδειαν τῷ τραπεζοποιῷ· στῆσον τὴν χεῖρα τῷ οἰνοχόῳ· παυσάσθω ποτὲ καὶ ὁ τὰς ποικιλίας τῶν πεμμάτων ἐπιτηδεύων. Ἡσυχασάτω ποτὲ καὶ ὁ οἶκος ἀπὸ τῶν μυρίων θορύβων καὶ τοῦ καπνοῦ καὶ τῆς κνίσσης καὶ τῶν ἄνω καὶ κάτω διατρεχόντων καὶ οἱονεὶ ἀπαραιτήτῳ δεσποίνῃ τῇ γαστρὶ λειτουργούντων. Πάντως ποτὲ καὶ οἱ φορολόγοι τοῖς ὑποχειρίοις ἐλευθεριάσαι μικρὸν ἐπιτρέπουσι. Δότω τινὰ ἐκεχειρίαν καὶ ἡ γαστὴρ τῷ στόματι, σπεισάσθω ἡμῖν πενθημέρους σπονδάς, ἡ ἀεὶ ἀπαιτοῦσα καὶ οὐδέποτε λήγουσα, ἡ λαμβάνουσα σήμερον καὶ αὔριον ἐπιλανθανομένη. Ὅταν ἐμπλησθῇ, περὶ ἐγκρατείας φιλοσοφεῖ· ὅταν διαπνευσθῇ, ἐπιλανθάνεται τῶν δογμάτων.

8. Νηστεία δανείου φύσιν οὐκ οἶδεν· οὐκ ὄζει τόκων τράπεζα τοῦ νηστεύοντος· οὐκ ἄγχουσιν ὀρφανὸν νηστευτοῦ παῖδα τόκοι πατρῷοι, ὥσπερ ὄφεις περιπλεκόμενοι. Καὶ ἄλλως δὲ ἀφορμὴ εἰς εὐφροσύνην ἐστὶ τὸ νηστεύειν. Ὡς γὰρ ἡ δίψα ἡδὺ τὸ ποτὸν εὐτρεπίζει καὶ λιμὸς ἡγησάμενος ἡδεῖαν παρασκευάζει τὴν τράπεζαν, οὕτω καὶ τὴν τῶν βρωμάτων ἀπόλαυσιν νηστεία φαιδρύνει. Μέσην γὰρ ἑαυτὴν παρενθεῖσα καὶ τὸ συνεχὲς τῆς τρυφῆς διακόψασα, ποθεινήν σοι τὴν μετάληψιν φανῆναι ποιήσει ὥσπερ ἀπόδημον. Ὥστε, εἰ βούλει σεαυτῷ ἐπιθυμητὴν κατασκευάσαι τὴν τράπεζαν, δέξαι τὴν ἐκ τῆς νηστείας μεταβολήν. Σὺ δέ, ὑπὸ τοῦ σφόδρα τῆς τρυφῆς περιέχεσθαι, λέληθας σεαυτῷ ἀμαυρῶν τὴν τρυφὴν καὶ ὑπὸ φιληδονίας τὴν ἡδονὴν ἀφανίζων. Οὐδὲν γὰρ οὕτως ἐπιθυμητὸν ὡς μὴ τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι. Ὧν δὲ σπανία ἡ κτῆσις, τούτων περισπούδαστος ἡ ἀπόλαυσις. Οὕτω καὶ ὁ κτίσας ἡμᾶς, διὰ τῆς κατὰ τὸν βίον ἐναλλαγῆς παραμένειν ἡμῖν τὴν χάριν τῶν δεδομένων ἐμηχανήσατο. Οὐχ ὁρᾷς ὅτι καὶ ἥλιος φαιδρότερος μετὰ τὴν νύκτα; καὶ ἐγρή**[177]**γορσις ἡδίων μετὰ τὸν ὕπνον; καὶ ὑγεία ποθεινοτέρα μετὰ τὴν πεῖραν τῶν ἐναντίων; Καὶ τράπεζα τοίνυν χαριεστέρα μετὰ τὴν νηστείαν· ὁμοίως μὲν πλου-

1. Πρβλ. Ἐξ. 20,10.

σίοις καὶ εὐτραπέζοις, ὁμοίως δὲ τοῖς λιτοῖς καὶ αὐτοσχεδίοις τὴν δίαιταν.

9. Φοβήθητι τὸ ὑπόδειγμα τοῦ πλουσίου. Ἐκεῖνον παρέδωκε τῷ πυρὶ ἡ διὰ βίου τρυφή. Οὐ γὰρ ἀδικίαν ἀλλὰ τὸ ἁβροδίαιτον ἐγκληθεὶς ἀπετηγανίζετο ἐν τῇ φλογὶ τῆς καμίνου[1]. Ἵνα τοίνυν σβέσωμεν ἐκεῖνο τὸ πῦρ, ὕδατος χρεία. Καὶ οὐ πρὸς τὰ μέλλοντα μόνον ὠφέλιμος ἡ νηστεία, ἀλλὰ καὶ αὐτῇ τῇ σαρκὶ λυσιτελεστέρα. Αἱ γὰρ εἰς ἄκρον εὐεξίαι ὑποστροφὰς ἔχουσι καὶ μεταπτώσεις, ὀκλαζούσης τῆς φύσεως καὶ ἀναφέρειν τὸ βάρος τῆς εὐεξίας ἀδυνατούσης. Ὅρα μή, νῦν διαπτύων τὸ ὕδωρ, ὕστερον ῥανίδος ἐπιθυμήσῃς, ὡς καὶ ὁ πλούσιος[2]. Οὐδεὶς ἐκραιπάλησεν ἀπὸ ὕδατος. Οὐδενὸς κεφαλὴ ὠδυνήθη ποτὲ ὕδατι βαρηθεῖσα. Οὐδεὶς ἀλλοτρίων ποδῶν ἐδεήθη ὑδροποσίᾳ συζῶν. Οὐδενὸς ἐδέθησαν πόδες, οὐδενὸς χεῖρες ἀπηχρειώθησαν, ὕδατι καταρδόμεναι. Τὸ γὰρ περὶ τὴν πέψιν πλημμελές, ὃ τοῖς τρυφῶσιν ἀναγκαίως ἀκολουθεῖ, τοῦτο τὰ σφοδρὰ νοσήματα τοῖς σώμασιν ἐνεργάζεται. Νηστεύοντος σεμνὸν τὸ χρῶμα, οὐκ εἰς ἐρύθημα ἀναιδὲς ἐξανθοῦν, ἀλλ' ὠχρότητι σώφρονι κεκοσμημένον· ὀφθαλμὸς πραΰς, κατεσταλμένον βάδισμα, πρόσωπον σύννουν, ἀκολάστῳ γέλωτι μὴ καθυβριζόμενον, συμμετρία λόγου, καθαρότης καρδίας. Μνήσθητι τῶν ἀπ' αἰῶνος ἁγίων, «ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος»[3], οἳ «περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι»[4]· ἐκείνων μίμησαι τὴν ἀναστροφήν, εἴπερ ἐπιζητεῖς αὐτῶν τὴν μερίδα. Τί τὸν Λάζαρον ἐνανέπαυσε τοῖς κόλποις τοῦ Ἀβραάμ[5]; Οὐχὶ νηστεία; Ἰωάννου δὲ ὁ βίος μία νηστεία ἦν· ὃς οὐ κλίνην εἶχεν, οὐ τράπεζαν, οὐ γῆν ἀροσίμην, οὐκ ἀροτῆρα βοῦν, οὐ σῖτον, οὐ σιτοποιόν, οὐκ ἄλλο τι τῶν κατὰ τὸν βίον. Διὰ τοῦτο μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἀνέστη Ἰωάννου τοῦ Βαπτιστοῦ[6]. Παῦλον μετὰ τῶν ἄλλων καὶ ἡ νηστεία[7], ἣν ἐν τοῖς ὑπὲρ τῶν θλίψεων καυχήμασιν ἀπηριθμήσατο, εἰς τὸν τρίτον οὐρανὸν ἀνήγαγε[8]. Κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις, ὁ Κύριος ἡμῶν νηστείᾳ τὴν σάρκα, ἣν ὑπὲρ ἡμῶν ἀνέλαβεν, ὀχυρώσας, οὕτως ἐν αὐτῇ τοῦ διαβόλου τὰς προσβολὰς ὑπεδέξατο[9], ἡμᾶς τε παιδεύων νηστείαις ἀλείφειν καὶ παιδοτριβεῖν ἑαυτοὺς πρὸς τοὺς ἐν τοῖς πειρασμοῖς ἀγῶνας καὶ τῷ ἀντιπάλῳ διὰ τῆς ἐνδείας οἷον λαβὴν ἐνδιδούς. Ἀπρόσιτος γὰρ ἦν αὐτῷ διὰ τὸ ὕψος τῆς θεότητος, εἰ μὴ διὰ τῆς ἐνδείας ὑπέβη πρὸς τὸ ἀνθρώπινον. Ἐπανιὼν μέντοι εἰς οὐρανούς, τροφῆς ἤψατο[10], τὴν φύσιν τοῦ σώματος τοῦ ἀναστάντος [180] πιστούμενος. Σὺ δὲ ὑπερπιαίνων μὲν σεαυτὸν καὶ κατασαρκῶν οὐκ ἀνίης; ἐκτήκων δὲ τὸν νοῦν ἐν ἀτροφίᾳ τῶν σωτηρίων καὶ ζωοποιῶν διδαγμάτων οὐδένα λόγον ποιῇ; Ἢ ἀγνοεῖς, ὅτι, ὥσπερ ἐπὶ παρατά-

1. Πρβλ. Λουκ. 16,19-31. 2. Πρβλ. Λουκ. 16,24. 3. Ἑβρ. 11,38. 4. Ἑβρ. 11,37. 5. Πρβλ. Λουκ. 16,23. 6. Πρβλ. Ματθ. 11,11. 7. Πρβλ. Β' Κορ. 11,23. 8. Πρβλ. Β' Κορ. 12,2. 9. Πρβλ. Ματθ. 4,2. 10. Πρβλ. Ἰω. 21,13. Λουκ. 24,43.

ξεως ἡ τοῦ ἑτέρου συμμαχία ἦτταν ποιεῖ τοῦ ἑτέρου, οὕτως ὁ τῇ σαρκὶ προσθέμενος τὸ πνεῦμα καταγωνίζεται καὶ ὁ πρὸς τὸ πνεῦμα μεταταξάμενος καταδουλοῦται τὴν σάρκα; «Ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται»[1]. Ὥστε, εἰ βούλει ἰσχυρὸν ποιῆσαι τὸν νοῦν, δάμασον τὴν σάρκα διὰ νηστείας. Τοῦτο γάρ ἐστιν ὅ φησιν ὁ Ἀπόστολος, ὅτι ὅσον ὁ ἔξωθεν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσωθεν ἀνακαινοῦται[2]· καὶ τό· «ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι»[3]. Οὐ καταφρονήσεις τῶν φθειρομένων βρωμάτων; οὐκ ἐπιθυμίαν λήψῃ τῆς ἐν τῇ βασιλείᾳ τραπέζης, ἣν πάντως ἡ ἐνθάδε νηστεία προευτρεπίσει; Ἀγνοεῖς τῇ ἀμετρίᾳ τοῦ κόρου παχὺν σεαυτῷ τὸν βασανιστὴν κατασκευάζων σκώληκα; Τίς γὰρ ἐν τροφῇ δαψιλεῖ καὶ τρυφῇ διηνεκεῖ ἐδέξατό τινα κοινωνίαν χαρίσματος πνευματικοῦ; Μωυσῆς, δευτέραν λαμβάνων νομοθεσίαν, δευτέρας νηστείας προσεδεήθη[4]. Νινευίταις εἰ μὴ καὶ τὰ ἄλογα συνενήστευσεν, οὐκ ἂν διέφυγον τὴν ἀπειλὴν τῆς καταστροφῆς[5]. Τίνων ἔπεσε τὰ κῶλα ἐν τῇ ἐρήμῳ[6]; Οὐ τῶν κρεωφαγίαν ἐπιζητούντων; Ἐκεῖνοι, ἕως μὲν ἠρκοῦντο τῷ μάννᾳ[7] καὶ τῷ ἐκ τῆς πέτρας ὕδατι[8], Αἰγυπτίους ἐνίκων, διὰ θαλάσσης ὥδευον[9]· «οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν»[10]· ἐπειδὴ δὲ ἐμνήσθησαν τῶν κρεῶν τῶν λεβήτων[11] καὶ ἐστράφησαν ταῖς ἐπιθυμίαις εἰς Αἴγυπτον, οὐκ εἶδον τὴν γῆν τῆς ἐπαγγελίας[12]. Οὐ φοβῇ τὸ ὑπόδειγμα; οὐ φρίσσεις τὴν ἀδηφαγίαν, μήπου σε τῶν ἐλπιζομένων ἀγαθῶν ἀποκλείσῃ; Ἀλλ' οὐδ' ἂν ὁ σοφὸς Δανιὴλ τὰς ὀπτασίας εἶδεν, εἰ μὴ νηστείᾳ διαυγεστέραν ἐποίησε τὴν ψυχήν[13]. Ἐκ γὰρ τῆς παχείας τροφῆς οἷον αἰθαλώδεις ἀναθυμιάσεις ἀναπεμπόμεναι, νεφέλης δίκην πυκνῆς, τὰς ἀπὸ τοῦ Ἁγίου Πνεύματος ἐγγινομένας ἐλλάμψεις ἐπὶ τὸν νοῦν διακόπτουσιν. Εἰ δὲ καὶ ἀγγέλων ἐστί τις τροφή, ἄρτος ἐστίν, ὡς φησιν ὁ προφήτης· «ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος»[14]· οὐ κρέα, οὐδὲ οἶνος, οὐδὲ ὅσα τοῖς δούλοις τῆς γαστρὸς διεσπούδασται. Νηστεία ὅπλον ἐστὶ πρὸς τὴν κατὰ τῶν δαιμόνων στρατιάν. Τοῦτο γὰρ τὸ γένος οὐκ ἐξέρχε[181]ται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ[15]. Καὶ τὰ μὲν ἐκ τῆς νηστείας ἀγαθὰ τοσαῦτα· ὁ δὲ κόρος ὕβρεων ἀρχή. Εὐθὺς γὰρ συνεισπίπτει τῇ τρυφῇ καὶ τῇ μέθῃ καὶ ταῖς παντοδαπαῖς καρυκείαις πᾶν εἶδος ἀκολασίας βοσκηματώδους. Ἔνθεν «ἵπποι θηλυμανεῖς»[16] οἱ ἄνθρωποι διὰ τὸν ἐκ τῆς τρυφῆς οἶστρον ἐγγινόμενον τῇ ψυχῇ. Παρὰ τῶν μεθυόντων αἱ τῆς φύσεως ἐναλλαγαί, ἐν ἄρρενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄρρεν ἐπιζητούντων. Νηστεία δὲ καὶ γαμικῶν ἔργων μέτρα γνωρίζει καὶ τῶν ἐκ νόμου συγκεχωρημένων τὴν ἀμετρίαν κολάζουσα, σύμφωνον σχολὴν ἐμποιεῖ, ἵνα παραμείνωσι τῇ προσευχῇ[17].

1. Γαλ. 5,17. 2. Πρβλ. Β' Κορ. 4,16. 3. Β' Κορ. 12,10. 4. Πρβλ. Ἐξ. 34,28. 5. Πρβλ. Ἰω. 3,8. 6. Πρβλ. Ἀριθ. 14,29. Ἑβρ. 13,18. 7. Πρβλ. Ἐξ. 16,35. 8. Πρβλ. Ἐξ. 17,6. 9. Πρβλ. Ἐξ. 14,22. 10. Ψαλ. 104,37. 11. Πρβλ. Ἐξ. 16,3. 12. Πρβλ. Ἀριθ. 14,23. 13. Πρβλ. Δαν. 1,8. 14. Ψαλ. 77,25. 15. Πρβλ. Μάρκ. 9,29. 16. Ἱερ. 5,8. 17. Πρβλ. Α' Κορ. 7,5.

10. Μὴ μέντοι ἐν τῇ ἀποχῇ μόνῃ τῶν βρωμάτων τὸ ἐκ τῆς νηστείας ἀγαθὸν ὁρίζου. Νηστεία γὰρ ἀληθὴς ἡ τῶν κακῶν ἀλλοτρίωσις. «Λύε πάντα σύνδεσμον ἀδικίας»[1]· ἄφες τῷ πλησίον τὴν λύπην· ἄφες αὐτῷ τὰ ὀφλήματα[2]. «Μὴ εἰς κρίσεις καὶ μάχας νηστεύετε»[3]. Κρεῶν οὐκ ἐσθίεις, ἀλλ' ἐσθίεις τὸν ἀδελφόν. Οἴνου ἀπέχῃ, ἀλλ' ὕβρεων οὐ κρατεῖς. Τὴν ἑσπέραν ἀναμένεις εἰς μετάληψιν, ἀλλὰ δαπανᾷς τὴν ἡμέραν εἰς δικαστήρια. Οὐαὶ οἱ μεθύοντες, οὐκ ἀπὸ οἴνου[4]. Θυμὸς μέθη ἐστὶ τῆς ψυχῆς, ἔκφρονα αὐτὴν ποιῶν ὡς ὁ οἶνος. Λύπη μέθη ἐστὶ καὶ αὐτή, καταβαπτίζουσα τὴν διάνοιαν. Φόβος ἑτέρα μέθη, ὅταν ἐφ' ἃ μὴ δεῖ γένηται· «ἀπὸ φόβου» γάρ, φησίν, «ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου»[5]. Καὶ ὅλως ἕκαστον τῶν παθημάτων ἑκστατικὸν διανοίας ὑπάρχον, μέθη ἂν δικαίως προσαγορεύοιτο. Ἐννόησόν μοι τὸν ὀργιζόμενον ὅπως μεθύει τῷ πάθει. Οὐκ ἔστιν αὐτὸς ἑαυτοῦ κύριος, ἀγνοεῖ ἑαυτόν, ἀγνοεῖ τοὺς παρόντας· ὥσπερ ἐν νυκτομαχίᾳ πάντων ἅπτεται, πᾶσι προσπταίει· ἀταμίευτα φθέγγεται, δυσκάθεκτός ἐστι, λοιδορεῖται, τύπτει, ἀπειλεῖ, διόμνυται, βοᾷ, διαρρήγνυται. Φύγε ταύτην τὴν μέθην, μηδὲ τὴν διὰ τοῦ οἴνου προσδέξῃ. Μὴ προλάβῃς πολυποσίᾳ τὴν ὑδροποσίαν. Μὴ μυσταγωγείτω σε ἐπὶ νηστείαν ἡ μέθη. Οὐκ ἔστι διὰ μέθης εἴσοδος εἰς νηστείαν· οὐδὲ γὰρ διὰ πλεονεξίας εἰς δικαιοσύνην, οὐδὲ δι' ἀκολασίας εἰς σωφροσύνην, οὐδέ, συλλήβδην εἰπεῖν, διὰ τῆς κακίας εἰς ἀρετήν. Ἄλλη θύρα ἐπὶ νηστείαν. Μέθη εἰς ἀκολασίαν εἰσάγει, ἐπὶ νηστείαν αὐτάρκεια. Ὁ ἀθλῶν προγυμνάζεται· ὁ νηστεύων προεγκρατεύεται. Μὴ ὡς ἀμυνόμενος τὰς ἡμέρας, μὴ ὡς κατασοφιζόμενος τὸν νομοθέτην, τῶν πέντε ἡμερῶν τὴν κραιπάλην προαποτίθεσο. Καὶ γὰρ ἀνόνητα πο[184]νεῖς, τὸ μὲν σῶμα συντρίβων, μὴ παραμυθούμενος δὲ τὴν ἔνδειαν. Ἄπιστόν ἐστι τὸ ταμεῖον, εἰς τετρημένον πίθον ἀντλεῖς. Ὁ μὲν γὰρ οἶνος διαρρέει, τὴν ἰδίαν ὁδὸν ἀποτρέχων· ἡ δὲ ἁμαρτία ἐναπομένει. Οἰκέτης δραπετεύει δεσπότην τύπτοντα· σὺ δὲ παραμένεις τῷ οἴνῳ, καθ' ἑκάστην ἡμέραν τὴν κεφαλήν σου τύπτοντι; Μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως ἡ χρεία τοῦ σώματος. Ἐὰν δὲ ἔξω τῶν ὅρων γένῃ, αὔριον ἥξεις καρηβαρῶν, χασμώμενος, ἰλιγγιῶν, σεσηπότος οἴνου ἀπόζων· πάντα σοι περιφέρεσθαι πάντα δονεῖσθαι δόξει. Μέθη γὰρ ὕπνον μὲν ἐπάγει, ἀδελφὸν θανάτου, ἐγρήγορσιν δὲ ὀνείροις προσεοικυῖαν.

11. Ἆρα οἶδας τίς ἐστιν ὁ ὑποδέχεσθαι μέλλεις; Ὁ ἐπαγγειλάμενος ἡμῖν, ὅτι ἐγὼ καὶ ὁ Πατὴρ «ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν»[6]. Τί οὖν προλαμβάνεις τῇ μέθῃ καὶ ἀποκλείεις τῷ Δεσπότῃ τὴν εἴσοδον; τί προτρέπῃ τὸν ἐχθρὸν προκατασχεῖν σου τὰ ὀχυρώματα; Μέθῃ Κύριον οὐχ ὑποδέχεται· μέθῃ Πνεῦμα Ἅγιον ἀποδιώκει. Καπνὸς μὲν γὰρ ἀποδιώκει μελίσσας, χαρίσματα δὲ πνευ-

1. Ἡσ. 58,6. 2. Πρβλ. Ματθ. 6,12. 3. Ἡσ. 58,4. 4. Πρβλ. Ἡσ. 28,1. 5. Ψαλ. 63,2. 6. Ἰω. 14,23.

ματικὰ ἀποδιώκει κραιπάλη. Νηστεία πόλεως εὐσχημοσύνη, ἀγορᾶς εὐστάθεια, οἴκων εἰρήνη, σωτηρία τῶν ὑπαρχόντων. Βούλει αὐτῆς ἰδεῖν τὴν σεμνότητα; Σύγκρινόν μοι τὴν σήμερον ἑσπέραν τῇ αὔριον καὶ ὄψει τὴν πόλιν ἐκ ταραχῆς καὶ ζάλης εἰς γαλήνην βαθεῖαν μεταβαλοῦσαν. Εὔχομαι δὲ καὶ τὴν σήμερον τῇ αὔριον ἐοικέναι κατὰ τὴν σεμνότητα· καὶ τὴν αὔριον μηδὲν φαιδρότητι τῆς σήμερον ἀπολείπεσθαι. Ὁ δὲ ἀγαγὼν ἡμᾶς εἰς τὴν περίοδον τοῦ χρόνου Κύριος παράσχοι ἡμῖν, οἷον ἀγωνισταῖς, εἰς τοὺς προαγῶνας τούτους τὸ στερρὸν καὶ εὔτονον τῆς καρτερίας ἐπιδειξαμένους, φθάσαι καὶ ἐπὶ τὴν κυρίαν τῶν στεφάνων ἡμέραν· νῦν μὲν τῆς ἀναμνήσεως τοῦ σωτηρίου πάθους, ἐν δὲ τῷ μέλλοντι αἰῶνι τῆς ἀνταποδόσεως τῶν βεβιωμένων ἡμῖν ἐν τῇ δικαιοκρισίᾳ τοῦ Χριστοῦ αὐτοῦ[1], ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

1. Πρβλ. Ρωμ. 2,5.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ

ΛΟΓΟΣ Β'

[185] 1. Παρακαλεῖτε, φησίν, ἱερεῖς, τὸν λαόν· λαλήσατε εἰς τὰ ὦτα Ἰερουσαλήμ[1]. Ἱκανὴ τοῦ λόγου ἡ φύσις τῶν μὲν σπουδαίων τὰς ὁρμὰς ἐπιτεῖναι, τῶν δὲ ῥᾳθύμων καὶ νωθρῶν ἐπεγεῖραι τὸ πρόθυμον. Ὅθεν στρατηγοὶ μέν, εἰς παράταξιν τὸν στρατὸν καθιστῶντες, τοῖς παρακλητικοῖς λόγοις πρὸ τῶν ἀγώνων κέχρηνται καὶ τοσαύτην ἔχει δύναμιν ἡ παραίνεσις, ὥστε πολλοῖς καὶ θανάτου πολλάκις καταφρόνησιν ἐμποιεῖν· γυμνασταὶ δὲ καὶ παιδοτρίβαι, πρὸς τοὺς ἐν τοῖς σταδίοις ἀγῶνας τοὺς ἀθλοῦντας προσάγοντες, πολλὰ περὶ τοῦ χρῆναι πονεῖν ὑπὲρ τῶν στεφάνων διακελεύονται· ὥστε καὶ συνεπείσθησαν πολλοὶ τῇ περὶ τὴν νίκην φιλοτιμίᾳ τῶν σωμάτων ὑπεριδεῖν. Καὶ τοίνυν καὶ ἐμοί, τοὺς Χριστοῦ στρατιώτας πρὸς τὸν κατὰ τῶν ἀοράτων ἐχθρῶν πόλεμον διατάσσοντι καὶ τοὺς ἀθλητὰς τῆς εὐσεβείας ἐπὶ τοὺς τῆς δικαιοσύνης στεφάνους[2] διὰ τῆς ἐγκρατείας παρασκευάζοντι, ἀναγκαῖος ὁ λόγος τῆς παρακλήσεως. Τί οὖν φημι, ἀδελφοί; Ὅτι τοὺς μὲν τὰ τακτικὰ μελετῶντας καὶ τοὺς ἐν παλαίστραις διαπονουμένους, ἀκόλουθόν ἐστι τῇ δαψιλείᾳ τῆς τροφῆς κατασαρκοῦν ἑαυτούς, ὡς ἂν εὐτονώτερον τῶν πόνων ἀντιλαμβάνοιντο· οἷς δὲ «οὐκ ἔστιν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»[3], τούτοις διὰ τῆς ἐγκρατείας καὶ τῆς νηστείας ἀναγκαῖόν ἐστι τὸ πρὸς τὸν ἀγῶνα καταγυμνάζεσθαι. Ἔλαιον μὲν γὰρ πιαίνει τὸν ἀθλητήν· νηστεία δὲ τὸν ἀσκητὴν τῆς εὐσεβείας κρατύνει. Ὥστε ὅσον ὑφαιρεῖς τῆς σαρκὸς, τοσοῦτον ποιήσεις τῆς πνευματικῆς εὐεξίας τὴν ψυχὴν ἀποστίλβειν. Οὐ γὰρ σωματικοῖς τόνοις, ἀλλὰ καρτερίᾳ ψυχῆς καὶ τῇ πρὸς τὰς θλίψεις ὑπομονῇ τὸ πρὸς τοὺς ἀοράτους ἐχθροὺς περιγίνεται κράτος.

2. Ἔστι μὲν οὖν πάντα τὸν χρόνον ἡ νηστεία ὠφέλιμος τοῖς αἱρουμένοις αὐτὴν (οὔτε γὰρ ἐπήρεια δαιμόνων κατατολμᾷ τοῦ νηστεύοντος καὶ οἱ φύλακες τῆς ζωῆς ἡμῶν ἄγγελοι φιλοπονώτερον παραμένουσι τοῖς διὰ νηστείας τὴν ψυχὴν κεκαθαρμένοις)· πολλῷ δὲ πλέον νῦν, ὅτε εἰς πᾶσαν τὴν οἰκουμένην περιαγγέλλεται τὸ κήρυγμα. Καὶ οὔτε τις νῆσος, οὐκ ἤπειρος, οὐ πόλις, οὐκ ἔθνος, οὐκ ἐσχατιὰ ἀνήκοός ἐστι τοῦ κηρύγματος. Ἀλλὰ καὶ στρατόπεδα καὶ ὁδοιπόροι καὶ πλωτῆρες καὶ ἔμποροι, πάντες ὁμοίως καὶ ἀκούουσι τοῦ πα-

1. Πρβλ. Ἡσ. 40,1. 2. Πρβλ. Β' Τιμ. 4,8. 3. Ἐφ. 6,12.

ραγγέλματος καὶ περιχαρῶς ὑποδέχονται. Ὥστε μηδεὶς ἑαυτὸν ἔξω ποιείτω τοῦ καταλόγου τῶν νηστευόντων, ἐν ᾧ πάντα γένη καὶ πᾶσα ἡλικία καὶ ἀξιωμάτων διαφοραὶ πᾶσαι καταλέγονται. Ἄγγελοί εἰσιν οἱ καθ' ἑκάστην ἐκκλησίαν **[188]** ἀπογραφόμενοι[1] τοὺς νηστεύοντας. Ὅρα μὴ διὰ μικρὰν ἡδονὴν βρωμάτων ζημιωθῇς μὲν τὴν ἀπογραφὴν τοῦ ἀγγέλου, ὑπόδικον δὲ σαυτὸν λειποταξίου γραφῆς τῷ στρατολογήσαντι καταστήσῃς. Ἐλάττων ὁ κίνδυνος ῥίψασπιν ἐπὶ παρατάξεως ἀπελεγχθῆναί τινα, ἢ τὸ μέγα ὅπλον τὴν νηστείαν ἀποβαλόντα φανῆναι. Πλούσιος εἶ; Μὴ καθυβρίσῃς τὴν νηστείαν, ἀπαξιώσας λαβεῖν αὐτὴν ὁμοτράπεζον, μηδὲ οἰκίας σεαυτοῦ ἄτιμον ἀποπέμψῃ παρευημερηθεῖσαν ὑπὸ τῆς ἡδονῆς, μήποτέ σε καταγγείλῃ ἐπὶ τοῦ νομοθέτου τῶν νηστειῶν καὶ πολλαπλασίονά σοι ἀπὸ καταδίκης ἐπαγάγῃ τὴν ἔνδειαν ἢ ἐξ ἀρρωστίας σώματος, ἢ ἐξ ἄλλης τινὸς σκυθρωπῆς περιστάσεως. Ὁ πένης μὴ εἰρωνευέσθω πρὸς τὴν νηστείαν, πάλαι σύνοικον αὐτὴν καὶ ὁμοδίαιτον ἔχων. Γυναιξὶ δέ, ὥσπερ τὸ ἀναπνεῖν, οὕτω καὶ τὸ νηστεύειν οἰκεῖόν ἐστι καὶ κατὰ φύσιν. Οἱ παῖδες, ὥσπερ τῶν φυτῶν τὰ εὐθαλῆ, τῷ τῆς νηστείας ὕδατι καταρδευέσθωσαν. Τοῖς πρεσβυτέροις κοῦφον ποιεῖ τὸν πόνον ἡ ἐκ παλαιοῦ πρὸς αὐτὴν οἰκείωσις· πόνοι γὰρ ἐκ μακρᾶς συνηθείας μελετηθέντες, ἀλυπότερον προσπίπτουσι τοῖς γεγυμνασμένοις. Τοῖς ὁδοιπόροις εὐσταλής ἐστι συνέμπορος ἡ νηστεία. Ὥσπερ γὰρ ἡ τρυφὴ ἀχθοφορεῖν αὐτοὺς ἀναγκάζει τὰς ἀπολαύσεις περικομίζοντας οὕτω κούφους αὐτοὺς καὶ εὐζώνους ἡ νηστεία παρασκευάζει. Εἶτα, στρατείας μὲν ὑπερορίου προγραφείσης, τὰ ἀναγκαῖα, οὐχὶ τὰ πρὸς τρυφήν, ἐπισιτίζονται στρατιῶται· ἡμῖν δὲ πρὸς τὸν κατὰ τῶν ἀοράτων ἐχθρῶν πόλεμον ἐξιοῦσι καὶ μετὰ τὴν τούτων νίκην πρὸς τὴν ἄνω πατρίδα ἐπειγομένοις, οὐ πολλῷ μᾶλλον ἁρμόσει, ὥσπερ ἐπὶ στρατοπέδου διαιτωμένοις αὐτοῖς ἀρκεῖσθαι τοῖς ἀναγκαίοις;

3. «Κακοπάθησον ὡς καλὸς στρατιώτης»[2] καὶ ἄθλησον νομίμως, ἵνα στεφανωθῇς[3], ἐκεῖνο εἰδώς, ὅτι «πᾶς ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται»[4]. Ὁ δέ με ὑπῆλθεν ἀρτίως λέγοντα, ἄξιον μὴ παριδεῖν· ὅτι τοῖς μὲν τοῦ κόσμου στρατιώταις κατὰ τὴν τῶν καμάτων ἀναλογίαν τὸ σιτηρέσιον αὔξεται· τοῖς δὲ πνευματικοῖς ὁπλίταις ὁ τὸ ἔλαττον ἔχων τῆς τροφῆς τὸ μεῖζον ἔχει τοῦ ἀξιώματος. Ὡς γὰρ ἡ περικεφαλαία ἡμῶν παρήλλακται τὴν φύσιν πρὸς τὴν φθαρτήν· τῆς μὲν γὰρ ὕλη ἐστὶν ὁ χαλκός, ἡ δὲ ἐκ τῆς ἐλπίδος τοῦ σωτηρίου[5] συνέστηκε· καὶ ὁ θυρεὸς ἐκείνοις μὲν ἐκ ξύλου καὶ βύρσης πεποίηται, ἡμῖν δὲ τὸ τῆς πίστεώς[6] ἐστι προβόλαιον· καὶ θώρακι ἡμεῖς **[189]** μὲν τῷ τῆς δικαιοσύνης[7] περιπεφράγμεθα, ἐκεῖνοι δὲ χιτῶνά τινα ἁλυσιδωτὸν περιφέρουσι· καὶ μάχαιρα ἡμῖν μὲν ἡ τοῦ πνεύματός[8] ἐστι πρὸς ἅμυναν οἱ δὲ τὴν ἐκ

1. Πρβλ. Ἑβρ. 12,23. 2. Β' Τιμ. 2,3. 3. Πρβλ. Β' Τιμ. 2,5. 4. Α' Κορ. 9,25. 5. Πρβλ. Α' Θεσ. 5,8. 6. Πρβλ. Ἐφ. 6,16. 7. Πρβλ. Ἐφ. 6,14. 8. Πρβλ. Ἐφ. 6,17.

σιδήρου προβάλλονται· οὕτω δῆλον, ὅτι τροφαὶ οὐχ αἱ αὐταὶ ἀμφοτέροις τὴν ἰσχὺν ἐμποιοῦσιν· ἀλλ' ἡμᾶς μὲν τὰ δόγματα τῆς εὐσεβείας ῥώννυσιν, ἐκείνοις δὲ ἡ πλησμονὴ τῆς γαστρὸς ἀναγκαία. Ἐπεὶ οὖν ἤγαγεν ἡμῖν περιτρέχων ὁ χρόνος τὰς πολυποθήτους ταύτας ἡμέρας, ὡς παλαιὰς τροφούς, ἄσμενοι πάντες ὑποδεξώμεθα, δι' ὧν ἐτιθηνήσατο ἡμᾶς ἡ Ἐκκλησία πρὸς τὴν εὐσέβειαν. Μέλλων τοίνυν νηστεύειν μὴ σκυθρωπάσῃς Ἰουδαϊκῶς[1]· ἀλλ' εὐαγγελικῶς σεαυτὸν καταφαίδρυνον, μὴ πενθῶν τῆς γαστρὸς τὴν ἔνδειαν, ἀλλὰ συνηδόμενος τῇ ψυχῇ τῶν πνευματικῶν ἀπολαύσεων. Οἶδας γάρ, ὅτι «ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός»[2]. Ἐπεὶ οὖν «ταῦτα ἀλλήλοις ἀντίκειται»[3], ὑφέλωμεν τῆς σαρκὸς τὴν εὐπάθειαν, αὐξήσωμεν δὲ τῶν ψυχῶν τὴν ἰσχύν, ἵνα, διὰ τῆς νηστείας κατὰ τῶν παθῶν λαβόντες τὰ νικητήρια, τοὺς τῆς ἐγκρατείας στεφάνους ἀναδησώμεθα.

4. Ἤδη οὖν σεαυτὸν ἄξιον παρασκεύασον τῆς σεμνοτάτης νηστείας· μὴ τῇ σημερινῇ μέθῃ τὴν αὔριον διαφθείρῃς ἐγκράτειαν. Καλὸς ὁ λογισμός, πονηρὰ ἡ ἐπίνοια· ἐπειδὴ πέντε ἡμερῶν νηστεία ἡμῖν προκεκήρυκται, σήμερον ἑαυτοὺς τῇ μέθῃ καταβαπτίσωμεν. Οὐδείς, γυναῖκα σεμνὴν νόμοις γαμικοῖς ἐπάγεσθαι μέλλων παλλακίδας καὶ ἑταίρας προλαβὼν εἰσοικίζεται. Οὐ γὰρ ἀνέχεται ἡ νομίμη τὴν μετὰ τῶν διεφθαρμένων συνοίκησιν. Μὴ τοίνυν καὶ σύ, προσδοκωμένης νηστείας, προεισαγάγῃς τὴν μέθην, τὴν πάνδημον πόρνην, τὴν ἀναισχυντίας μητέρα, τὴν φιλόγελων, τὴν μαινάδα, τὴν πρὸς πᾶσαν ἰδέαν ἀσχημοσύνης εὔκολον. Οὐ γὰρ μὴ εἰσέλθῃ νηστεία καὶ δέησις εἰς ψυχὴν ῥυπωθεῖσαν ὑπὸ τῆς μέθης. Τὸν νηστεύοντα εἴσω τῶν ἱερῶν περιβόλων παραδέχεται ὁ Κύριος· τὸν κραιπαλῶντα ὡς βέβηλον καὶ ἀνίερον οὐ προσίεται. Ἐὰν γὰρ ἔλθῃς αὔριον οἴνου ἀπόζων καὶ τούτου σεσηπότος, πῶς εἰς νηστείαν σοι τὴν κραιπάλην λογίσομαι; Μὴ γὰρ ὅτι πρόσφατον οὐκ ἐνεχέω τὸν ἄκρατον, ἀλλ' ὅτι οὐ καθαρεύεις οἴνου, τοῦτο λογίζου. Ποῦ σε τάξω; Ἐν τοῖς μεθύσοις, ἢ ἐν τοῖς νηστευταῖς; Ἡ παρελθοῦσα οἰνοφλυγία πρὸς ἑαυτὴν ἐπισπᾶται· ἡ παροῦσα ἔνδεια νηστείαν προσμαρτυρεῖ. Ἀμφισβητήσιμος εἶ τῇ μέθῃ ὥσπερ ἀνδράποδον καὶ οὐκ ἀφέξεταί σου δικαίως, ἐναργεῖς τὰς ἀποδείξεις τῆς δουλείας παρεχομένη, τὴν ὀσμὴν τοῦ οἴνου ὥσπερ ἀγγείῳ ἐναπομείνασαν. Εὐθὺς ἡ πρώτη τῶν νηστειῶν ἀδόκιμός σοι γενήσεται, διὰ τὸ ἐναποκεῖσθαί σοι [192] τῆς μέθης τὰ λείψανα. Ὧν δὲ ἡ ἀπαρχὴ ἀδόκιμος καὶ τὸ πᾶν ἀπόβλητον δηλονότι. Μέθυσοι «Θεοῦ βασιλείαν οὐ κληρονομήσουσιν»[4]. Εἰ μεθύων ἄρχῃ ἐπὶ τὴν νηστείαν τί σοι τὸ ὄφελος; Εἰ γὰρ ἀποκλείει σε τῆς βασιλείας ἡ μέθη, ποῦ σοι λοιπὸν χρήσιμον τὸ νηστεύειν; Οὐχ ὁρᾷς ὅτι καὶ τῶν ἵππων τοὺς ἀγωνιστὰς οἱ ἐμπειρότατοι πωλοδάμναι, τῆς ἀγωνίας προσδοκωμένης, διὰ τῆς

1. Πρβλ. Ματθ. 6,16. 2. Γαλ. 5,17. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Α' Κορ. 6,10.

ἐνδείας προευτρεπίζουσι; Σὺ δὲ ἐξεπίτηδες σεαυτὸν καταπιέζεις τῷ κόρῳ· τοσοῦτον τῇ γαστριμαργίᾳ καὶ ἄλογα παρελαύνεις. Βαρουμένη γαστὴρ οὐχ ὅπως πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία· διότι, καταθλιβομένῃ τῷ πλήθει, οὐδὲ ἠρεμεῖν συγχωρεῖται, ἀλλ' ἀναγκάζεται πολλὰς ποιεῖσθαι τὰς περιστροφὰς ἐφ' ἑκάτερα.

5. Νηστεία φυλάσσει νήπια, σωφρονίζει τὸν νέον, σεμνὸν ποιεῖ τὸν πρεσβύτην· αἰδεσιμωτέρα γὰρ πολιὰ νηστεία κεκοσμημένη. Γυναιξὶ κόσμος ἁρμοδιώτατος, ἀκμαζόντων χαλινός, συζυγίας φυλακτήριον, παρθενίας τροφός. Τοιαῦται μὲν αἱ καθ' ἕκαστον οἶκον αὐτῆς ἐπιμέλειαι. Δημοσίᾳ δὲ πῶς τῷ βίῳ ἡμῶν ἐμπολιτεύεται; Πᾶσαν ἀθρόως τὴν πόλιν καὶ πάντα τὸν δῆμον μεθαρμόζει πρὸς εὐταξίαν, κοιμίζει κραυγήν, ἐξορίζει μάχην, λοιδορίαν κατασιγάζει. Τίνος διδασκάλου παρουσία παίδων θόρυβον οὕτως ἀθρόως καθίστησιν, ὡς ἡ νηστεία παραφανεῖσα ταραχὴν πόλεως καταστέλλει; Ποῖος κωμαστὴς ἐν νηστείᾳ προῆλθε; ποῖος χορὸς ἀσελγὴς ἀπὸ νηστείας συνέστη; Ἀπαλοὶ γέλωτες καὶ ᾄσματα πορνικὰ καὶ ὀρχήσεις ἐκμανεῖς ἐξαπίνης τῆς πόλεως ὑπεξέρχονται, ὥσπερ ὑπὸ δικαστοῦ τινος αὐστηροῦ τῆς νηστείας φυγαδευθεῖσαι. Εἰ δὲ πάντες αὐτὴν εἰς τὴν ὑπὲρ τῶν πρακτέων σύμβουλον παρελάμβανον, οὐδὲν ἐκώλυε βαθεῖαν εἰρήνην εἶναι κατὰ πᾶσαν τὴν οἰκουμένην· μήτε ἐθνῶν ἐπανισταμένων ἀλλήλοις, μήτε στρατοπέδων συρρηγνυμένων. Οὐκ ἂν ἐχαλκεύετο ὅπλα, νηστείας κρατούσης, οὐδ' ἂν δικαστήρια συνεκροτεῖτο, οὐδ' ἂν ὦκουν τινὲς τὰ δεσμωτήρια, οὐδ' ἂν ὅλως εἶχον αἱ ἐρημίαι τοὺς κακουργοῦντας, ἢ αἱ πόλεις τοὺς συκοφάντας, ἢ τοὺς καταποντιστὰς ἡ θάλασσα. Εἰ πάντες ἦσαν μαθηταὶ τῆς νηστείας, οὐδ' ἂν ἠκούσθη ὅλως, κατὰ τὸν τοῦ Ἰὼβ λόγον, «φωνὴ φορολόγου»[1], οὐδ' ἂν οὕτως ἦν ὁ βίος ἡμῶν πολυστένακτος καὶ κατηφείας πλήρης, εἰ νηστεία τὸν βίον ἡμῶν ἐπρυτάνευε. Δῆλον γάρ, ὅτι ἐδίδαξεν ἂν πάντας οὐχὶ βρωμάτων μόνον ἐγκράτειαν, ἀλλὰ καὶ φιλαργυρίας καὶ πλεονεξίας καὶ πάσης κακίας παντελῆ φυγὴν καὶ ἀλλοτρίωσιν. Ὧν ἐξαιρεθέντων, οὐδὲν **[193]** ἐκώλυεν ἐν εἰρήνῃ βαθείᾳ καὶ ἀταραξίᾳ ψυχῶν τὴν ζωὴν ἡμᾶς παραπέμπειν.

6. Νῦν δὲ οἱ μὲν τὴν νηστείαν ἀποπεμπόμενοι, τὴν τρυφὴν δὲ ὡς μακαριότητα βίου μεταδιώκοντες, τόν τε πολὺν ἐκεῖνον τῶν κακῶν ἐσμὸν ἐπεισήγαγον καὶ τὰ ἑαυτῶν προσδιαφθείρουσι σώματα. Παρατήρησόν μοι τῶν προσώπων τὴν διαφοράν, τῶν τε σήμερόν σοι κατὰ τὴν ἑσπέραν φανησομένων καὶ τῶν αὔριον. Σήμερον οἰδοῦντα, ὑπέρυθρα, ἱδρῶτι λεπτῷ νοτιζόμενα, ὀφθαλμοὶ δίυγροι, προπετεῖς, τὸ ἀκριβὲς τῆς αἰσθήσεως, ἐκ τῆς ἔνδοθεν ἀχλύος ἀφῃρημένοι· αὔριον δὲ κατεσταλμένα, σεμνά, τὴν ἐκ τῆς φύσεως χρόαν ἀπολαβόντα, συννοίας γέμοντα καὶ πάσης αἰσθήσεως ἀκριβοῦς, οὐδεμιᾶς ἔνδοθεν αἰτίας ταῖς φυσικαῖς

1. Ἰὼβ 3,18.

ἐνεργείαις ἐπισκοτούσης. Νηστεία ἡ τῶν ἀγγέλων ὁμοίωσις ἡ τῶν δικαίων ὁμόσκηνος ὁ τοῦ βίου σωφρονισμός. Αὕτη νομοθέτην ἐποίησε τὸν Μωυσῆν[1]· νηστείας ἐστι καρπὸς Σαμουήλ. Νηστεύουσα προσηύξατο τῷ Θεῷ Ἄννα. Ἀδωναῖ Κύριε, Ἐλωὶ Σαβαὼθ ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν δούλην σου καὶ δῷς μοι σπέρμα ἀνδρός, δώσω αὐτὸν ἐνώπιόν σου δοτόν. Οἶνον καὶ σίκερα οὐ μὴ πίοι, ἕως ἡμέρας θανάτου αὐτοῦ[2]. Αὕτη τὸν μέγαν Σαμψὼν ἐτιθηνήσατο καὶ ἕως ὅτε συμπαρῆν τῷ ἀνδρί, κατὰ χιλίους ἔπιπτον οἱ πολέμιοι[3] καὶ πύλαι πόλεων ἀνεσπῶντο[4] καὶ λέοντες τῶν χειρῶν τὴν ἰσχὺν οὐχ ὑφίσταντο[5]. Ὅτε δὲ μέθη αὐτὸν καὶ πορνεία παρέλαβον, ἀλώσιμος ἦν τοῖς ἐχθροῖς καὶ τῶν ὀφθαλμῶν στερηθείς, παίγνιον προέκειτο τοῖς παιδαρίοις τῶν ἀλλοφύλων[6]. Νηστεύσας Ἠλίας ἀπέκλεισε τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἕξ[7]. Ἐπειδὴ γὰρ εἶδε πολλὴν ἐκ τοῦ κόρου τικτομένην τὴν ὕβριν, ἀναγκαίως αὐτοῖς τὴν ἀκούσιον ἐκ τοῦ λιμοῦ νηστείαν ἐπήγαγε, δι' ἧς πρὸς τὸ ἄμετρον ἤδη χεομένην αὐτῶν τὴν ἁμαρτίαν ἔστησεν, οἷον καυτῆρί τινι ἡ τομῇ τῇ νηστείᾳ τὴν εἰς τὸ πλέον πρόοδον τοῦ κακοῦ διακόψας.

7. Δέξασθε αὐτήν, οἱ πένητες, τὴν σύνοικον ὑμῶν καὶ ὁμοτράπεζον. Οἱ δοῦλοι, τὴν ἀνάπαυσιν τῶν συνεχῶν τῆς ὑπηρεσίας καμάτων. Οἱ πλούσιοι τὴν ἰατρεύουσαν ὑμᾶς τῆς ἐκ τοῦ κόρου βλάβης καὶ τῇ μεταβολῇ τερπνότερα ποιοῦσαν τὰ ὑπὸ τῆς συνηθείας καταφρονούμενα. Οἱ ἄρρωστοι, τὴν τῆς ὑγείας μητέρα. Οἱ εὐεκτοῦντες, τὸ τῆς εὐεξίας ὑμῶν φυλακτήριον. Ἐρώτησον τοὺς ἰατροὺς καὶ ἀναγγελοῦσί σοι, ὅτι σφαλερώτατόν ἐστι πάντων ἡ ἀπ' ἄκρον εὐεξία. Διόπερ διὰ νηστείας ὑφαιροῦσι τὸ πλεονάζον οἱ ἐμπειρότατοι, ὡς μὴ βάρει τῆς πολυσαρκίας ὑποκλασθῆναι τὴν δύναμιν. Ἐξεπίτηδες γὰρ διὰ τῆς ἐνδείας **[196]** καθελόντες τὴν ἀμετρίαν, εὐρυχωρίαν τινὰ καὶ ἀνατροφὴν καὶ ἀρχὴν δευτέρας αὐξήσεως τῇ θρεπτικῇ δυνάμει παρασκευάζουσιν. Οὕτω παντὶ ἐπιτηδεύματι καὶ πάσῃ σώματος ἕξει τὸ παρ' αὐτῆς ὠφέλιμον ἁπαντᾷ καὶ πᾶσιν ὁμοίως ἐπιπρέπει, τοῖς οἴκοις, ταῖς ἀγοραῖς, ταῖς νυξί, ταῖς ἡμέραις, ταῖς πόλεσι, ταῖς ἐρημίαις. Τὴν τοίνυν διὰ τοσούτων ἡμῖν τὸ παρ' ἑαυτῆς καλὸν χαριζομένην φαιδρῶς ὑποδεξώμεθα, κατὰ τὸν τοῦ Κυρίου λόγον, μὴ κατασκυθρωπάζοντες ὡς οἱ ὑποκριταί, ἀλλὰ τὸ ἱλαρὸν τῆς ψυχῆς ἀνεπιτηδεύτως διαδεικνύοντες[8]. Καὶ οὐ τοσούτου μοι δεῖν ἀγῶνος ἡγοῦμαι τὴν περὶ νηστείας παράκλησιν, ὅσου τὸ μὴ σήμερόν τινα τοῖς κακοῖς τῆς μέθης περιπεσεῖν. Τὴν μὲν γὰρ νηστείαν καὶ διὰ τὴν συνήθειαν καὶ διὰ τὴν πρὸς ἀλλήλους αἰδῶ οἱ πολλοὶ καταδέχονται· φοβοῦμαι δὲ τὴν μέθην, ἣν, ὥσπερ τινὰ κλῆρον πατρῷον, οἱ φίλοινοι διασῴζουσιν. Ὡς γὰρ

1. Πρβλ. Ἐξ. 34,28. 2. Πρβλ. Α' Βασ. 1,11. 3. Πρβλ. Κριτ. 15,16. 4. Πρβλ. Κριτ. 16,3. 5. Πρβλ. Κριτ. 14,6. 6. Πρβλ. Κριτ. 16,25. 7. Πρβλ. Γ' Βασ. 17,1. Ἰακ. 5,17. 8. Πρβλ. Ματθ. 6,16,17.

οἱ πρὸς τὰς μακρὰς ἀποδημίας ἀπαίροντες, οὕτω τινὲς τῶν ἀνοήτων σήμερον πρὸς τὰς πέντε τῶν νηστειῶν ἡμέρας οἰνίζονται. Τίς οὕτως ἀνόητος, ὥστε, πρὶν ἄρξασθαι πίνειν, τὰ τῶν μεθυόντων παραφρονεῖν; Οὐκ οἶδας, ὅτι γαστὴρ παρακαταθήκην οὐ διασῴζει; Γαστὴρ συναλλακτής ἐστιν ἀπιστότατος· ταμιεῖον ἀφύλακτον πολλῶν ἐναποτεθέντων, τὴν μὲν βλάβην παρακατέχουσα, τὰ μέντοι παρατεθέντα οὐ διασῴζουσα. Ὅρα καὶ μή σοι αὔριον ἀπὸ μέθης ἐλθόντι τὰ νῦν ἀναγνωσθέντα λεχθῇ· «οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην»[1], λέγει Κύριος. Τί μιγνύεις τὰ ἄμικτα; Τίς μετοχὴ νηστείας πρὸς μέθην; Τίς κοινωνία τῇ οἰνοφλυγίᾳ πρὸς τὴν ἐγκράτειαν; «Τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων;»[2]. Ναὸς μὲν γὰρ Θεοῦ εἰσιν ἐν οἷς τὸ Πνεῦμα τοῦ Θεοῦ ἐνοικεῖ[3], ναὸς δὲ εἰδώλων οἱ διὰ τῆς μέθης τὸν συρφετὸν τῆς ἀκολασίας ὑποδεχόμενοι. Ἡ σήμερον ἡμέρα προπύλαιόν ἐστι τῶν νηστειῶν. Οὐ δήπου δὲ ὁ ἐν τοῖς προθύροις βεβηλωθεὶς ἄξιός ἐστιν εἰσελθεῖν εἰς τὰ ἅγια. Οὐδεὶς οἰκέτης, ἐξευμενίσασθαι θέλων τὸν ἑαυτοῦ δεσπότην, τῷ ἐχθρῷ αὐτοῦ προστάτῃ καὶ διαλλακτῇ κέχρηται. Μέθη ἔχθρα ἐστὶν εἰς Θεόν· νηστεία δὲ ἀρχὴ μετανοίας. Εἰ οὖν βούλει διὰ τῆς ἐξομολογήσεως ἐπανελθεῖν πρὸς τὸν Θεόν, φεῦγε τὴν μέθην, μή σοι χαλεπωτέραν κατασκευάσῃ τὴν ἀλλοτρίωσιν. Οὐ μέντοι ἐξαρκεῖ καθ' ἑαυτὴν ἡ ἀποχὴ τῶν βρωμάτων πρὸς τὴν ἐπαινετὴν νηστείαν, ἀλλὰ νηστεύσωμεν νηστείαν δεκτήν, εὐάρεστον τῷ Θεῷ. Ἀληθὴς νηστεία ἡ τοῦ κακοῦ ἀλλοτρίωσις, ἐγκράτεια γλώσσης, θυμοῦ ἀποχή, ἐπιθυμιῶν χωρισμός, καταλαλιᾶς, ψεύδους, ἐπιορκίας. Ἡ τούτων ἔνδεια νηστεία ἐστὶν ἀληθής. Ἐν τούτοις μὲν οὖν ἡ νηστεία καλόν.

8. Κατατρυφήσωμεν δὲ τοῦ Κυρίου, ἐν τῇ μελέτῃ **[197]** τῶν λογίων τοῦ Πνεύματος καὶ ἐν τῇ ἀναλήψει τῶν σωτηρίων νομίμων καὶ ἐν πᾶσι τοῖς διορθωτικοῖς τῶν ψυχῶν ἡμῶν δόγμασιν. Ἀπὸ μέντοι τῆς ἐν τῷ κρυπτῷ νηστείας φυλαξώμεθα, περὶ ἧς καὶ ὁ προφήτης ἀπεύχεται λέγων· «οὐ λιμοκτονήσει Κύριος ψυχὰς δικαίων»[4]· καὶ τό· «οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους»[5]. Οὐ γὰρ ἂν περὶ αἰσθητῶν ἄρτων εἶπεν ὁ εἰδὼς τοὺς παῖδας τοῦ πατριάρχου ἡμῶν Ἰακὼβ ἄρτων ἕνεκεν καταβάντας εἰς Αἴγυπτον[6], ἀλλὰ περὶ τῆς πνευματικῆς λέγει τροφῆς, καθ' ἣν ὁ ἔσω ἡμῶν ἄνθρωπος τελειοῦται. Μὴ ἔλθῃ καὶ ἐφ' ἡμᾶς ἡ τοῖς Ἰουδαίοις ἀπειληθεῖσα νηστεία· «ἰδοὺ γὰρ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐπάξω ἐπὶ τὴν γῆν ταύτην λιμόν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου»[7]· ὃν διὰ τοῦτο ἐπήγαγεν ὁ δίκαιος κριτής, ἐπειδὴ ἑώρα αὐτῶν τὸν μὲν νοῦν ἐν τῇ ἀτροφίᾳ τῶν τῆς ἀληθείας δογμάτων λιμαγχονούμενον, ὑπερπιαινόμενον δὲ αὐτῶν καὶ κα-

1. Ἡσ. 58,5. 2. Β' Κορ. 6,16. 3. Πρβλ. Α' Κορ. 3,16. 4. Παρμ. 10,3. 5. Ψαλ. 36,25. 6. Πρβλ. Γεν. 42,7. 7. Ἀμ. 8,11.

τασαρκούμενον τὸν ἔξω ἄνθρωπον. Πάσας τοίνυν τὰς ἐφεξῆς, ἡμέρας ἑστιάσει ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐωθιναῖς τε καὶ ἑσπεριναῖς εὐφροσύναις. Μηδεὶς ἑκουσίως ἀπολιμπανέσθω τῆς πνευματικῆς εὐωχίας. Πάντες μετάσχωμεν τοῦ νηφαλίου κρατῆρος, ὃν ἡ σοφία, κεράσασα, προέθηκεν ἡμῖν ἐξίσου, καθ' ὅσον ἐστὶ χωρητικὸς ἕκαστος ἀπαρύεσθαι. Ἐκέρασε γὰρ τὸν ἑαυτῆς κρατῆρα[1] καὶ «ἔσφαξε τὰ ἑαυτῆς θύματα»[2]· τουτέστι, τὴν τῶν τελείων τροφήν, «τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ»[3]. Ὧν δαψιλῶς ἐμφορηθέντες, εὑρεθείημεν ἄξιοι καὶ τῆς ἐν τῷ νυμφῶνι εὐφροσύνης ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

1. Πρβλ. Παρμ. 9,2. 2. Παρμ. 9,2. 3. Ἑβρ. 5,14.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ «ΠΡΟΣΕΧΕ ΣΕΑΥΤΩ»*

23 1. Τοῦ λόγου τὴν χρῆσιν δέδωκεν ἡμῖν ὁ κτίσας ἡμᾶς Θεός, ἵνα τὰς βουλὰς τῶν καρδιῶν ἀλλήλοις ἀποκαλύπτωμεν καὶ διὰ τὸ κοινωνικὸν τῆς φύσεως ἕκαστος τῷ πλησίον μεταδιδῶμεν, ὥσπερ ἔκ τινων ταμιείων, τῶν κρυπτῶν τῆς καρδίας προφέροντες τὰ βουλεύματα. Εἰ μὲν γὰρ γυμνῇ τῇ ψυχῇ διεζῶμεν, εὐθὺς ἂν ἀπὸ τῶν νοημάτων ἀλλήλοις συνεγινόμεθα· ἐπειδὴ δὲ ὑπὸ παραπετάσματι τῇ σαρκὶ καλυπτομένη ἡμῶν ἡ ψυχὴ τὰς ἐννοίας ἐργάζεται, ῥημάτων δεῖται καὶ ὀνομάτων πρὸς τὸ δημοσιεύειν τὰ ἐν τῷ βάθει κείμενα. Ἐπειδὰν οὖν ποτε λάβηται φωνῆς σημαντικῆς ἡ ἔννοια ἡμῶν, ὥσπερ πορθμείῳ τινὶ τῷ λόγῳ **[200]** ἐποχουμένη, διαπερῶσα τὸν ἀέρα, ἐκ τοῦ φθεγγομένου μεταβαίνει πρὸς τὸν ἀκούοντα· κἂν μὲν εὕρῃ γαλήνην βαθεῖαν καὶ ἡσυχίαν, ὥσπερ λιμέσιν εὐδίοις καὶ ἀχειμάστοις ταῖς ἀκοαῖς τῶν μανθανόντων ὁ λόγος ἐγκαθορμίζεται· ἐὰν δὲ οἷόν τις ζάλη τραχεῖα ὁ παρὰ τῶν ἀκουόντων θόρυβος ἀντιπνεύσῃ, ἐν μέσῳ τῷ ἀέρι διαλυθεὶς ἐναυάγησε. Ποιήσατε τοίνυν γαλήνην τῷ λόγῳ διὰ τῆς σιωπῆς. Ἴσως γὰρ ἄν τι φανείη χρήσιμον ἔχων τῶν ἀγωγίμων. Δυσθήρατός ἐστιν ὁ τῆς ἀληθείας λόγος, ῥᾳδίως δυνάμενος ἐκφυγεῖν τοὺς μὴ προσέχοντας, οὕτω τοῦ Πνεύματος οἰκονομήσαντος συνεσταλμένον αὐτὸν εἶναι καὶ βραχύν, ὥστε πλεῖστα ἐν ὀλίγοις δηλοῦν καὶ διὰ συντομίαν εὔκολον εἶναι τῇ μνήμῃ παρακατασχέσθαι. Καὶ γὰρ φύσει ἀρετὴ λόγου **24** μήτε ἀσαφείᾳ κρύπτειν τὰ σημαινόμενα, μήτε περιττὸν εἶναι καὶ μάταιον εἰκῇ τοῖς πράγμασι περιρρέοντα. Ὁποῖος οὖν δή ἐστι καὶ ὁ ἀρτίως ἡμῖν ἐκ τῶν Μωυσέως βίβλων ἀνεγνωσμένος λόγος, οὗ μέμνησθε πάντως οἵ γε φιλόπονοι, πλὴν εἰ μή που διὰ βραχύτητα παρέδραμεν ὑμῶν τὰς ἀκοάς. Ἔχει δὲ ἡ λέξις οὕτως. «Πρόσεχε σεαυτῷ, μή ποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα»[1]. Εὔκολοί ἐσμεν πρὸς τὰς κατὰ διάνοιαν ἁμαρτίας οἱ ἄνθρωποι. Διόπερ «ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν»[2], εἰδὼς ὅτι τὸ πλεῖστον τῆς ἁμαρτίας ἐν τῇ ὁρμῇ πληροῦται τῇ κατὰ πρόθεσιν, τὴν ἐν τῷ ἡγεμονικῷ καθαρότητα πρώτην ἡμῖν διετάξατο. Ὧ γὰρ μάλιστα προχείρως ἐξαμαρτάνομεν, τοῦτο πλείονος φυλακῆς καὶ ἐπιμελείας ἠξίωσεν. Ὥσπερ γὰρ τῶν σωμάτων τὰ ἀσθενέστερα οἱ προμηθέστεροι τῶν ἰατρῶν ταῖς προφυλακτικαῖς

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Stig Y. Rudberg. L'homélie de Basile sur le mot «Observe-toi toi même». Stockholm-Upsal 1962.

1. Δευτ. 15,9. 2. Ψαλ. 32,15.

ὑποθήκαις πόρρωθεν ἀσφαλίζονται· οὕτως ὁ κοινὸς κηδεμὼν καὶ ἀληθινὸς τῶν ψυχῶν ἰατρός, ὃ μάλιστα ἡμῶν εἶδε πρὸς ἁμαρτίαν ὀλισθηρότερον, τοῦτο ἰσχυροτέραις προκατελάβετο φυλακαῖς. Αἱ μὲν γὰρ διὰ τοῦ σώματος πράξεις καὶ χρόνου δέονται καὶ εὐκαιρίας καὶ καμάτων καὶ συνεργῶν καὶ τῆς λοιπῆς χορηγίας. Αἱ δὲ τῆς διανοίας κινήσεις ἀχρόνως ἐνεργοῦνται, ἀκόπως ἐπιτελοῦνται ἀπραγματεύτως συνίστανται, πάντα καιρὸν ἐπιτήδειον ἔχουσι. Καὶ πού τις τῶν σοβαρῶν καὶ κατωφρυωμένων ἐπὶ σεμνότητι, πλάσμα σωφροσύνης ἔξωθεν περικείμενος, ἐν μέσοις καθεζόμενος πολλάκις τοῖς ἐπ' ἀρετῇ αὐτὸν μακαρίζουσιν, ἀπέδραμε τῇ διανοίᾳ πρὸς τὸν τῆς ἁμαρτίας τόπον ἐν τῷ ἀφανεῖ τῆς καρδίας κινήματι. Εἶδε τῇ φαντασίᾳ τὰ σπουδαζόμενα, ἀνετυπώσατό τινα ὁμιλίαν οὐκ εὐπρεπῆ καὶ ὅλως ἐν τῷ κρυφαίῳ τῆς καρδίας ἐργαστηρίῳ, ἐναργῆ τὴν ἡδονὴν ἑαυτῷ ζωγραφήσας, ἁμάρτυρον ἔσω τὴν ἁμαρτίαν εἰργάσατο, ἄγνωστον πᾶσιν ἕως ἂν ἔλθῃ ὁ ἀποκαλύπτων τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν[1]. Φύλαξαι οὖν **25** «μή ποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα»[2]. Ὁ γὰρ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ[3]. **[201]** Διότι αἱ μὲν τοῦ σώματος πράξεις ὑπὸ πολλῶν διακόπτονται ὁ δὲ κατὰ πρόθεσιν ἁμαρτάνων, τῷ τάχει τῶν νοημάτων συναπαρτιζομένην ἔχει τὴν ἁμαρτίαν. Ὅπου οὖν ὀξὺ τὸ παράπτωμα, ταχεῖα δέδοται ἡμῖν ἡ φυλακή. Διαμαρτύρεται γάρ, «μή ποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα»[4]. Μᾶλλον δὲ ἐπ' αὐτὴν τοῦ λόγου τὴν ἀρχὴν ἀναδράμωμεν.

2. «Πρόσεχε», φησί, «σεαυτῷ»[5]. Τῶν ζώων ἕκαστον παρὰ τοῦ τὰ πάντα συστησαμένου Θεοῦ οἰκοθεν ἔχει τὰς ἁφορμὰς πρὸς τὴν φυλακὴν τῆς οἰκείας συστάσεως. Καὶ εὕροις ἄν, εἰ καταμάθοις, ἐπιμελῶς, τῶν ἀλόγων τὰ πλεῖστα ἀδίδακτον ἔχοντα τὴν πρὸς τὸ βλάπτον διαβολήν, καὶ φυσικῇ τινι πάλιν ὁλκῇ πρὸς τὴν τῶν ὠφελούντων ἀπόλαυσιν ἐπειγόμενα. Διὸ καὶ ἡμῖν ὁ παιδεύων ἡμᾶς Θεὸς τὸ μέγα τοῦτο παράγγελμα δέδωκεν, ἵνα, ὅπερ ἐκείνοις ἐκ φύσεως, τοῦτο ἡμῖν ἐκ τῆς τοῦ λόγου βοηθείας προσγένηται· καὶ ὅπερ κατορθοῦται τοῖς ἀλόγοις ἀνεπιστάτως, τοῦτο παρ' ἡμῶν ἐπιτελῆται διὰ τῆς προσοχῆς καὶ τῆς συνεχοῦς τῶν λογισμῶν ἐπιστάσεως· καὶ φύλακες ὦμεν ἀκριβεῖς τῶν παρὰ Θεοῦ δεδομένων ἡμῖν ἀφορμῶν· φεύγοντες μὲν τὴν ἁμαρτίαν, ὥσπερ τὰ ἄλογα φεύγει τῶν βρωμάτων τὰ δηλητήρια· διώκοντες δὲ τὴν δικαιοσύνην, ὥσπερ κἀκεῖνα τῆς πόας μεταδιώκει τὸ τρόφιμον. «Πρόσεχε» οὖν «σεαυτῷ»[6], ἵνα δυνατὸς ᾖς διακρίνειν τὸ βλάπτον ἀπὸ τοῦ σώζοντος. Ἐπειδὴ δὲ διπλοῦν τὸ προσέχειν· τὸ μέν, σωματικοῖς ὀφθαλμοῖς ἐνατενίζειν τοῖς ὁρατοῖς· τὸ δέ, τῇ νοερᾷ τῆς ψυχῆς δυνάμει ἐπιβάλλειν τῇ θεωρίᾳ τῶν ἀσωμάτων· ἐὰν μὲν ἐπὶ τῆς

---

1. Πρβλ. Α' Κορ. 4,5. 2. Δευτ. 15,9. 3. Πρβλ. Ματθ. 5,28.
4. Δευτ. 15,9. 5. Ἔνθ' ἀν. 6. Ἔνθ' ἀν.

τῶν ὀφθαλμῶν ἐνεργείας κεῖσθαι εἴπωμεν τὸ παράγγελμα, εὐθὺς αὐτοῦ τὸ ἀδύνατον ἀπελέγξομεν. Πῶς γὰρ ἄν τις ὅλον ἑαυτὸν τῷ ὀφθαλμῷ καταλάβοι; Οὔτε γὰρ αὐτὸς ἐφ' ἑαυτὸν ὁ 26 ὀφθαλμὸς κέχρηται τῷ ὁρᾶν, οὐ κορυφῆς ἐφικνεῖται, οὐ τὰ νῶτα οἶδεν, οὐ πρόσωπα, οὐ τὴν ἐν τῷ βάθει τῶν σπλάγχνων διάθεσιν. Ἀσεβὲς οὖν τὸ λέγειν ἀδύνατα εἶναι τὰ τοῦ Πνεύματος παραγγέλματα. Λείπεται τοίνυν ἐπὶ τὰς κατὰ νοῦν ἐνεργείας τοῦ προστάγματος ἐξακούειν. «Πρόσεχε» οὖν «σεαυτῷ»[1], τουτέστι· πανταχόθεν σεαυτὸν περισκόπει. Ἀκοίμητον ἔχε πρὸς τὴν σεαυτοῦ φυλακὴν τὸ τῆς ψυχῆς ὄμμα. «Ἐν μέσῳ παγίδων διαβαίνεις»[2]. Κεκρυμμένοι βρόχοι παρὰ τοῦ ἐχθροῦ πολλαχόθεν καταπεπήγασι. Πάντα οὖν περισκόπει, «ἵνα σῴζῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος»[3]. Ἡ μὲν γὰρ δορκὰς ἀνάλωτός ἐστι τοῖς βρόχοις δι' ὀξύτητα τῆς ὁράσεως, ὅθεν καὶ ἐπώνυμός ἐστι τῆς οἰκείας ὀξυδερκίας· τὸ δὲ ὄρνεον κούφῳ τῷ πτερῷ ὑψηλότερον τῆς ἐπιβουλῆς **[204]** τῶν ἀγρευόντων, ὅταν προσέχῃ, γίνεται. Ὅρα οὖν μὴ χείρων φανῇς τῶν ἀλόγων πρὸς τὴν σεαυτοῦ φυλακήν· μή ποτε, ταῖς παγίσιν ἁλούς, θήραμα γένῃ τοῦ διαβόλου «ἐζωγρημένος ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα»[4].

3. «Πρόσεχε» οὖν «σεαυτῷ»[5], τουτέστι· μήτε τοῖς σοῖς, μήτε τοῖς περὶ σέ, ἀλλὰ σεαυτῷ μόνῳ πρόσεχε. Ἄλλο γάρ ἐσμεν ἡμεῖς αὐτοὶ καὶ ἄλλο τὰ ἡμέτερα καὶ ἄλλο τὰ περὶ ἡμᾶς. Ἡμεῖς μὲν οὖν ἐσμεν ἡ ψυχὴ καὶ ὁ νοῦς, καθ' ὃν κατ' εἰκόνα τοῦ κτίσαντος γεγενήμεθα[6]· ἡμέτερον δὲ τὸ σῶμα καὶ αἱ **27** δι' αὐτοῦ αἰσθήσεις· περὶ ἡμᾶς δέ, χρήματα, τέχναι καὶ ἡ λοιπὴ τοῦ βίου κατασκευή. Τί οὖν φησιν ὁ λόγος; Μὴ τῇ σαρκὶ πρόσεχε, μηδὲ τὸ ταύτης ἀγαθὸν ἐκ παντὸς τρόπου δίωκε, ὑγείαν καὶ κάλλος καὶ ἡδονῶν ἀπολαύσεις καὶ μακροβίωσιν· μηδὲ χρήματα καὶ δόξαν καὶ δυναστείαν θαύμαζε· μηδ' ὅσα σοι τῆς προσκαίρου ζωῆς τὴν ὑπηρεσίαν πληροῖ, ταῦτα μεγάλα νομίσας, τῇ περὶ ταῦτα σπουδῇ τῆς προηγουμένης σαυτοῦ ζωῆς καταμέλει· ἀλλὰ «πρόσεχε σεαυτῷ»[7], τουτέστι, τῇ ψυχῇ σου. Ταύτην κατακόσμει καὶ ταύτης ἐπιμελοῦ, ὥστε πάντα μὲν τὸν ἐκ τῆς πονηρίας ἐπιγινόμενον αὐτῇ ῥύπον ἀποικονομεῖσθαι διὰ τῆς προσοχῆς, πᾶν δὲ τὸ ἀπὸ κακίας αἶσχος ἀποκαθαίρεσθαι, παντὶ δὲ τῷ ἐξ ἀρετῆς κάλλει κατακοσμεῖν αὐτὴν καὶ φαιδρύνειν. Ἐξέτασον σεαυτὸν τίς εἶ, γνῶθι σεαυτοῦ τὴν φύσιν, ὅτι θνητὸν μέν σου τὸ σῶμα, ἀθάνατος δὲ ἡ ψυχή, καὶ ὅτι διπλῆ τίς ἐστιν ἡμῶν ἡ ζωή· ἡ μὲν οἰκεία τῇ σαρκί, ταχὺ παρερχομένη, ἡ δὲ συγγενὴς τῇ ψυχῇ, μὴ δεχομένη περιγραφήν. «Πρόσεχε» οὖν «σεαυτῷ»[8], μήτε τοῖς θνητοῖς ὡς ἀΐδιοις ἐναπομείνῃς, μήτε τῶν ἀϊδίων ὡς παρερχομένων καταφρονήσῃς. Ὑπερόρα σαρκός, παρέρχεται γάρ· ἐπιμελοῦ

1. Δευτ. 15,9. 2. Σ. Σειρ. 9,13. 3. Παρμ. 6,5. 4. Β' Τιμ. 2,26. 5. Δευτ. 15,9 6. Πρβλ. Γεν. 1,26. 7. Δευτ. 15,9. 8. Ἔνθ' ἀν.

ψυχῆς, πράγματος ἀθανάτου. Ἐπίστηθι μετὰ πάσης ἀκριβείας σαυτῷ, ἵνα εἰδῇς ἑκατέρῳ διανέμειν τὸ πρόσφορον, **28** σαρκὶ μὲν διατροφὰς καὶ σκεπάσματα, ψυχῇ δὲ δόγματα εὐσεβείας, ἀγωγὴν ἀστείαν, ἀρετῆς ἄσκησιν, παθῶν ἐπανόρθωσιν· μὴ ὑπερπιαίνειν τὸ σῶμα, μηδὲ περὶ τὸν ὄγκον τῶν σαρκῶν ἐσπουδακέναι. Ἐπειδὴ γὰρ «ἐπιθυμεῖ ἡ σὰρξ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός, ταῦτα δὲ ἀλλήλοις ἀντίκεινται»[1], ὅρα μή ποτε, προσθέμενος τῇ σαρκί, πολλὴν παράσχῃ τὴν δυναστείαν τῷ χείρονι. Ὥσπερ γὰρ ἐν ταῖς ῥοπαῖς τῶν ζυγῶν, ἐὰν μίαν καταβαρύνῃς πλάστιγγα, κουφοτέραν πάντως τὴν ἀντικειμένην ποιήσεις· οὕτω καὶ ἐπὶ σώματος καὶ ψυχῆς, ὁ τοῦ ἑτέρου πλεονασμὸς ἀναγκαίαν ποιεῖται τὴν ἐλάττωσιν τοῦ ἑτέρου. Σώματος μὲν γὰρ εὐπαθοῦντος καὶ πολυσαρκίᾳ βαρυνομένου, ἀνάγκη ἀδρανῆ καὶ ἄτονον εἶναι πρὸς τὰς οἰκείας ἐνεργείας τὸν νοῦν· ψυχῆς δὲ εὐεκτούσης καὶ διὰ τῆς τῶν ἀγαθῶν μελέτης πρὸς τὸ οἰκεῖον μέγεθος **[205]** ὑψουμένης, ἑπόμενόν ἐστι τὴν τοῦ σώματος ἕξιν καταμαραίνεσθαι.

4. Τὸ αὐτὸ δὲ τοῦτο παράγγελμα καὶ ἀσθενοῦσι χρήσιμον καὶ ἐρρωμένοις ἁρμοδιώτατον. Ἐν μέν γε ταῖς ἀσθενείαις οἱ ἰατροὶ τοῖς κάμνουσι παρεγγυῶσι προσέχειν αὐτοὺς ἑαυτοῖς καὶ μηδενὸς τῶν εἰς θεραπείαν ἡκόντων καταμελεῖν. Ὁμοίως δὲ καὶ ὁ ἰατρὸς τῶν ψυχῶν ἡμῶν λόγος τὴν ὑπὸ τῆς ἁμαρτίας κεκακωμένην ψυχὴν διὰ τοῦ μικροῦ τούτου βοηθήματος ἐξιᾶται. «Πρόσεχε» οὖν «σεαυτῷ»[2], ἵνα κατὰ ἀναλογίαν τοῦ πλημμελήματος καὶ τὴν ἐκ τῆς θεραπείας βοήθειαν καταδέχῃ. Μέγα καὶ χαλεπὸν τὸ ἁμάρτημα· πολλῆς σοι χρεία τῆς ἐξομολογήσεως, δακρύων πικρῶν, συντόνου τῆς ἀγρυπνίας, ἀδιαλείπτου τῆς νηστείας. Κοῦφον καὶ φορητὸν τὸ παράπτωμα· ἐξισαζέσθω καὶ ἡ μετάνοια. Μόνον «πρόσεχε σεαυτῷ»[3], ἵνα γνωρίζῃς ψυχῆς εὐρωστίαν καὶ νόσον. Πολλοὶ γὰρ ἀπὸ τῆς ἄγαν ἀπροσεξίας μεγάλα καὶ ἀνίατα νοσοῦντες, οὐδὲ αὐτὸ **29** τοῦτο ἴσασιν ὅτι νοσοῦσι. Μέγα δὲ τὸ ἐκ τοῦ παραγγέλματος ὄφελος καὶ τοῖς ἐρρωμένοις περὶ τὰς πράξεις· ὥστε τὸ αὐτὸ καὶ νοσοῦντας ἰᾶται καὶ ὑγιαίνοντας τελειοῖ. Ἕκαστος γὰρ ἡμῶν τῶν μαθητευομένων τῷ λόγῳ μιᾶς ἐστί τινος πράξεως ὑπηρέτης, τῶν κατὰ τὸ Εὐαγγέλιον ἡμῖν διατεταγμένων. Ἐν γὰρ τῇ μεγάλῃ οἰκίᾳ τῇ Ἐκκλησίᾳ ταύτῃ οὐ μόνον σκεύη ἐστὶ παντοδαπά, χρυσᾶ καὶ ἀργυρᾶ καὶ ξύλινα καὶ ὀστράκινα[4], ἀλλὰ καὶ τέχναι παντοῖαι. Ἔχει γὰρ ὁ οἶκος τοῦ Θεοῦ, «ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος»[5], θηρευτάς, ὁδοιπόρους, ἀρχιτέκτονας, οἰκοδόμους, γεωργούς, ποιμένας, ἀθλητάς, στρατιώτας. Πᾶσι τούτοις ἐφαρμόζει τὸ βραχὺ τοῦτο ῥῆμα, ἑκάστῳ καὶ ἀκρίβειαν τοῦ ἔργου καὶ σπουδὴν τῆς προαιρέσεως ἐμποιοῦν. Θηρευτὴς εἶ ἀπεσταλμένος παρὰ τοῦ Κυρίου τοῦ εἰπόντος· ἰδοὺ ἐγὼ ἀποστέλλω πολλοὺς θηρευτὰς καὶ

1. Γαλ. 5,17. 2. Δευτ. 15,9. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Β' Τιμ. 2,20. 5. Α' Τιμ. 3,15.

θηρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς ὄρους[1]. Πρόσεχε ἐπιμελῶς, μὴ πού σε διαφύγῃ τὸ θήραμα, ἵνα συλλαβόμενος τῷ λόγῳ τῆς ἀληθείας, τοὺς ὑπὸ τῆς κακίας ἀγριωθέντας προσαγάγῃς τῷ σώζοντι. Ὁδοιπόρος εἶ ὅμοιος τῷ εὐχομένῳ· «τὰ διαβήματά μου κατεύθυνον»[2]. «Πρόσεχε σεαυτῷ»[3], μὴ παρατραπῇς τῆς ὁδοῦ, μὴ ἐκκλίνῃς δεξιᾷ ἢ ἀριστερᾷ· ὁδῷ βασιλικῇ πορεύου. Ὁ ἀρχιτέκτων ἀσφαλῶς τὸν θεμέλιον καταβαλλέσθω τῆς πίστεως, ὅς ἐστιν Χριστὸς Ἰησοῦς. Ὁ οἰκοδόμος βλεπέτω πῶς ἐποικοδομεῖ· μὴ ξύλα, μὴ χόρτον, μὴ καλάμην, ἀλλὰ χρυσίον, ἀργύριον, λίθους τιμίους[4]. Ὁ ποιμήν, πρόσεχε μή τί σε παρέλθῃ τῶν ἐπιβαλ**[208]**λόντων τῇ ποιμαντικῇ. Ταῦτα δέ ἐστι ποῖα; Τὸ πεπλανημένον ἐπίστρεφε, τὸ συντετριμμένον ἐπίδησον, τὸ νοσοῦν ἴασαι. Ὁ γεωργός, περίσκαπτε τὴν ἄκαρπον συκῆν καὶ ἐπίβαλλε τὰ πρὸς βοήθειαν τῆς καρποφορίας[5]. Ὁ στρατιώτης[6], «συγκακοπάθησον τῷ Εὐαγγελίῳ»[7], **30** στρατεύου τὴν καλὴν στρατείαν[8] κατὰ τῶν πνευμάτων τῆς πονηρίας[9], κατὰ τῶν παθῶν τῆς σαρκός, ἀνάλαβε πᾶσαν τὴν πανοπλίαν τοῦ Πνεύματος[10]· μὴ ἐμπλέκου «ταῖς τοῦ βίου πραγματείαις»[11], ἵνα τῷ στρατολογήσαντι ἀρέσῃς. Ὁ ἀθλητής, «πρόσεχε σεαυτῷ»[12], μὴ πού τινα παραβῇς τῶν ἀθλητικῶν νόμων. Οὐδεὶς γὰρ στεφανοῦται, «ἐὰν μὴ νομίμως ἀθλήσῃ»[13]. Μιμοῦ τὸν Παῦλον καὶ τρέχοντα καὶ παλαίοντα καὶ πυκτεύοντα[14]· καὶ αὐτός, ὡς ἀγαθὸς πύκτης, ἀμετεώριστον ἔχε τὸ τῆς ψυχῆς βλέμμα. Σκέπε τὰ καίρια τῇ προβολῇ τῶν χειρῶν· ἀτενὲς τὸ ὄμμα πρὸς τὸν ἀντίπαλον ἔστω. Ἐν τοῖς δρόμοις τοῖς ἔμπροσθεν ἐπεκτείνου[15]. Οὕτω τρέχε, ἵνα καταλάβῃς[16]. Ἐν τῇ πάλῃ τοῖς ἀοράτοις ἀνταγωνίζου. Τοιοῦτόν σε εἶναι διὰ βίου ὁ λόγος βούλεται, μὴ ἀναπεπτωκότα, μηδὲ καθεύδοντα, ἀλλὰ νηφόντως καὶ ἐγρηγορικῶς[17] σεαυτοῦ προεστῶτα.

5. Ἐπιλείψει με ἡ ἡμέρα διηγούμενον[18] τά τε ἐπιτηδεύματα τῶν συνεργούντων εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ καὶ τὴν δύναμιν τοῦ προστάγματος, ὅπως εὐαρμόστως ἔχει πρὸς ἅπαντας. «Πρόσεχε σεαυτῷ»[19]· νηφάλιος ἔσο, βουλευτικός, τῶν παρόντων φύλαξ, προνοητικὸς τοῦ μέλλοντος. Μὴ τὸ μὲν ἤδη παρὸν διὰ ῥᾳθυμίας προΐεσο, τῶν δὲ μήτε ὄντων, μήτε ἐσομένων τυχόν, ὡς ἐν χερσὶν ὄντων, τὴν ἀπόλαυσιν ὑποτίθεσο. Ἆρ' οὐχὶ φύσει ὑπάρχει τὸ ἀρρώστημα τοῦτο τοῖς νέοις, κουφότητι γνώμης ἔχειν ἤδη νομίζειν τὰ ἐλπισθέντα; Ὅταν γάρ ποτε ἠρεμίας λάβωνται ἢ ἡσυχίας νυκτερινῆς, ἀναπλάττουσιν ἑαυτοῖς φαντασίας ἀνυποστάτους, τῇ εὐκολίᾳ τῆς διανοίας ἐπὶ πάντα φερόμενοι, ὑποτιθέμενοι περιφανείας βίου, γάμους λαμπρούς, εὐπαιδίαν,

---

1. Πρβ Ἱερ. 16,16. 2. Ψαλ. 118,133. 3. Δευτ. 15,9. 4. Πρβλ. Α' Κορ. 3,11-12. 5. Πρβλ. Λουκ. 13,8. 6. Πρβλ. Β' Τιμ. 2,3. 7. Β' Τιμ. 1,8. 8. Πρβλ. Α' Τιμ. 1,18. 9. Πρβλ. Ἐφ. 6,12. 10. Πρβλ. Ἐφ. 6,13. 11. Β' Τιμ. 2,4. 12. Δευτ. 15,9. 13. Β' Τιμ. 2,5. 14. Α' Κορ. 9,26. 15. Πρβλ. Φιλιπ. 3,13. 16. Πρβλ. Α' Κορ. 9,24. 17. Πρβλ. Α' Θεσ. 5,6. 18. Πρβλ. Ἑβρ. 11,32. 19. Δευτ. 16,4.

γῆρας βαθύ, τὰς παρὰ πάντων τιμάς. Εἶτα μηδαμοῦ στῆναι τῶν ἐλπίδων δυνάμενοι, πρὸς τὰ μέγιστα τῶν ἐν ἀνθρώποις ὑπερφυσῶνται. Οἴκους κτῶνται καλοὺς καὶ μεγάλους· πληρώσαντες τούτους παντοδαπῶν **31** κειμηλίων, γῆν περιβάλλονται, ὅσην ἂν αὐτοῖς ἡ ματαιότης τῶν λογισμῶν τῆς ὅλης κτίσεως ἀποτέμηται. Πάλιν τὰς ἐντεῦθεν εὐπορίας ταῖς τῆς ματαιότητος ἀποθήκαις ἐναποκλείουσι. Προστιθέασι τούτοις βοσκήματα, οἰκετῶν πλῆθος ἀριθμὸν ὑπερβαῖνον, ἀρχὰς πολιτικάς, ἡγεμονίας ἐθνῶν, στρατηγίας, πολέμους, τρόπαια, βασιλείαν αὐτήν. Ταῦτα πάντα τοῖς διακένοις τῆς διανοίας ἀναπλασμοῖς ἐπελθόντες, ὑπὸ τῆς **[209]** ἄγαν ἀνοίας ἀπολαύειν δοκοῦσι τῶν ἐλπισθέντων ὡς ἤδη παρόντων καὶ ἐν ποσὶ κειμένων αὐτοῖς. Ἴδιον ἀρρώστημα τοῦτο ἀργῆς καὶ ῥαθύμου ψυχῆς, ἐνύπνια βλέπειν ἐγρηγορότος τοῦ σώματος. Ταύτην τοίνυν τὴν χαυνότητα τῆς διανοίας καὶ τὴν φλεγμονὴν τῶν λογισμῶν καταπιέζων ὁ λόγος καὶ οἷον χαλινῷ τινι ἀνακρούων τῆς διανοίας τὸ ἄστατον, παραγγέλλει τὸ μέγα τοῦτο καὶ σοφὸν παράγγελμα· «σεαυτῷ», φησί, «πρόσεχε»[1], μὴ ὑποτιθέμενος τὰ ἀνύπαρκτα, ἀλλὰ τὰ παρόντα πρὸς τὸ συμφέρον διατιθέμενος. Οἶμαι δέ, κἀκεῖνο τὸ πάθος ἐξαιροῦντα τῆς συνηθείας, ταύτῃ χρήσασθαι τῇ παραινέσει τὸν νομοθέτην. Ἐπειδὴ ῥᾴδιον ἑκάστῳ ἡμῶν πολυπραγμονεῖν τὰ ἀλλότρια ἢ τὰ οἰκεῖα ἑαυτοῦ διασκέπτεσθαι, ἵνα μὴ τοῦτο πάσχωμεν, παῦσαι, φησί, τὰ τοῦ δεῖνος κακὰ περιεργαζόμενος· μὴ δίδου σχολὴν τοῖς λογισμοῖς τὸ ἀλλότριον ἐξετάζειν ἀρρώστημα, ἀλλὰ «σαυτῷ πρόσεχε»· τουτέστιν, ἐπὶ τὴν οἰκείαν ἔρευναν στρέφε σου τὸ ὄμμα τῆς ψυχῆς. Πολλοὶ γάρ, κατὰ τὸν λόγον τοῦ Κυρίου, τὸ μὲν κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κατανοοῦσι, τὴν δὲ ἐν τῷ οἰκείῳ ὀφθαλμῷ δοκὸν οὐκ ἐμβλέπουσι[2]. Μὴ παύσῃ τοίνυν διερευνώμενος σεαυτόν, εἴ σοι κατ' ἐντολὴν ὁ βίος πρόεισιν· ἀλλὰ μὴ τὰ ἔξω περισκόπει, εἴ πού τινος μῶμον ἐξευρεῖν δυνηθείης, κατὰ τὸν φαρισαῖον τὸν βαρὺν ἐκεῖνον καὶ ἀλαζόνα, ὃς εἱστήκει ἑαυτὸν δικαιῶν καὶ τὸν τελώνην ἐξευτελίζων[3]· ἀλλὰ σεαυτὸν ἀνακρίνων μὴ διαλείπῃς, μή τι κατὰ τὰς ἐνθυμήσεις ἥμαρτες, μή **32** τι ἡ γλῶσσα παρώλισθε τῆς διανοίας προεκδραμοῦσα, μὴ ἐν τοῖς ἔργοις τῶν χειρῶν πέπρακταί τι τῶν ἀβουλήτων. Κἂν εὕρῃς ἐν τῷ βίῳ σεαυτοῦ πολλὰ τὰ ἁμαρτήματα (εὑρήσεις δὲ πάντως ἄνθρωπος ὤν), λέγε τὰ τοῦ τελώνου· «ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ»[4]. «Πρόσεχε» οὖν «σεαυτῷ»[5]. Τοῦτο σοι τὸ ῥῆμα καὶ λαμπρῶς εὐημεροῦντί ποτε καὶ παντὸς τοῦ βίου κατὰ ῥοῦν φερομένου, χρησίμως παραστήσεται, ὥσπερ τις ἀγαθὸς σύμβουλος ὑπόμνησιν φέρων τῶν ἀνθρωπίνων. Καὶ μέντοι καὶ ὑπὸ περιστάσεων πιεζομένῳ, ἐν καιρῷ ἂν γένοιτο τῇ καρδίᾳ κατεπᾳδόμενον, ὡς μήτε τύφῳ πρὸς ἀλαζονείαν ὑπέρογκον ἐπαρθῆναι, μήτε ἀπογνώσει πρὸς ἀγενῆ

1. Δευτ. 15,9. 2. Πρβλ. Ματθ. 7,3. 3. Πρβλ. Λουκ. 18,11. 4. Λουκ. 18,13. 5. Δευτ. 15,9.

δυσθυμίαν καταπεσεῖν. Πλούτῳ κομᾷς; καὶ ἐπὶ προγόνοις μέγα φρονεῖς; καὶ ἐπαγάλλῃ πατρίδι καὶ κάλλει σώματος καὶ ταῖς παρὰ πάντων τιμαῖς; «Πρόσεχε σεαυτῷ»[1], ὅτι θνητὸς εἶ, «ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ»[2]. Περίβλεψαι τοὺς πρὸ σοῦ ἐν ταῖς ὁμοίαις περιφανείαις ἐξετασθέντας. Ποῦ οἱ τὰς πολιτικὰς δυναστείας περιβεβλημένοι; ποῦ οἱ δυσμαχώτατοι ῥήτορες; ποῦ οἱ τὰς πανηγύρεις διατιθέντες, οἱ λαμπροὶ ἱπποτρόφοι, οἱ στρατηγοί, οἱ σατράπαι, οἱ τύραννοι; Οὐ πάντα κόνις; οὐ πάντα μῦθος; Οὐκ ἐν ὀλίγοις ὀστέοις τὰ μνημόσυνα τῆς ζωῆς αὐ**[212]**τῶν; Ἔγκυψον τοῖς τάφοις, εἰ δυνήσῃ διακρῖναι, τίς ὁ οἰκέτης καὶ τίς ὁ δεσπότης, τίς ὁ πτωχὸς καὶ τίς ὁ πλούσιος. Διάκρινον, εἴ τίς σοι δύναμις, τὸν δέσμιον ἀπὸ τοῦ βασιλέως, τὸν ἰσχυρὸν ἀπὸ τοῦ ἀσθενοῦς, τὸν εὐπρεπῆ ἀπὸ τοῦ δυσειδοῦς. Μεμνημένος οὖν τῆς φύσεως, οὐκ ἐπαρθήσῃ ποτέ. Μεμνήσῃ δὲ σαυτοῦ, ἐὰν προσέχῃς σεαυτῷ.

6. Πάλιν δυσγενής τις εἶ καὶ ἄδοξος, πτωχὸς ἐκ πτωχῶν, ἀνέστιος, ἄπολις, ἀσθενής, τῶν ἐφ' ἡμέραν ἐνδεής, τρέμων τὰς δυναστείας, πάντας **33** ὑποπτήσσων διὰ ταπεινότητα βίου; «Πτωχὸς» γάρ, φησίν, «οὐχ ὑφίσταται ἀπειλήν»[3]. Μὴ τοίνυν ἀπογνῷς σεαυτοῦ, μηδ', ὅτι οὐδὲν ζηλωτὸν ἐν τῷ παρόντι σοι πρόσεστι, πᾶσαν ἀγαθὴν ἀπορρίψῃς ἐλπίδα· ἀλλ' ἀνάγαγε σεαυτοῦ τὴν ψυχὴν πρός τε τὰ ἤδη ὑπηργμένα σοι παρὰ τοῦ Θεοῦ ἀγαθὰ καὶ πρὸς τὰ δι' ἐπαγγελίας εἰς ὕστερον ἀποκείμενα. Πρῶτον μὲν οὖν, ἄνθρωπος εἶ, μόνον τῶν ζῴων θεόπλαστον[4]. Ἆρ' οὐκ ἐξαρκεῖ τοῦτο σωφρόνως λογιζομένῳ πρὸς εὐθυμίαν τὴν ἀνωτάτω, τὸ ὑπ' αὐτῶν τῶν χειρῶν τοῦ Θεοῦ τοῦ τὰ πάντα συστησαμένου διαπλασθῆναι; ἔπειθ' ὅτι κατ' εἰκόνα γεγενημένος τοῦ κτίσαντος[5], δύνασαι πρὸς τὴν τῶν ἀγγέλων ὁμοτιμίαν δι' ἀγαθῆς πολιτείας ἀναδραμεῖν; Ψυχὴν ἔλαβες νοεράν, δι' ἧς Θεὸν περινοεῖς, τῶν ὄντων τὴν φύσιν λογισμῷ καθορᾷς, σοφίας δρέπῃ καρπὸν τὸν ἥδιστον. Πάντα μέν σοι τὰ χερσαῖα ζῷα, ἥμερά τε καὶ ἄγρια, πάντα δὲ τὰ ἐν ὕδασι διαιτώμενα καὶ ὅσα τὸν ἀέρα διαπέταται τοῦτον, δοῦλά ἐστι καὶ ὑποχείρια[6]. Οὐ σὺ μέντοι τέχνας ἐξεῦρες καὶ πόλεις συνεστήσω καὶ ὅσα ἀναγκαῖα καὶ ὅσα πρὸς τρυφὴν ἐπενόησας; Οὐ βάσιμά σοι τὰ πελάγη διὰ τὸν λόγον; Οὐ γῆ τε καὶ θάλαττα ὑπηρετεῖ τῷ βίῳ τῷ σῷ; Οὐκ ἀὴρ καὶ οὐρανὸς καὶ ἀστέρων χορεῖαι σοὶ τὴν ἑαυτῶν ἐπιδείκνυνται τάξιν; Τί οὖν μικροψυχεῖς, ὅτι ἵππος σοι οὐκ ἔστιν ἀργυροχάλινος; Ἀλλ' ἥλιον ἔχεις ὀξυτάτῳ δρόμῳ διὰ πάσης ἡμέρας δαδουχοῦντά σοι τὴν λαμπάδα. Οὐκ ἔχεις ἀργύρου καὶ χρυσοῦ λαμπηδόνας, ἀλλὰ σελήνην ἔχεις μυρίῳ σε τῷ παρ' ἑαυτῆς φωτὶ περιλάμπουσαν. Οὐκ ἐπιβέβηκας ἁρμάτων χρυσοκολλήτων, ἀλλὰ πόδας ἔχεις οἰκεῖον ὄχημα καὶ **34** συμφυὲς σεαυτῷ. Τί οὖν μακαρίζεις τοὺς τὸ ἁδρὸν βαλάντιον

---

1. Δευτ. 15,9. 2. Γεν. 3,19. 3. Παρμ. 13,8. 4. Πρβλ. Γεν. 2,7. 5. Πρβλ. Γεν. 1,26. 6. Πρβλ. Γεν. 1,28.

κεκτημένους καὶ ἀλλοτρίων ποδῶν εἰς τὴν μετάβασιν δεομένους; Οὐ καθεύδεις ἐπὶ κλίνης ἐλεφαντίνης, ἀλλ' ἔχεις τὴν γῆν πολλῶν ἐλεφάντων τιμιωτέραν καὶ γλυκεῖαν ἐπ' **[213]** αὐτῆς τὴν ἀνάπαυσιν, ταχὺν τὸν ὕπνον καὶ μερίμνης ἀπηλλαγμένον. Οὐ κατάκεισαι ὑπὸ χρυσοῦν ὄροφον, ἀλλ' οὐρανὸν ἔχεις τοῖς ἀρρήτοις τῶν ἀστέρων κάλλεσι περιστίλβοντα. Ταῦτα μὲν δὴ τὰ ἀνθρώπινα· τὰ δὲ ἔτι μείζω. Διὰ σὲ Θεὸς ἐν ἀνθρώποις[1], Πνεύματος Ἁγίου διανομή[2], θανάτου κατάλυσις[3], ἀναστάσεως ἐλπίς[4], θεῖα προστάγματα τελειοῦντά σου τὴν ζωήν, πορεία πρὸς Θεὸν διὰ τῶν ἐντολῶν[5], βασιλεία τῶν οὐρανῶν εὐτρεπὴς[6], στέφανοι δικαιοσύνης[7] ἕτοιμοι τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους μὴ ἀποδράντι.

7. Ἐὰν προσέχῃς σεαυτῷ, ταῦτα καὶ ἔτι πλείονα εὑρήσεις περὶ σεαυτόν· καὶ ἀπολαύσεις μὲν τῶν παρόντων, οὐ μικροψυχήσεις δὲ πρὸς τὸ ἐνδέον. Πανταχοῦ σοι παριστάμενον τὸ παράγγελμα μεγάλην παρέξεται τὴν βοήθειαν. Οἶον, ὀργή σου τῶν λογισμῶν κατεκράτησε καὶ ἐκφέρῃ ὑπὸ θυμοῦ πρός τε ῥήματα ἀπρεπῆ καὶ πράξεις χαλεπὰς καὶ θηριώδεις; Ἐὰν προσέχῃς σεαυτῷ, καταστελεῖς μὲν τὸν θυμὸν ὥσπερ τινὰ πῶλον ἀπειθῆ καὶ δυσήνιον, τῇ πληγῇ τοῦ λόγου οἱονεὶ μάστιγι καθαπτόμενος. Κρατήσεις δὲ καὶ γλώσσης, τὰς δὲ χεῖρας οὐκ ἐπαφήσεις τῷ παροξύναντι. Πάλιν ἐπιθυμίαι πονηραὶ ἐξοιστρῶσαι τὴν ψυχήν, εἰς ὁρμὰς ἀκρατεῖς καὶ ἀκολάστους ἐμβάλλουσιν. Ἐὰν προσέχῃς σεαυτῷ καὶ μνησθῇς, ὅτι τοῦτο μέν σοι τὸ παρὸν ἡδὺ εἰς πικρὸν καταντήσει πέρας καὶ ὁ νῦν ἐκ τῆς ἡδονῆς ἐγγινόμενος **35** τῷ σώματι ἡμῶν γαργαλισμός, οὗτος γεννήσει τὸν ἰοβόλον σκώληκα[8] ἀθάνατα κολάζοντα ἡμᾶς ἐν τῇ γεέννῃ[9] καὶ ἡ πύρωσις τῆς σαρκὸς μήτηρ γενήσεται τοῦ αἰωνίου πυρός[10], εὐθὺς οἰχήσονται φυγαδευθεῖσαι αἱ ἡδοναὶ καὶ θαυμαστή τις ἔνδον γαλήνη περὶ τὴν ψυχὴν καὶ ἡσυχία γενήσεται, οἷον θεραπαινίδων ἀκολάστων θορύβου κατασιγασθέντος δεσποίνης τινὸς σώφρονος παρουσίᾳ. «Πρόσεχε» τοίνυν «σεαυτῷ»[11] καὶ γνῶθι ὅτι τὸ μὲν λογικόν ἐστι καὶ νοερὸν τῆς ψυχῆς, τὸ δὲ παθητικόν τε καὶ ἄλογον. Καὶ τῷ μὲν φύσει τὸ κρατεῖν ὑπάρχει, τοῖς δὲ τὸ ὑπακούειν τῷ λόγῳ καὶ καταπείθεσθαι. Μή ποτε οὖν ἐάσῃς ἐξανδραποδισθέντα τὸν νοῦν δοῦλον γενέσθαι τῶν παθημάτων· μηδ' αὖ πάλιν ἐπιτρέψῃς τοῖς πάθεσι κατεξαναστῆναι τοῦ λόγου καὶ εἰς ἑαυτὰ τὸ κράτος τῆς ψυχῆς περιστῆσαι. Ὅλως δέ σοι ἡ ἀκριβὴς σεαυτοῦ κατανόησις αὐτάρκη παρέξει χειραγωγίαν καὶ πρὸς τὴν ἔννοιαν τοῦ Θεοῦ. Ἐὰν γὰρ προσέχῃς σεαυτῷ[12], οὐδὲν δεήσῃ ἐκ τῆς τῶν ὅλων κατασκευῆς τὸν Δημιουργὸν ἐξιχνεύειν, ἀλλ' ἐν σεαυτῷ, **[216]** οἱονεὶ μικρῷ τινι διακόσμῳ, τὴν μεγάλην κατόψει τοῦ κτίσαντός σε σοφίαν.

1. Πρβλ. Ἰω. 1,14. 2. Πρβλ. Ἑβρ. 2,4. 3. Πρβλ. Α' Κορ. 15,26-55. 4. Πρβλ.. Α' Κορ. 15,12-22. 5. Πρβλ. Ματθ. 19,17-21. 6. Πρβλ. Ματθ. 25,34. 7. Πρβλ. Β' Τιμ. 4,8. 8. Πρβλ. Ἡσ. 66,24. 9. Πρβλ. Μάρκ. 9,43,45,47. 10. Πρβλ. Ματθ. 25,41. 11. Δευτ. 15,9. 12. Ἔνθ' ἀν.

Ἀσώματον ἐννόει τὸν Θεὸν ἐκ τῆς ἐνυπαρχούσης σοι ψυχῆς ἀσωμάτου, μὴ περιγραφόμενον τόπῳ· ἐπειδὴ οὐδὲ ὁ σὸς νοῦς προηγουμένην ἔχει τὴν ἐν τόπῳ διατριβήν, ἀλλὰ διὰ τῆς πρὸς τὸ σῶμα συναφείας ἐν τόπῳ γίνεται. Ἀόρατον τὸν Θεὸν εἶναι πίστευε, τὴν σεαυτοῦ ψυχὴν ἐννοήσας, ἐπεὶ καὶ αὐτὴ σωματικοῖς ὀφθαλμοῖς ἄληπτός ἐστιν. Οὔτε γὰρ κέχρωσται, οὔτε ἐσχημάτισται, οὔτε τινὶ χαρακτῆρι σωματικῷ περιείληπται, ἀλλ' ἐκ τῶν ἐνεργειῶν γνωρίζεται μόνον. Ὥστε μήτε ἐπὶ Θεοῦ ζητήσῃς τὴν δι' ὀφθαλμῶν κατανόησιν, ἀλλὰ τῇ διανοίᾳ ἐπιτρέψας τὴν πίστιν, νοητὴν ἔχε περὶ αὐτοῦ τὴν κατάληψιν. Θαύμαζε τὸν τεχνίτην, πῶς τῆς ψυχῆς σου τὴν δύναμιν πρὸς τὸ σῶμα συνέδησεν, ὡς, μέχρι τῶν περάτων αὐτοῦ διικνουμένην, τὰ πλεῖστον διεστῶτα μέλη πρὸς μίαν σύμπνοιαν καὶ κοινωνίαν ἄγειν. Σκόπει τίς ἡ ἀπὸ ψυχῆς ἐνδιδομένη τῇ σαρκὶ δύναμις· τίς ἡ ἀπὸ σαρκὸς πρὸς ψυχὴν ἐπανιοῦσα συμπάθεια· πῶς δέχεται μὲν τὴν ζωὴν ἐκ τῆς ψυχῆς τὸ σῶμα, δέχεται δὲ **36** ἀλγηδόνας ἀπὸ τοῦ σώματος ἡ ψυχή· ποίας ἀποθήκας τῶν μαθημάτων ἔχει· διὰ τί οὐκ ἐπισκοτεῖ τῇ γνώσει τῶν προλαβόντων ἡ τῶν ἐπιγινομένων προσθήκη, ἀλλ' ἀσύγχυτοι καὶ εὐκρινεῖς αἱ μνῆμαι, οἷον χαλκῇ τινι στήλῃ τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἐγκεχαραγμέναι, διαφυλάττονται· πῶς μέν, πρὸς τὰ τῆς σαρκὸς ὑπολισθαίνουσα πάθη τὸ οἰκεῖον ἀπόλλυσι κάλλος· πῶς δὲ πάλιν, τὸ ἀπὸ κακίας αἶσχος καθηραμένη, δι' ἀρετῆς πρὸς τὴν ὁμοίωσιν ἀνατρέχει τοῦ κτίσαντος.

8. Πρόσχες, εἰ δοκεῖ, μετὰ τὴν τῆς ψυχῆς θεωρίαν καὶ τῇ τοῦ σώματος κατασκευῇ καὶ θαύμασον ὅπως πρέπον αὐτὸ καταγώγιον τῇ λογικῇ ψυχῇ ὁ ἀριστοτέχνης ἐδημιούργησεν. Ὄρθιον ἔπλασε μόνον τῶν ζῴων τὸν ἄνθρωπον, ἵνα ἐξ αὐτοῦ τοῦ σχήματος εἰδῇς, ὅτι ἐκ τῆς ἄνωθεν συγγενείας ἐστὶν ἡ ζωή σου. Τὰ μὲν γὰρ τετράποδα πάντα [πρὸς τὴν γῆν βλέπει καὶ] πρὸς τὴν γαστέρα νένευκεν· ἀνθρώπῳ δὲ ἑτοίμη πρὸς οὐρανὸν ἡ ἀνάβλεψις, ὥστε μὴ σχολάζειν γαστρί, μηδὲ τοῖς ὑπὸ γαστέρα πάθεσιν, ἀλλ' ὅλην ἔχειν τὴν ὁρμὴν πρὸς τὴν ἄνω πορείαν. Ἔπειτα τὴν κεφαλὴν ἐπὶ τῶν ὑψηλοτάτων θείς, ἐν αὐτῇ τὰς πλείστου ἀξίας τῶν αἰσθήσεων καθιδρύσατο. Ἐκεῖ ὄψις καὶ ἀκοὴ καὶ γεῦσις καὶ ὄσφρησις, πᾶσαι ἐγγὺς ἀλλήλων κατῳκισμέναι. Καὶ οὕτω περὶ βραχὺ χωρίον στενοχωρούμεναι, οὐδὲν ἑκάστη παρεμποδίζει τῇ ἐνεργείᾳ τῆς γείτονος. Ὀφθαλμοὶ μέν γε τὴν ὑψηλοτάτην σκοπιὰν κατειλήφασιν, ὥστε μηδὲν αὐτοῖς τῶν τοῦ σώματος μορίων ἐπιπροσθεῖν, ἀλλὰ **[217]** μικρᾷ προβολῇ **37** τῶν ὀφρύων ὑποκαθήμενοι, ἐκ τῆς ἄνωθεν ἐξοχῆς πρὸς τὸ εὐθὲς ἀποτείνονται. Πάλιν ἡ ἀκοὴ οὐκ ἐπ' εὐθείας ἤνοικται, ἀλλ' ἑλικοειδεῖ τῷ πόρῳ τῶν ἐν τῷ ἀέρι ψόφων ἀντιλαμβάνεται. Σοφίας καὶ τοῦτο τῆς ἀνωτάτω, ὥστε τὴν μὲν φωνὴν ἀκωλύτως διεξιέναι, ἢ καὶ μᾶλλον ἐνηχεῖν, περικλωμένην ταῖς σκολιότησι, μηδὲν δὲ τῶν ἔξωθεν παρεμπίπτον κώλυμα εἶναι δύνασθαι τῇ αἰσθήσει. Κατάμαθε τῆς γλώττης τὴν φύσιν, ὅπως ἁπαλή τέ ἐστι καὶ εὔστροφος καὶ πρὸς πᾶσαν χρείαν λόγου τῷ ποικίλῳ τῆς

κινήσεως ἐξαρκοῦσα. Ὀδόντες, ὁμοῦ μὲν φωνῆς ὄργανα, ἰσχυρὰν τῇ γλώττῃ τὴν ἀντέρεισιν παρεχόμενοι, ὁμοῦ δὲ καὶ τροφῆς ὑπηρέται, οἱ μὲν τέμνοντες αὐτήν, οἱ δὲ λεαίνοντες. Καὶ οὕτω πάντα λογισμῷ ἐπιπορευόμενος τῷ προσήκοντι καὶ καταμανθάνων ὁλκὴν ἀέρος διὰ τοῦ πνεύμονος, τοῦ θερμοῦ φυλακὴν ἐπὶ τῆς καρδίας, ὄργανα πέψεως, ὀχετοὺς αἵματος, ἐκ πάντων τούτων τὴν ἀνεξιχνίαστον σοφίαν τοῦ ποιήσαντός σε κατόψει, ὡς ἂν καὶ αὐτόν σε εἰπεῖν μετὰ τοῦ προφήτου· «ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ»[1]. «Πρόσεχε» οὖν «σεαυτῷ»[2], ἵνα προσέχῃς Θεῷ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

1. Ψαλ. 138,6. 2. Δευτ. 15,9.

ΛΟΓΟΣ

ΠΕΡΙ ΕΥΧΑΡΙΣΤΙΑΣ

1. Ἠκούσατε τῶν ῥημάτων τοῦ Ἀποστόλου, δι' ὧν Θεσσαλονικεῦσι διαλέγεται, παντὶ νομοθετοῦντος τῷ βίῳ. Ἡ μὲν γὰρ διδασκαλία πρὸς τοὺς ἑκάστοτε αὐτῷ παρατυγχάνοντας ἦν· τὸ δὲ ἀπ' αὐτῆς ὠφέλιμον ἐπὶ πᾶσαν διαβαίνει τὴν τῶν ἀνθρώπων ζωήν. «Πάντοτε χαίρετε», φησίν· «ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε»[1]. Τί μὲν οὖν τὸ χαίρειν αὐτὸ καὶ τί τὸ ἐξ αὐτοῦ ὠφέλιμον καὶ πῶς δυνατὸν τὴν ἀδιάλειπτον προσευχὴν κατορθοῦν καὶ τὴν ἐπὶ πᾶσιν εὐχαριστίαν ἀποδιδόναι τῷ Θεῷ, ὡς δυνατὸν μικρὸν ὕστερον διηγησόμεθα. Ἃ γε μὴν παρὰ τῶν ἐναντίων ἡμῖν ἅπαντᾷ, διαβαλλόντων τὸ τῆς νομοθεσίας ἀδύνατον, ταῦτα προδιαλαβεῖν ἀναγκαῖον. Τίς γάρ ἐστιν ἀρετή, φησί, νυκτὸς καὶ ἡμέρας ἐν διαχύσει ψυχῆς φαιδρὸν καὶ γεγανωμένον διάγειν; Πῶς δὲ καὶ δυνατὸν κατορθωθῆναι τοῦτο, μυρίων περισταμένων ἡμᾶς ἀβουλήτων κακῶν, ἀναγκαίαν τῇ ψυχῇ τὴν κατήφειαν ἐμποιούντων, ἐξ ὧν χαίρειν καὶ διευθυμεῖσθαι πλέον ἀδύνατον, ἢ τὸν ἀποτηγανιζόμενον μὴ ἀλγεῖν καὶ τὸν κατακεντούμενον μὴ ὀδυνᾶσθαι; Ἤ πού τις καὶ τῶν περιεστώτων ἡμᾶς ἐνταῦθα, τὴν ἀσθένειαν ταύτην τῶν λογισμῶν **[220]** ἀρρωστῶν, προφασίζεται «προφάσεις ἐν ἁμαρτίαις»[2], ὃς διὰ τὸ περὶ τὴν τήρησιν τῶν ἐντολῶν ὀκνηρὸν τῷ νομοθέτῃ περιτρέπειν τὰς μέμψεις ἐπιχειρεῖ, ὡς ἀδύνατα διορίζοντι. Καί φησι· πῶς δυνατόν μοι πάντοτε χαίρειν[3], τῶν αἰτιῶν τῆς χαρᾶς οὐκ ἐπ' ἐμοὶ κειμένων; Ἔξωθεν γάρ ἐστι τὰ ποιητικὰ τοῦ χαίρειν καὶ οὐκ ἐν ἡμῖν ἀποκείμενα· φίλου παρουσία, γονέων χρονία συντυχία, χρημάτων εὑρέσεις, τιμαὶ παρὰ τῶν ἀνθρώπων, πρὸς ὑγείαν ἐκ χαλεπῆς ἀρρωστίας ἀποκατάστασις, ἡ λοιπὴ τοῦ βίου εὐημερία· οἶκος εὐθηνῶν διὰ πάντων, τράπεζα πλήθουσα, κοινωνοὶ τῆς εὐφροσύνης οἱ ἐπιτήδειοι, ἀκούσματα καὶ θεάματα ἡδονὴν φέροντα, ὑγεία τῶν οἰκειοτάτων καὶ ἡ λοιπὴ αὐτοῖς τοῦ βίου εὔροια. Λυπηρὰ γὰρ οὐ τὰ ἡμῖν προσπίπτοντα μόνον τῶν ἀλγεινῶν, ἀλλὰ καὶ τὰ φίλους καὶ συγγενεῖς ἀνιῶντα. Ὥστε ἐκ πάντων τούτων ἀνάγκη ἀθροίζεσθαι τὸ περιχαρὲς καὶ εὔθυμον τῆς ψυχῆς. Καὶ πρὸς τούτοις, ὅταν ὀρᾷν ὑπάρχῃ ἐχθρῶν καταπτώσεις, ἐπιβούλων πληγάς, εὐεργετῶν ἀμοιβὰς καὶ ἁπαξαπλῶς ἐὰν μήτε παρόν τι τῶν δυσκόλων, μήτε προσδοκώμενον ὅλως τὴν ζωὴν ἡμῶν ἐπιταράσσῃ· τότε δυνατὸν ἐγγίνεσθαι τῇ ψυχῇ τὴν χαράν. Πῶς οὖν πρόσταγμα ἡμῖν δέδοται τὸ μὴ ἐκ προαιρέσεως κατορ-

---

1. Α' Θεσ. 5,16-18. 2. Ψαλ. 140,4. 3. Πρβλ. Α' Θεσ. 5,16.

θούμενον, ἀλλ' ἐπακολούθημα ἑτέρων προηγουμένων ὑπάρχον; Πῶς δὲ καὶ ἀδιαλείπτως προσεύξομαι[1], τῶν τοῦ σώματος χρειῶν ἀναγκαίως τὴν ἔννοιαν τῆς ψυχῆς περιστρεφουσῶν πρὸς ἑαυτάς, ἀδυνάτου ὄντος κατὰ ταὐτὸν πρὸς δύο μερίμνας τὴν διάνοιαν κατατέμνεσθαι;

2. Ἀλλὰ καὶ ἐν παντί μοι εὐχαριστεῖν[2] διατέτακται. Εὐχαριστήσω στρεβλούμενος, αἰκιζόμενος, ἐπὶ τροχοῦ κατατεινόμενος, τοὺς ὀφθαλμοὺς ἐκκοπτόμενος; Εὐχαριστήσω τυπτόμενος τὴν ἄτιμον πληγὴν παρὰ τοῦ μισοῦντος; πηγνύμενος ὑπὸ τοῦ κρύους, λιμῷ καταγχόμενος, ἐπὶ τοῦ ξύλου δεδεμένος, ἀτεκνωθεὶς ἀθρόως, ἢ καὶ τῆς γυναικὸς αὐτῆς ἐστερημένος; ἐκ ναυαγίων ἐξαίφνης ἐκπεσὼν εὐπορίας; πειρατaῖς κατὰ θάλασσαν, ἢ λῃσταῖς κατ' ἤπειρον περιτυχών; τραύματα ἔχων, συκοφαντούμενος, ἀλητεύων, τὸ δεσμωτήριον οἰκῶν; Ταῦτα καὶ ἔτι πλείω τούτων, κατηγοροῦντες τοῦ νομοθέτου, συνείρουσιν, ἀπολογίαν τῶν ἁμαρτημάτων ἑαυτοῖς εὑτρεπίζειν ἡγούμενοι τὴν ἐπὶ τοῖς διατεταγμένοις ἡμῖν, ὡς ἀδυνάτοις, διαβολήν. Τί οὖν φαμεν; Ὅτι, πρὸς ἕτερα βλέποντος τοῦ Ἀποστόλου καὶ τὰς ψυχὰς ἡμῶν πειρωμένου χαμόθεν πρὸς ὕψος μετεωρίζειν καὶ ἐπὶ τὸ οὐράνιον μετατιθέναι πολίτευμα, οἱ μὴ ἐφικνούμενοι τῆς μεγαλονοίας τοῦ νομοθέτου, περὶ γῆν καὶ σάρκας, ὡς περὶ τέλμα σκώληκες, ἰλυσπώμενοι ἐν τοῖς τοῦ σώματος πάθεσι, τὸ δυνατὸν τῶν [221] ἀποστολικῶν διατάξεων ἀπαιτοῦσιν. Ὁ δὲ προκαλεῖται εἰς τὸ πάντοτε χαίρειν[3] οὐχὶ τὸν τυχόντα, ἀλλὰ τὸν οἷος αὐτὸς ἦν, οὐκέτι ζῶν ἐν σαρκί, ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστόν[4], ὡς τῆς πρὸς τὸ ἀκρότατον τῶν ἀγαθῶν συναφείας μηδαμῶς τὴν ἀπὸ τῶν ὀχληρῶν τῆς σαρκὸς συμπάθειαν δεχομένης. Ἀλλὰ κἂν διακόπτηται ἡ σάρξ, ἡ τῆς συνεχείας διάλυσις ἐναπομένει τῷ πεπονθότι τοῦ σώματος μέρει, τῆς διαδόσεως τοῦ λυποῦντος οὐ δυναμένης διικνεῖσθαι πρὸς τὸ νοερὸν τῆς ψυχῆς. Εἰ γὰρ ἐνεκρώσαμεν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς[5], κατὰ τὰς ὑποθήκας τοῦ Ἀποστόλου καὶ «τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιεφέρομεν»[6], ἀναγκαίως ἡ ἀπὸ τοῦ νενεκρωμένου σώματος πληγὴ πρὸς τὴν ἀπολελυμένην τῆς συναφείας αὐτοῦ ψυχὴν οὐ χωρήσει. Ἀτιμίαι δὲ καὶ ζημίαι καὶ οἰκείων θάνατοι οὐκ ἀναβήσονται πρὸς τὸν νοῦν, οὐδὲ καταστρέψουσι τὸ ὑψηλὸν τῆς ψυχῆς πρὸς τὴν ὧδε συμπάθειαν. Εἰ μὲν γὰρ τὰ αὐτὰ φρονοῦσι τῷ σπουδαίῳ οἱ ταῖς δυσκολίαις περιπεσόντες, οὐ παρέξουσι λύπας ἑτέρῳ, οἵ γε μηδ' αὐτοὶ λυπηρῶς διαφέροντες τὰ συμπίπτοντα· εἰ δὲ κατὰ σάρκα ζῶσιν[7], οὐδ' οὕτω λυπήσουσιν, ἀλλ' ἐλεεινοὶ κριθήσονται, οὐ τῶν περιστάσεων μᾶλλον, ἢ τοῦ μὴ προαιρεῖσθαι τὰ δέοντα. Ὅλως δὲ ψυχή, ἡ ἅπαξ προσδεθεῖσα τῷ πόθῳ τοῦ Κτίσαντος καὶ τοῖς ἐκεῖ κάλλεσιν ἐνειθισμένη φαιδρύνεσθαι, τὸ περιχαρὲς αὐτῆς καὶ

---

1. Πρβλ. Α' Θεσ. 5,17. 2. Πρβλ. Α' Θεσ. 5,18. 3. Πρβλ. Α' Θεσ. 5,16. 4. Πρβλ. Γαλ. 2,20. 5. Πρβλ. Κολ. 3,5. 6. Β' Κορ. 4,10. 7. Πρβλ. Ρωμ. 8,12.

εὔθυμον ὑπὸ τῆς ποικίλης μεταπτώσεως τῶν σαρκικῶν παθημάτων οὐ μεταβαλεῖ· ἀλλὰ τὰ τοῖς ἄλλοις λυπηρὰ προσθήκην εὐφροσύνης ποιήσεται. Οἷος ἦν ὁ Ἀπόστολος, εὐδοκῶν ἐν ἀσθενείαις, ἐν θλίψεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, καυχήματα ἑαυτοῦ τὰς ἐνδείας ποιούμενος[1]· ἐν λιμῷ καὶ δίψει, ἐν ψύχει καὶ γυμνότητι, ἐν διωγμοῖς καὶ στενοχωρίαις[2], ἐφ' οἷς ἄλλοι δυσανασχετοῦσι καὶ πρὸς τὸν βίον ἀπαγορεύουσιν, ἐπὶ τούτοις αὐτὸς ἀγαλλιώμενος. Οἱ τοίνυν ἀπαιδεύτως ἔχοντες τῆς ἀποστολικῆς διανοίας καὶ μὴ συνιέντες, ὅτι πρὸς τὴν εὐαγγελικὴν ἡμᾶς προσκαλεῖται ζωήν, τολμῶσι κατηγορεῖν τοῦ Παύλου, ὡς ἀδύνατα ἡμῖν διορίζοντος. Ἀλλὰ μὴν διδασκέσθωσαν ὅσαι τοῦ χαίρειν εὐλόγως αἱ ἀφορμαὶ διὰ τῆς τοῦ Θεοῦ μεγαλοδωρεᾶς ἡμῖν πρόκεινται. Παρήχθημεν εἰς τὸ εἶναι, μὴ ὄντες· κατ' εἰκόνα τοῦ κτίσαντος ἐγενήθημεν[3]· νοῦν καὶ λόγον συμπληροῦντα ἡμῶν τὴν φύσιν ἔχομεν, δι' οὗ Θεὸν ἐγνωρίσαμεν. Καὶ τὰ κάλλη τῆς κτίσεως ἐντέχνως καταμανθάνοντες, δι' αὐτῶν, οἱονεὶ διὰ γραμμάτων τινῶν, τὴν μεγάλην τοῦ Θεοῦ περὶ πάντα **[224]** πρόνοιαν καὶ σοφίαν ἀναγινώσκομεν. Διακριτικοὶ ἐσμεν ἀγαθοῦ καὶ τοῦ χείρονος· ἐκλογὴν τοῦ συμφέροντος καὶ ἀποστροφὴν τοῦ βλαβεροῦ ἐξ αὐτῆς τῆς φύσεως δεδιδάγμεθα. Ἀλλοτριωθέντες Θεοῦ διὰ τῆς ἁμαρτίας, πάλιν εἰς τὴν οἰκειότητα ἀνεκλήθημεν, τῷ αἵματι τοῦ Μονογενοῦς ἐκ τῆς ἀτίμου δουλείας ἐξαιρεθέντες. Ἀναστάσεως ἐλπίδες, ἀγγελικῶν ἀγαθῶν ἀπολαύσεις, ἡ ἐν οὐρανοῖς βασιλεία, τὰ ἐν ἐπαγγελίαις ἀγαθὰ καὶ διανοίας καὶ λόγου δύναμιν ὑπερβαίνοντα.

3. Πῶς οὐχὶ ταῦτα προσήκει χαρᾶς ἀλήκτου καὶ εὐφροσύνης διηνεκοῦς ἐξαρκεῖν νομίζειν αἴτια, ἀλλ' οἴεσθαι τὸν γαστριζόμενον καὶ καταυλούμενον καὶ ἐπὶ μαλακῆς κοίτης ἀνατετραμμένον καὶ ῥέγχοντα, τοῦτον ἀξίως χαρᾶς διαζῆν; Ἐγὼ δὲ τούτοις μὲν τὸ θρηνεῖσθαι φαίην ἂν πρέπειν παρὰ τῶν νοῦν ἐχόντων· μακαρίζειν δὲ τοὺς ἐπ' ἐλπίδι τοῦ μέλλοντος αἰῶνος τὴν παροῦσαν ζωὴν διαφέροντας καὶ τὰ παρόντα τῶν αἰωνίων ἀμειβομένους, κἂν ἐν φλογὶ διάγωσιν οἱ Θεῷ συνημμένοι, ὡς οἱ τρεῖς παῖδες ἐπὶ τῆς Βαβυλωνίας[4], κἂν λέουσιν ὦσι συγκαθειργμένοι[5], κἂν ὑπὸ κήτους καταποθέντες[6], ὑφ' ἡμῶν τε χρῆναι μακαρίζεσθαι καὶ αὐτοὺς ἐν χαρᾷ διάγειν, οὐχὶ τοῖς παροῦσιν ἀλγυνομένους, ἀλλὰ τῇ ἐλπίδι τῶν εἰς ὕστερον ἡμῖν ἀποκειμένων εὐφραινομένους. Οἶμαι γὰρ τὸν ἀγωνιστὴν τὸν καλόν, ἅπαξ ἐπὶ τὸ τῆς εὐσεβείας στάδιον ἀποδύντα, φέρειν χρῆναι γενναίως τὰς πληγὰς τῶν ἀντιπάλων ἐλπίδι τῆς δόξης τῆς ἀπὸ τῶν στεφάνων. Καὶ γὰρ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ κατὰ τὰς παλαίστρας τοῖς πόνοις προσεθισθέντες οὐ πρὸς τὸ ἀλγεινὸν συστέλλονται τῆς πληγῆς, ἀλλ' ὁμόσε χωροῦσι τοῖς ἀντιπάλοις ἐπιθυμίᾳ τῆς ἀναρρήσεως, τῶν παραυτίκα πόνων ὑπερορῶντες

---

1. Πρβλ. Β' Κορ. 12,9-10. 2. Πρβλ. Β' Κορ. 11,27. 3. Πρβλ. Γεν. 1,26. 4. Πρβλ. Δαν. 3,22. 5. Πρβλ. Δαν. 6,18. 6. Πρβλ. Ἰω. 2,1.

Οὕτω τῷ σπουδαίῳ κἂν παρῇ τι τῶν τραχυτέρων, οὐκ ἐπισκοτήσει τῷ χαίρειν. Διότι «ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει»[1]. Διὸ καὶ ἑτέρωθι τῇ θλίψει ὑπομένειν καὶ τῇ ἐλπίδι χαίρειν παρὰ τοῦ αὐτοῦ προσετάχθημεν[2]. Ἐλπὶς οὖν ἐστιν ἡ τὴν χαρὰν σύνοικον τῇ ψυχῇ τοῦ σπουδαίου παρασκευάζουσα. Ἀλλ' ὁ αὐτὸς Ἀπόστολος καὶ «κλαίειν» χρῆναι ἡμᾶς προστάσσει «μετὰ κλαιόντων»[3]· καὶ Γαλάταις γράφων, ἔκλαιε περὶ τῶν ἐχθρῶν τοῦ σταυροῦ τοῦ Χριστοῦ[4]. Καὶ τί δεῖ λέγειν Ἱερεμίαν κλαίοντα[5]; καὶ Ἰεζεκιὴλ θρήνους ἀρχόντων ἐκ προστάγματος Θεοῦ γράφοντα[6] καὶ πολλοὺς δὲ τῶν ἁγίων οἰμώζοντας; «Οἴμοι, μῆτερ, ὡς τίνα με ἔτεκες;»[7] καί, οἴμοι, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς καὶ ὁ κατορ[225]θῶν ἐν ἀνθρώποις οὐκ ἔστι[8]· καί, «οἴμοι, ὅτι ἐγενόμην ὡς συνάγων καλάμην ἐν ἀμήτῳ»[9]. Καὶ ὅλως ἐρεύνησον τὰς φωνὰς τῶν δικαίων, κἂν πού τινα εὕρῃς σκυθρωποτέραν φωνὴν ἀφιέντα, πεισθήσῃ, ὅτι πάντες τοῦ κόσμου τούτου καὶ τῆς ἐν αὐτῷ ζωῆς τῆς δυστήνου ταύτης καταστενάζουσιν. «Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη»[10]. Ἐπιθυμίαν γὰρ ἔχει ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι[11]. Ὡς οὖν ἐμπόδιον τῆς χαρᾶς, τῆς παροικίας ταύτης τὴν παράτασιν δυσχεραίνει. Δαβὶδ δὲ καὶ ἐν μέλεσιν ἡμῖν θρῆνον τοῦ φίλου κατέλιπεν Ἰωνάθαν· ᾧ συναπεθρήνησε καὶ τὸν ἐχθρὸν ἑαυτοῦ. «Ἀλγῶ ἐπί σοί, ἀδελφέ μου, Ἰωνάθαν»[12]· καί, θυγατέρες Ἰσραήλ, θρηνήσατε ἐπὶ Σαούλ[13]. Τὸν μὲν γὰρ θρηνεῖ ὡς ἐναποθανόντα τῇ ἁμαρτίᾳ, τὸν δὲ Ἰωνάθαν, ὡς μέχρι παντὸς αὐτῷ κοινωνήσαντα τοῦ βίου. Καὶ τί δεῖ τὰ ἄλλα λέγειν; Ἀλλ' ἐδάκρυσε καὶ ὁ Κύριος ἐπὶ Λαζάρῳ[14], ἐδάκρυσε καὶ ἐπὶ Ἱερουσαλήμ[15]. Καὶ μακαρίζει δὲ τοὺς πενθοῦντας καὶ πάλιν τοὺς κλαίοντας[16].

4. Καὶ πῶς σύμφωνα ταῦτα, φασί, τῷ, «πάντοτε χαίρετε»[17]; Οὐδὲ γὰρ ἐκ τῶν αὐτῶν ἀρχῶν δάκρυόν τε καὶ χαρὰ τὴν γένεσιν ἔχουσι. Τὸ μὲν γάρ, οἷον ἐκ πληγῆς τινος, τῆς προσβολῆς τοῦ ἀβουλήτου τὴν ψυχὴν τύπτοντος καὶ συστέλλοντος, καταθλιβομένου τοῦ περικαρδίου πνεύματος, ἀποτίκτεσθαι πέφυκεν· ἡ δὲ χαρὰ οἷον σκίρτημά τί ἐστι τῆς ψυχῆς ἐπαγαλλομένης τοῖς κατὰ γνώμην. Ὅθεν καὶ τὰ περὶ τὸ σῶμα συμπτώματα διενήνοχε. Τοῖς μὲν γὰρ λυπουμένοις ὄπωχρος καὶ πελιδνὸς καὶ κατεψυγμένος ὁ ὄγκος· τοῖς δὲ φαιδρυνομένοις ἐξανθοῦσα καὶ ὑπέρυθρος ἡ τοῦ σώματος ἕξις, μονονουχὶ πηδώσης τῆς ψυχῆς καὶ προωθουμένης ὑφ' ἡδονῆς εἰς τὸ ἔξω. Πρὸς δὴ ταῦτα ἐροῦμεν, ὅτι καὶ οἱ θρῆνοι καὶ τὰ δάκρυα τῶν ἁγίων διὰ τὴν πρὸς Θεὸν ἀγάπην

---

1. Ρωμ. 5,3. 2. Πρβλ. Ρωμ. 12,12. 3. Ρωμ. 12,15. 4. Πρβλ. Φιλιπ. 3,18. 5. Πρβλ. Θρ. 1,1. 6. Πρβλ. Ἰεζ. 2,10. 7. Ἱερ. 15,10. 8. Πρβλ. Μιχ. 7,2. 9. Μιχ. 7,1. 10. Ψαλ. 119,5. 11. Πρβλ. Φιλιπ. 1,23. 12. Β' Βασ. 1,26. 13. Πρβλ. Β' Βασ. 1,24. 14. Πρβλ. Ἰω. 11,35. 15. Πρβλ. Λουκ. 19,41. 16. Ματθ. 5,4. Λουκ. 6,21. 17. Α' Θεσ. 5,16.

ἐγίγνοντο. Ἀεὶ οὖν ἑνορῶντες τῷ ἀγαπητῷ καὶ τὴν ἐκεῖθεν ἑαυτοῖς εὐφροσύνην συναύξοντες, τὰ περὶ τοὺς ὁμοδούλους ἑαυτῶν ᾠκονόμουν· πενθοῦντες τοὺς ἁμαρτάνοντας, ἐπανορθούμενοι αὐτοὺς διὰ τῶν δακρύων. Ὥσπερ δὲ οἱ ἐπὶ τῶν αἰγιαλῶν ἑστῶτες, τοῖς ἐν τῇ θαλάττῃ βαπτιζομένοις συμπάσχοντες, οὐ προΐενται τὴν οἰκείαν ἀσφάλειαν ἐν τῇ περὶ τῶν κινδυνευόντων φροντίδι· οὕτως οὐδὲ οἱ τοῖς ἁμαρτήμασι τῶν πέλας ἐπιστυγνάζοντες τὴν οἰκείαν ἀφανίζουσιν εὐφροσύνην. Τὸ ἐναντίον μὲν οὖν καὶ μείζονα ποιοῦσιν αὐτήν, ὑπὲρ [228] τῶν εἰς τὸν ἀδελφὸν δακρύων τῆς χαρᾶς τοῦ Κυρίου καταξιούμενοι. Διὰ τοῦτο «μακάριοι οἱ κλαίοντες»[1] καὶ «μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται»[2] καὶ αὐτοὶ γελάσουσι[3]. Γέλωτα δὲ λέγει οὐ τὸν διὰ τῶν παρειῶν ἐκπίπτοντα ψόφον ἐν τῷ αἵματος ἀναβρασμῷ, ἀλλὰ τὴν ἄκρατον καὶ ἀμιγῆ παντὸς σκυθρωποῦ ἱλαρότητα. «Κλαίειν οὖν μετὰ κλαιόντων»[4] συγχωρεῖ ὁ Ἀπόστολος, ἐπειδὴ τὸ δάκρυον τοῦτο οἱονεὶ σπέρμα καὶ δάνεισμα γίνεται τῆς αἰωνίου χαρᾶς. Ἀνάβα μοι τῇ διανοίᾳ καὶ θέασαι τὴν ἀγγελικὴν κατάστασιν, εἰ ἄλλη τις αὐτοῖς πρέπει κατάστασις, πλὴν τοῦ χαίρειν καὶ διευθυμεῖσθαι· ὅτι ἠξίωνται παρεστάναι Θεῷ καὶ ἀπολαύειν τοῦ ἀπορρήτου κάλλους τῆς δόξης τοῦ κτίσαντος ἡμᾶς. Πρὸς ἐκεῖνον οὖν τὸν βίον παρορμῶν ἡμᾶς ὁ Ἀπόστολος, πάντοτε χαίρειν ἡμῖν[5] διετάξατο.

5. Ἀλλὰ μὴν πρός γε τὸ δακρῦσαι τὸν Κύριον ἐπὶ Λαζάρῳ[6] καὶ ἐπὶ τῇ πόλει[7] ἐκεῖνο εἰπεῖν ἔχομεν, ὅτι καὶ ἔφαγε καὶ ἔπιεν, οὐκ αὐτὸς τούτων δεόμενος, ἀλλά σοι μέτρα καὶ ὅρους τῶν ἀναγκαίων τῆς ψυχῆς παθημάτων καταλιμπάνων. Οὕτω γοῦν καὶ ἐδάκρυσε, τῶν ὀδυρτικῶν καὶ φιλοθρήνων τὸ ἄγαν περιπαθὲς καὶ ταπεινὸν ἐπανορθούμενος. Εἰ γάρ τι ἄλλο καὶ τὸ δακρύειν τῆς ἐκ τοῦ λόγου συμμετρίας προσδεῖται· ἐπὶ τίσι γίνεσθαι καὶ ἐπὶ πόσον καὶ πότε καὶ ὅπως προσῆκεν. Ὅτι γὰρ οὐκ ἐμπαθὲς ἦν τὸ δάκρυον τοῦ Κυρίου, ἀλλὰ διδασκαλικόν, ἐκεῖθεν δῆλον· «Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν»[8]. Τίς ἡμῶν κοιμώμενον ὀδύρεται φίλον, ὃν μικρὸν ὕστερον προσδοκᾷ διυπνίζειν; «Λάζαρε, δεῦρο ἔξω»[9]. Καὶ ὁ νεκρὸς ἐζωοποιεῖτο· καὶ ὁ δεδεμένος περιεπάτει. Θαῦμα ἐν θαύματι· κειρίαις δεδέσθαι τοὺς πόδας καὶ μὴ κωλύεσθαι πρὸς τὴν κίνησιν. Μεῖζον γὰρ ἦν τὸ ἐνισχύον τοῦ ἐμποδίζοντος. Πῶς οὖν ὁ τοιαῦτα ἐνεργεῖν μέλλων δακρύων ἄξιον τὸ συμβὰν ἔκρινεν; Ἢ δῆλον, ὅτι, πανταχόθεν τὸ ἀσθενὲς ἡμῶν ὑπερείδων, μέτροις τισὶ καὶ ὅροις τὰ ἀναγκαῖα περιέλαβε πάθη; τὸ μὲν ἀσυμπαθὲς ὡς θηριῶδες ἐκκλίνων, τὸ δὲ φιλόλυπον καὶ πολύθρηνον ὡς ἀγενὲς παραιτούμενος. Διόπερ, ἐπιδακρύσας τῷ φίλῳ, αὐτός τε τὴν κοινωνίαν τῆς ἀνθρωπείας φύσεως ἐπεδείξατο καὶ ἡμᾶς

---

1. Λουκ. 6,21. 2. Ματθ. 5,4. 3. Πρβλ. Λουκ. 6,21. 4. Ρωμ. 12,15. 5. Πρβλ. Α' Θεσ. 5,16. 6. Πρβλ. Ἰω. 11,35. 7. Πρβλ. Λουκ. 19,41. 8. Ἰω. 11,11. 9. Ἰω. 11,43.

τῶν ἐφ' ἑκάτερα ὑπερβολῶν ἠλευθέρωσε· μήτε καταμαλακίζεσθαι πρὸς τὰ πάθη, μήτε ἀναισθήτως ἔχειν τῶν λυπηρῶν ἐπιτρέπων. Ὡς οὖν κατεδέξατο τὴν πεῖναν ὁ Κύριος, τῆς στερεᾶς τροφῆς διαπνευσθείσης αὐτῷ καὶ τὴν δίψαν προσήκατο[1], τῆς ὑγρότητος ἀναλωθείσης τῆς ἐν τῷ σώματι· καὶ ἐκοπίασε, τῶν μυῶν καὶ τῶν νεύρων ἐκ τῆς ὁδοιπορίας ὑπερταθέντων· οὐ τῆς θεότητος τῷ καμάτῳ δαμαζομένης, ἀλλὰ τοῦ σώματος τὰ ἐκ φύσεως ἑπακολουθοῦντα συμπτώματα δεχομένου· οὕτω καὶ τὸ δάκρυον προσήκατο, τὸ φυ[229]σικὸν τῇ σαρκὶ ἐπιγίνεσθαι σύμπτωμα συγχωρῶν. Ὅπερ συμβαίνει, ὅταν τὰ κοῖλα τοῦ ἐγκεφάλου, τῶν ἐκ τῆς λύπης ἀναθυμιάσεων πληρωθέντα, οἷον δι' ὀχετῶν τινων τῶν κατὰ τοὺς ὀφθαλμοὺς πόρων τοῦ ὑγροῦ τὸ βάρος ἀποσκευάζηται. Ὅθεν ἦχοί τινες καὶ ἴλιγγοι καὶ σκοτώσεις ἐπὶ ταῖς ἀδοκήτοις τῶν λυπηρῶν ἀκοαῖς ἐγγίνονται περιδονουμένης τῆς κεφαλῆς ὑπὸ τῶν ἀτμῶν, οὓς ἡ ἐπὶ τὸ βάθος τοῦ θερμοῦ συστολὴ ἀναπέμπει. Εἶτα, οἶμαι, ὥσπερ τὸ νέφος εἰς ψεκάδα, οὕτως τὸ πάχος τῶν ἀτμῶν εἰς δάκρυον διαλύεται. Ἔνθεν καὶ ἡδονή τίς ἐστι τοῖς λυπουμένοις περὶ τὸν θρῆνον λανθανόντως διὰ τοῦ κλαίειν κενουμένου αὐτοῖς τοῦ βαρύνοντος. Συνίστησι δὲ τοῦ λόγου τὸ ἀληθὲς ἡ πεῖρα τῶν γινομένων. Πολλοὺς γὰρ ἔγνωμεν ἐν συμφοραῖς ἀνηκέστοις ἀποστάξαι τὸ δάκρυον βιαίως ἐγκαρτερήσαντας· εἶτα τοὺς μὲν εἰς ἀνήκεστα ἐμπεσόντας πάθη, ἀποπληξίας ἢ παραλύσεις, τοὺς δὲ καὶ παντελῶς ἀποψύξαντας, ὥσπερ ἐρείσματος ἀσθενοῦς, τῆς δυνάμεως αὐτῶν τῷ βάρει τῆς λύπης ὑποκλασθείσης. Ὁ γὰρ ἐπὶ τῇ φλογὸς ὁρᾷν ὑπάρχει, ὑπὸ τοῦ οἰκείου αὐτὴν καπνοῦ καταπνίγεσθαι, μὴ ὑπεξιόντος, ἀλλὰ περὶ αὐτὴν εἱλουμένου, τοῦτό φασι καὶ ἐπὶ τῆς οἰκονομούσης τὸ ζῷον δυνάμεως γίνεσθαι· ἀπομαραίνεσθαι γὰρ ὑπὸ τῶν ὀδυνηρῶν καὶ κατασβέννυσθαι, μηδεμιᾶς γινομένης ἐπὶ τὸ ἔξω διαπνοῆς.

6. Μὴ τοίνυν εἰς συνηγορίαν τοῦ οἰκείου πάθους τὸ τοῦ Κυρίου προβαλλέσθωσαν δάκρυον οἱ φιλόλυποι. Ὡς γὰρ ἡ βρῶσις, ἣν ὁ Κύριος ἔφαγεν, οὐκ ἔστιν ἡδυπαθείας ἡμῖν ἀφορμή, τὸ ἐναντίον μὲν οὖν, ἐγκρατείας καὶ αὐταρκείας ὅρος ὁ ἀνωτάτω· οὕτω καὶ τὸ δάκρυον οὐκ ἔστι νομοθεσία πρὸς τὸ θρηνεῖν, ἀλλὰ μέτρον εὐσχημονέστατον ἐκτεθὲν καὶ κανὼν ἀκριβής, καθ' ὃν προσῆκε σεμνῶς καὶ εὐσχημόνως τοῖς τῆς φύσεως ὅροις ἐμμένοντας διαφέρειν τὰ λυπηρά. Οὔτε οὖν γυναιξίν, οὔτε ἀνδράσιν ἐπιτέτραπται τὸ φιλοπενθὲς καὶ πολύδακρυ, ἀλλ' ὅσον ἐπιστυγνάσαι τοῖς λυπηροῖς καὶ μικρόν τι δάκρυον ἀποστάξαι καὶ τοῦτο ἡσυχῇ, μὴ ἀναβρυχώμενον μηδὲ ὀλολύζοντα, μηδὲ καταρρηγνύντα χιτῶνα, ἢ κόνιν καταχεόμενον, μηδ' ἄλλο τι τοιοῦτον ἀσχημονοῦντα τῶν ἐπιτηδευομένων παρὰ τῶν ἀπαιδεύτως ἐχόντων πρὸς τὰ οὐράνια. Δεῖ γὰρ τὸν κεκαθαρμένον τῷ θείῳ διδασκαλίῳ, οἷον ὀχυρῷ τινι τειχίῳ τῷ ὀρθῷ λόγῳ πεφράχθαι καὶ ἀνδρείως καὶ καρτερῶς τὰς

1. Πρβλ. Ἰω. 4,6.

τῶν τοιούτων παθῶν προσβολὰς ἀπαμύνασθαι καὶ μὴ καθάπερ εἴς τι χω[232]ρίον ὑποκαθήμενον, τῷ ταπεινῷ καὶ ὑπείκοντι τῆς ψυχῆς, τὸν τῶν παθῶν ὄχλον ἐπιρρέοντα δέχεσθαι. Ἀνάνδρου γὰρ ψυχῆς καὶ οὐδένα τόνον ἐκ τῆς ἐπὶ Θεὸν ἐλπίδος ἐχούσης, τὸ σφοδρῶς καταρρήγνυσθαι καὶ ὑποπίπτειν τοῖς λυπηροῖς. Ὥσπερ γὰρ οἱ σκώληκες τοῖς ἀπαλωτέροις τῶν ξύλων ἐντίκτονται μάλιστα, οὕτως αἱ λῦπαι τοῖς μαλακωτέροις ἤθεσι τῶν ἀνθρώπων ἐμφύονται. Μὴ γὰρ ἀδαμάντινος ἦν ὁ Ἰὼβ τὴν καρδίαν; μὴ γὰρ ἐκ λίθου ἦν αὐτῷ πεποιημένα τὰ σπλάγχνα; Ἔπεσον αὐτῷ δέκα παῖδες ἐν βραχείᾳ καιροῦ ῥοπῇ μιᾷ πληγῇ συντριβέντες ἐν τῷ οἴκῳ τῆς θυμηδίας, ἐν τῷ καιρῷ τῆς ἀπολαύσεως, ἐπικατασείσαντος αὐτοῖς τοῦ διαβόλου τὸ οἴκημα. Εἶδε τράπεζαν αἵματι μεμιγμένην· εἶδε παῖδας διαφόρως μὲν κατὰ τὸν χρόνον ἀποτεχθέντας, κοινῇ δὲ ὑπελθόντας τοῦ βίου τὸ τέλος. Οὐκ ᾤμωξεν, οὐ κατετίλατο κόμην, οὐκ ἀφῆκέ τινα φωνὴν ἀγενῆ, ἀλλὰ τὴν ἀοίδιμον ἐκείνην καὶ παρὰ πᾶσιν ἀνυμνουμένην εὐχαριστίαν ἀπεφθέγξατο. «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον»[1]. Μὴ ἀσυμπαθὴς ὁ ἄνθρωπος; Καὶ πῶς; ὅς γε περὶ ἑαυτοῦ λέγει· «ἐγὼ ἔκλαυσα ἐπὶ παντὶ θλιβομένῳ»[2]. Ἀλλ' ἆρα μὴ ἐψεύδετο ταῦτα λέγων; Καὶ μὴν μαρτυρεῖ αὐτῷ ἡ ἀλήθεια, ὅτι πρὸς ταῖς λοιπαῖς ἀρεταῖς καὶ ἀληθινὸς ἦν· «ἄνθρωπος γάρ, φησίν, ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀληθινός»[3]. Σὺ δὲ ὠδαῖς τισι πρὸς τὸ κατηφὲς πεποιημέναις παραθρηνεῖς καὶ μέλεσι γοεροῖς ἐκτήκειν σεαυτοῦ τὴν ψυχὴν ἐπιτηδεύεις· καὶ ὥσπερ τῶν τραγῳδῶν ἴδιόν ἐστι τὸ ἀνάπλασμα καὶ ἡ σκευὴ μεθ' ἧς τὰ θέατρα καταλαμβάνουσιν· οὕτως οἶει προσήκειν καὶ τῷ πενθοῦντι πρέπον εἶναι σχῆμα, μέλαν ἱμάτιον καὶ αὐχμηρὰν κόμην καὶ σκότος ἐν οἰκίᾳ καὶ ῥύπον καὶ κόνιν καὶ μέλος στυγνόν, ἀεὶ νεαρὸν τῆς λύπης τὸ τραῦμα τῇ ψυχῇ διασῴζον. «Κατάλιπε ταῦτα ποιεῖν τοῖς μὴ ἔχουσιν ἐλπίδα»[4]. Σὺ δὲ ἐδιδάχθης περὶ τῶν ἐν Χριστῷ κοιμηθέντων[5], ὅτι «σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται **[233]** σῶμα πνευματικόν»[6]. Τί οὖν κλαίεις τὸν ἐξελθόντα μεταμφιάσασθαι; Μήτε σεαυτὸν θρήνει ὡς βοηθοῦ τινος πρὸς τὸν βίον στερούμενος· «ἀγαθὸν γάρ, φησίν, ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄνθρωπον»[7]. Μήτε ἐκεῖνον ὀδύρου, ὡς δεινὰ πεπονθότα. Μικρὸν γὰρ ὕστερον ἡ ἐξ οὐρανῶν σάλπιγξ αὐτὸν διυπνίσει καὶ ὄψει αὐτὸν παριστάμενον τῷ βήματι τοῦ Χριστοῦ. Ἄφες οὖν ταύτας τὰς ταπεινὰς καὶ ἀπαιδεύτους φωνάς. Οἴμοι τῶν ἀπροσδοκήτων κακῶν· καὶ τό· τίς δ' ἂν ταῦτα ᾠήθη γενέσθαι; καί, πότε δ' ἂν προσεδόκησα γῇ κατακρύψειν τὴν φιλτάτην ἐμοὶ κεφαλήν; Ταῦτα γὰρ κἂν ἑτέρου λέγοντος ἀκούωμεν, ἐρυθριᾷν ἡμᾶς προσῆκε τοὺς ἐκ τε τῆς

1. Ἰὼβ 1,21. 2. Ἰὼβ 30,25. 3. Ἰὼβ 1,1. 4. Α' Θεσ. 4,13. 5. Πρβλ. Ἀποκ. 14,13. 6. Α' Κορ. 15,42-44. 7. Πρβλ. Ψαλ. 117,9.

μνήμης τῶν παρελθόντων καὶ ἐκ τῆς τῶν παρόντων πείρας τὰ ἀναγκαῖα τῆς φύσεως πάθη δεδιδαγμένους.

7. Οὔτε οὖν ἀωρίαι θανάτου, οὔτε ἄλλαι τινὲς δυσκληρίαι ἀδοκήτως ἐμπεσοῦσαι, ἐκπλήξουσιν ἡμᾶς ποτε τοὺς παιδαγωγουμένους τῷ λόγῳ τῆς εὐσεβείας. Οἷον, παῖς μοι ἦν νεανίας, μόνος τοῦ βίου διάδοχος, παραμύθιον γήρως, ἐγκαλλώπισμα γένους, ἄνθος τῶν ὁμηλίκων, στήριγμα τῆς οἰκίας, αὐτὸ τῆς ἡλικίας ἦγε τὸ χαριέστατον· οὗτος ἀνάρπαστος οἴχεται· καὶ γῇ καὶ κόνις γέγονεν, ὁ πρὸ βραχέως ἡδὺ μὲν ἄκουσμα φθεγγόμενος, ἥδιστον δὲ θέαμα ὢν τοῖς τοῦ γεννήσαντος ὀφθαλμοῖς. Τί οὖν ποιήσομαι; Καταρρήξομαι τὴν ἐσθῆτα καὶ καταδέξομαι κυλινδεῖσθαι χαμαὶ καὶ ποτνιᾶσθαι καὶ δυσανασχετεῖν καὶ δεικνύειν ἐμαυτὸν τοῖς παροῦσιν οἱονεὶ παῖδά τινα ὑπὸ πληγῶν ἐκβοῶντα καὶ ἀποσπαίροντα; Ἢ τῷ ἀναγκαίῳ τῶν γινομένων προσέχων, ὅτι ἀπαραίτητος ὁ τοῦ θανάτου νόμος καὶ διὰ πάσης ὁμοίως ἡλικίας χωρῶν καὶ πάντα ἐφεξῆς τὰ σύνθετα διαλύων, οὐ ξενισθήσομαι τῷ συμβάντι; οὐδ' ἀνατραπήσομαι τὸν νοῦν ὡς ὑπὸ πληγῆς ἀπροσδοκήτου καταρραχθείς, πάλαι προπεπαιδευμένος, ὅτι, θνητὸς ὤν, θνητὸν εἶχον τὸν παῖδα καὶ ὅτι οὐδὲν τῶν ἀνθρωπίνων βέβαιον, οὐδὲ εἰς τὸ παντελὲς παραμένειν τοῖς κτησαμένοις πέφυκεν; Ἀλλὰ καὶ πόλεις μεγάλαι καὶ περιφανεῖς τῇ τε τῶν κατασκευασμάτων λαμπρότητι καὶ τῇ δυνάμει τῶν ἐνοικούντων καὶ τῇ λοιπῇ κατά τε τὴν χώραν καὶ τὴν ἀγορὰν εὐθηνίᾳ διαπρέπουσαι, ἐν ἐρειπίοις νῦν μόνοις τῆς παλαιᾶς σεμνότητος τὰ σύμβολα φέρουσι. Καὶ πλοῖον, πολλάκις ἐκ θαλάττης διασωθὲν καὶ μυριάκις μὲν ταχυναυτῆσαν, μυρίον δὲ φόρτον τοῖς ἐμπορευομένοις διακομίσαν, μιᾷ προσβολῇ πνεύματος ἠφανίσθη. Στρατόπεδα δὲ κρατήσαντα μάχαις πολλάκις τῶν ἐναν[236]τίων, περιτραπείσης αὐτοῖς τῆς εὐημερίας, ἐλεεινὸν θέαμα καὶ διήγημα γέγονεν. Ἔθνη δὲ ὅλα καὶ νῆσοι ἐπὶ μέγα δυνάμεως προελθοῦσαι καὶ πολλὰ μὲν κατὰ γῆν, πολλὰ δὲ κατὰ θάλασσαν ἐγείρασαι τρόπαια, πολὺ δὲ πλοῦτον ἐκ λαφύρων ἀθροίσασαι, ἢ χρόνῳ κατηναλώθησαν, ἢ αἰχμάλωτοι γενόμεναι, δουλείαν τῆς ἐλευθερίας ἠλλάξαντο. Καὶ ὅλως, ὅπερ ἂν εἴπῃς τῶν μεγίστων καὶ ἀφορήτων κακῶν, ἤδη προλαβὼν ὁ βίος ἔχει τὰ ὑποδείγματα. Ὥσπερ οὖν τὰ βάρη ταῖς ἐπὶ τοῦ ζυγοῦ ῥοπαῖς διακρίνομεν καὶ τοῦ χρυσοῦ τὴν διαφορὰν τῇ λίθῳ προστρίβοντες δοκιμάζομεν· οὕτω πρὸς τὰ ἐκτεθέντα ἡμῖν παρὰ τοῦ Κυρίου μέτρα τὴν μνήμην ἐπαναφέροντες, οὐδαμοῦ ἂν τῶν ὅρων τῆς σωφροσύνης ἐκπέσοιμεν. Ἐπειδὰν οὖν σοί ποτε προσπέσῃ τῶν ἀβουλήτων τι, μάλιστα μὲν τῷ προευτρεπισμένῳ τῆς διανοίας τὴν ταραχὴν μὴ παθεῖν, ἔπειτα δὲ τῇ ἐλπίδι τῶν μελλόντων κουφότερα ποιεῖν τὰ παρόντα. Ὥσπερ γὰρ οἱ ἀσθενεῖς τὰ ὄμματα, τῶν ἄγαν λαμπρῶν τὰς ὄψεις ἀπάγοντες, ἐν ἄνθεσι καὶ πόαις προσαναπαύουσιν· οὕτω χρὴ καὶ τὴν ψυχὴν μὴ συνεχῶς καταβλέπειν τὸ λυπηρόν, μηδὲ τοῖς παροῦσιν ἀνιαροῖς προσκεῖσθαι ἀλλὰ πρὸς τὴν θεωρίαν τῶν ὄντως ἀγαθῶν περιάγειν αὐτῆς τὸ ὄμμα.

Οὕτω κατορθωθήσεταί σοι τὸ πάντοτε χαίρειν· ἐὰν ὁ μὲν βίος σοι ἀεὶ πρὸς Θεὸν ἀποβλέπῃ, ἡ δὲ ἐλπὶς τῆς ἀντιδόσεως κουφίζῃ τοῦ βίου τὰ λυπηρά. Ἠτιμάσθης; Ἀλλὰ πρὸς τὴν δόξαν, τὴν διὰ τῆς ὑπομονῆς ἐν τοῖς οὐρανοῖς ἀποκειμένης, ἀπόβλεψον. Ἐζημιώθης; Ἀλλ' ἐνατένισον τῷ πλούτῳ τῷ ἐπουρανίῳ καὶ τῷ θησαυρῷ, ὃν ἀπέθου σεαυτῷ διὰ τῶν ἀγαθῶν ἔργων. Ἐξέπεσες τῆς πατρίδος; Ἀλλ' ἔχεις πατρίδα τὴν ἐπουράνιον Ἱερουσαλήμ. Τέκνον ἀπέβαλες; Ἀλλ' ἀγγέλους ἔχεις, μεθ' ὧν χορεύσεις περὶ τὸν θρόνον τοῦ Θεοῦ καὶ εὐφρανθήσῃ τὴν αἰώνιον εὐφροσύνην. Οὕτως ἀντιτιθεὶς τοῖς παροῦσιν ἀνιαροῖς τὰ προσδοκώμενα ἀγαθά, φυλάξεις σεαυτῷ τὸ ἄλυπον τῆς ψυχῆς καὶ ἀτάραχον, ἐφ' ὃ προκαλεῖται ἡμᾶς ἡ νομοθεσία τοῦ Ἀποστόλου. Μήτε τὰ φαιδρὰ τῶν ἀνθρωπίνων πραγμάτων περιχαρείας ἀμέτρους ἐμποιείτω σου τῇ ψυχῇ, μήτε τὰ λυπηρὰ κατηφείαις καὶ συστολαῖς τὸ γαῦρον αὐτῆς καὶ ὑψηλὸν ταπεινούτω. Μὴ γὰρ οὕτω προπεπαιδευμένος περὶ τῶν κατὰ τὸν βίον, οὐδέ ποτε ἀκύμονα ζωὴν καὶ ἀτάραχον ζήσῃ. Τοῦτο δέ σοι ῥᾳδίως κατορθωθήσεται, ἐὰν ἔχῃς τὴν ἐντολὴν σύνοικον, τὴν πάντοτε χαίρειν σοι παραινοῦσαν· ἀποπεμπόμενος μὲν τὰ ὀχληρὰ τῆς σαρκός, συνάγων δὲ τὰς τῆς ψυχῆς εὐφροσύνας· καὶ τῶν μὲν παρόντων τὴν αἴσθησιν ὑπερβαίνων, πρὸς δὲ τὴν ἐλπίδα τῶν αἰωνίων ἀποτείνων τὴν ἔννοιαν, ὧν καὶ μόνη ἡ φαντασία ἐξαρκεῖ τὴν ψυχὴν εὐφροσύνης πληρῶσαι καὶ τὸ **[237]** ἀγγελικὸν ἀγαλλίαμα ταῖς καρδίαις ἡμῶν ἐνοικίσαι· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΗΝ ΜΑΡΤΥΡΑ ΙΟΥΛΙΤΤΑΝ

ΚΑΙ ΕΙΣ ΤΑ ΛΕΙΠΟΜΕΝΑ ΤΗΣ ΠΡΟΛΕΧΘΕΙΣΗΣ ΟΜΙΛΙΑΣ ΤΗΣ ΠΕΡΙ ΕΥΧΑΡΙΣΤΙΑΣ

1. Ἡ μὲν ὑπόθεσις τῆς ἐκκλησίας ἐστὶ τὸ ἐπὶ τῇ μακαρίᾳ μάρτυρι γενόμενον κήρυγμα. Περιηγγείλαμεν γὰρ ὑμῖν τὴν ἡμέραν ταύτην, ὡς ὑπόμνημα ἔχουσαν τῆς μεγάλης ἀθλήσεως, ἣν ἐν γυναικείῳ σώματι ἀνδρειοτάτην καὶ πᾶσαν ἔκπληξιν ἐμποιοῦσαν τοῖς τότε παροῦσι τῷ θεάματι καὶ τοῖς εἰς ὕστερον ἐκ τῆς τῶν πεπειραμένων διηγήσεως δεχομένοις τὴν ἀκοὴν ἡ μακαριωτάτη γυναικῶν Ἰουλίττα ἤθλησεν, εἴπερ δὴ γυναῖκα προσαγορεύειν εὐπρεπὲς τὴν τῷ μεγαλοφυεῖ τῆς ψυχῆς τῆς γυναικείας φύσεως τὴν ἀσθένειαν ἀποκρύψασαν· ὑφ' ἧς ἡγοῦμαι μάλιστα πεπλῆχθαι τὸν κοινὸν ἡμῶν ἀντίπαλον, οὐ φέροντα τὴν ἀπὸ τῶν γυναικῶν ἧτταν. Ὅς, τὰ μεγάλα ἐκεῖνα ὑπερηφανευόμενος, σείειν πᾶσαν τὴν οἰκουμένην καὶ καταλήψεσθαι ὡς νοσσιὰν καὶ ὡς καταλελειμμένα ὠὰ αἴρειν[1] καὶ πόλεις ἐρημώσειν, ἐφάνη γυναικείας ἀρετῆς ἡττώμενος. Ἣν ἐπιχειρήσας ἐν καιρῷ πειρασμοῦ διελέγξαι, ὡς οὐ δυναμένην ὑπὸ τῆς κατὰ τὴν φύσιν ἀσθενείας μέχρι παντὸς τὴν εἰς Θεὸν εὐσέβειαν διασώσασθαι, εὗρε διὰ τῆς πείρας ἀνδρειοτέραν τῆς φύσεως καὶ τοσοῦτον αὐτοῦ τῶν φοβερῶν καταγελάσασαν, ὅσον αὐτὸς προσεδόκα τοῖς δεινοῖς αὐτὴν ὑποπτήξειν. Δίκης γὰρ αὐτῇ πρός τινα τῶν ἐν τῇ πόλει δυνατῶν συνεστώσης, πλεονεκτικὸν ἄνδρα καὶ βίαιον, ἐξ ἁρπαγῆς καὶ λεηλασίας τὸν πλοῦτον ἑαυτῷ ἀθροίσαντα, ὅς, γῆς τε πλῆθος ἀποτεμόμενος καὶ ἀγροὺς καὶ κώμας καὶ βοσκήματα καὶ οἰκέτας καὶ πᾶσαν τὴν περιοῦσαν τοῦ βίου κατασκευὴν ἐκ τῆς γυναικὸς πρὸς ἑαυτὸν μεταστήσας, κατειλήφει τὰ δικαστήρια, συκοφάνταις καὶ ψευδομάρτυσι καὶ δωροδοκίᾳ τῶν δικαζόντων ἐπερειδόμενος· ὡς δὲ παρῆν ἡ κυρία καὶ ὁ κῆρυξ ἐκάλει καὶ οἱ συνήγοροι εὐτρεπεῖς, ἀρχομένην διδάσκειν τοῦ [240] ἀνθρώπου τὴν τυραννίδα καὶ διηγεῖσθαι μέλλουσαν τόν τε τρόπον τῆς ἐξ ἀρχῆς κτήσεως καὶ τοῦ χρόνου τὸ μῆκος τοῦ βεβαιοῦντος τὴν δεσποτείαν εἶτα τὴν βίαν τοῦ ἀνδρὸς καὶ τὴν πλεονεξίαν ὀδύρεσθαι· παρελθών, οὐκ ἔφη εἰσαγώγιμον εἶναι τὴν δίκην (μηδὲ γὰρ εἶναι θεμιτὸν τῶν κοινῶν μετέχειν τοὺς μὴ λατρεύοντας τοῖς θεοῖς τῶν βασιλέων καὶ μὴ ἐξομνυμένους τὴν εἰς Χριστὸν πίστιν). Ἐδόκει δίκαια λέγειν τῷ ἄρχοντι καὶ ἀναγκαῖα

---

1. Πρβλ.. Ἡσ. 10,14.

προτείνεσθαι. Καὶ εὐθὺς λιβανωτὸς καὶ ἐσχάρα καὶ πρότασις τοῖς δικαζομένοις· ἀρνουμένοις μὲν τὸν Χριστόν, ἀπολαύειν τῶν νόμων καὶ τῆς ἀπ' αὐτῶν ὠφελείας· ἀντεχομένοις δὲ τῆς πίστεως, μήτε δικαστηρίων, μήτε νόμων, μήτε τῆς λοιπῆς πολιτείας μετέχειν, ὡς ἠτιμωμένοις κατὰ τὸν νόμον τῶν τότε κρατούντων.

2. Τί οὖν ἐπὶ τούτοις; Ἆρα ἐδελεάσθη τῷ πλούτῳ; ἢ τῇ πρὸς τὸν ἀδικοῦντα φιλονικείᾳ τὸ συμφέρον παρεῖδεν; ἢ τὸν ἐκ τῶν δικαστῶν ἐπηρτημένον κίνδυνον ἐξεπλάγη; Οὐμενοῦν· ἀλλ', ἐρρέτω, φησίν, ὁ βίος, οἰχέσθω χρήματα· μηδὲ τὸ σῶμά μοι περιλειφθείη, πρίν τινα φωνὴν ἀφιέναι ἀσεβῆ κατὰ τοῦ κτίσαντός με Θεοῦ. Καὶ ὅσῳ πλέον ἑώρα τὸν ἄρχοντα τοῖς λόγοις τούτοις ἀγριαινόμενον καὶ πρὸς τὴν ἐσχάτην κατ' αὐτῆς ὀργὴν ἐκκαιόμενον, τοσούτῳ πλέον εὐχαρίστει τῷ Θεῷ, ὅτι χρημάτων φθαρτῶν ἀμφισβητοῦσα, ἐφάνη τῶν οὐρανίων ἀγαθῶν ἑαυτῇ βεβαιοῦσα τὴν κτῆσιν· καὶ γῆν μὲν ἀφαιρουμένη, ἵνα παράδεισον κτήσηται, ἀτιμίαν δὲ καταδικαζομένη, ἵνα τῶν στεφάνων τῆς δόξης καταξιωθῇ· σῶμα δὲ καταικιζομένη καὶ ζωὴν ἀφαιρουμένη τὴν πρόσκαιρον, ἵνα τῶν μακαρίων ἐλπίδων λάβηται μετὰ πάντων τῶν ἁγίων ἐν τῇ χαρᾷ τῆς βασιλείας εὑρισκομένη. Ὡς δὲ πολλάκις ἐρωτωμένη, πολλάκις τὴν αὐτὴν ἠφίει φωνήν, δούλην ἑαυτὴν τοῦ Χριστοῦ λέγουσα καὶ κατηρᾶτο τοῖς πρὸς τὴν ἄρνησιν προκαλουμένοις· τότε δὴ ὁ κριτὴς τῆς ἀδικίας οὐ μόνον τὰ κτήματα, ὧν ἀδίκως καὶ παρὰ τοὺς νόμους ἀφῄρητο ἀπεστέρησεν, ἀλλὰ καὶ τὴν ζωὴν αὐτὴν προσεζημίωσεν, ὡς ἐνόμιζε, πυρὶ παραδοὺς αὐτήν. Ἡ δὲ πρὸς οὐδὲν οὕτω τῶν κατὰ τὸν βίον τερπνῶν ἠπειγμένως ἔδραμεν, ὡς ἐπὶ τὴν φλόγα ἦλθεν ἐκείνην, προσώπῳ καὶ σχήματι καὶ οἷς ἐφθέγγετο καὶ τῇ ἐπανθούσῃ φαιδρότητι, τῆς ψυχῆς τὸ περιχαρὲς ἐμφαίνουσα, παρακαλοῦσα τὰς παριστηκυίας τῶν γυναικῶν, μὴ καταμαλακίζεσθαι πρὸς τοὺς ὑπὲρ τῆς εὐσεβείας πόνους, **[241]** μηδὲ τὴν τῆς φύσεως ἀσθένειαν προφασίζεσθαι. Ἐκ τοῦ αὐτοῦ φυράματος, λέγουσα, τοῖς ἀνδράσιν ἐσμέν. Κατ' εἰκόνα Θεοῦ γεγόναμεν, ὡς καὶ οὗτοι. Ἀρετῆς δεκτικὸν τὸ θῆλυ ὁμοτίμως τῷ ἄρρενι παρὰ τοῦ κτίσαντος γέγονε. Καὶ τί γὰρ ἡ συγγενεῖς τοῖς ἀνδράσι διὰ πάντων ἐσμέν; Οὐ γὰρ σάρξ μόνον ἐλήφθη πρὸς γυναικὸς κατασκευήν, ἀλλὰ καὶ ὀστοῦν ἐκ τῶν ὀστέων[1]. Ὥστε τὸ στερρὸν καὶ εὔτονον καὶ ὑπομονητικόν, ἐξ ἴσου τοῖς ἀνδράσι καὶ παρ' ἡμῶν ὀφείλεται τῷ Δεσπότῃ. Ταῦτα εἰποῦσα, πρὸς τὴν πυρὰν ἦλατο· ἡ δὲ περισχοῦσα τῆς ἁγίας τὸ σῶμα, ὥσπερ τις θάλαμος φωτεινός, τὴν μὲν ψυχὴν ἐπὶ τὴν οὐράνιον χώραν καὶ τὴν πρέπουσαν αὐτῇ λῆξιν ἀνέπεμψε, τὸ δὲ τίμιον σῶμα ἀκέραιον διεσώσατο τοῖς προσήκουσιν· ὅπερ ἐν τῷ καλλίστῳ προτεμνίσματι τῆς πόλεως κείμενον ἁγιάζει μὲν τὸν τόπον, ἁγιάζει δὲ τοὺς εἰς αὐτὸν συνιόντας. Γῆ δὲ ἡ κατευλογηθεῖσα τῇ ἐπιδημίᾳ τῆς μακαρίας, ἐκ

1. Πρβλ. Γεν. 2,5.

τῶν οἰκείων λαγόνων ὕδατος φύσιν χαριεστάτην ἀνῆκεν· ὥστε τὴν μάρτυρα ἀντὶ μητρὸς γενομένην οἷόν τινι γάλακτι κοινῷ τιθηνεῖσθαι τοὺς ἐν τῇ πόλει. Τοῦτο καὶ ὑγιαίνουσι φυλακτήριον καὶ τρυφῶσι σωφρόνως ἡδονῆς χορηγία καὶ ἀρρωστοῦσι παραμυθία· τὴν τοῦ Ἐλισσαίου χάριν εἰς Ἱεριχουντίους[1], ταύτην εἰς ἡμᾶς παρασχομένης τῆς μάρτυρος, τὸ ἁλμυρὸν τῆς κοινῆς φύσεως τῶν περὶ τὸν τόπον ὑδάτων εἰς γλυκεῖαν καὶ ἀπαλὴν καὶ προσηνῆ πᾶσιν αἴσθησιν διὰ τῆς εὐλογίας μεταβαλούσης. Οἱ ἄνδρες, μὴ καταδέξησθε γυναικῶν ἐλάττους ὀφθῆναι πρὸς τὴν εὐσέβειαν. Αἱ γυναῖκες, μὴ ἀπολειφθῆτε τοῦ ὑποδείγματος· ἀλλ' ἀπροφασίστως τῆς εὐσεβείας ἀντέχεσθε· ἔργῳ πεῖραν λαβοῦσαι, ὅτι πρὸς οὐδὲν ὑμῖν τῶν ἀγαθῶν τὸ ἐλάττωμα τῆς φύσεως ἐμποδίζει.

3. Πολλὰ περὶ τῆς μάρτυρος εἰπεῖν ὡρμημένον, ὁ χθὲς ἡμῖν κινηθεὶς λόγος, ἀτελὴς καταλειφθείς, τὴν ἐπὶ πλεῖον ἐν τούτοις διατριβὴν οὐκ ἐπιτρέπει. Δυσχερὴς δέ τις ἐγὼ φύσει πρὸς πᾶν τὸ ἀτέλεστον. Ἀτερπὲς μὲν γὰρ θέαμα καὶ εἰκὼν ἐξ ἡμισείας τὴν μίμησιν ἔχουσα, ἄχρηστος δὲ ὁδοιπορίας πόνος, μὴ πρὸς τὸ προκείμενον πέρας, μηδὲ πρὸς τοὺς ὡρισμένους σταθμοὺς ἀποσωθέντος τοῦ ὁδοιπόρου. Καὶ θήρας τὸ παρὰ μικρὸν ἴσον ἐστὶ τοῦ μηδενός· καὶ οἱ τρέχοντες ἐν τοῖς σταδίοις, ἑνὶ πολλάκις βήματι μόνῳ ἐλαττωθέντες, τῶν βραβείων ἐξέπεσον. Καὶ ἡμεῖς τοίνυν ἐπιμνησθέντες τῶν τοῦ Ἀποστόλου ῥημάτων χθὲς καὶ ἐν βραχέσιν ἐλπίζοντες παραδραμεῖσθαι αὐτῶν τὴν διάνοιαν, εὑρέθημεν πολλαπλάσια τῶν εἰρημένων παραλιπόντες· διόπερ ἀναγκαίαν ἡγούμεθα ὑμῖν τῶν ἐλλειφθέντων τὴν ἔκτισιν. Ἐλέγετο τοίνυν παρὰ τοῦ Ἀποστόλου· «πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε»[2]. Περὶ μὲν οὖν τοῦ πάντοτε χαίρειν χρῆναι, εἰ καὶ μὴ τῇ ὑποθέσει ἀρκούντως, ἀλλ' ἡμῖν γε ἱκανῶς εἴρηται τῇ προτεραίᾳ· εἰ δὲ καὶ δεῖ **[244]** ἀδιαλείπτως προσεύχεσθαι καὶ δυνατόν ἐστι τὸ παράγγελμα, οἱ δὲ ἀπαιτοῦντες ὑμεῖς ἕτοιμοι, ἐγώ τε κατὰ δύναμιν τὴν συνηγορίαν τοῦ λόγου πληρώσω. Προσευχή ἐστιν αἴτησις ἀγαθοῦ παρὰ τῶν εὐσεβῶν εἰς Θεὸν γινομένη. Τὴν δὲ αἴτησιν οὐκ ἐν ῥήμασιν ὁριζόμεθα πάντως. Οὐδὲ γὰρ ἡγούμεθα τὸν Θεὸν τῆς διὰ τῶν λόγων ὑπομνήσεως δεῖσθαι, ἀλλ' εἰδέναι καὶ μὴ αἰτούντων ἡμῶν, τὰ χρήσιμα. Τί οὖν ἐστιν ὃ φαμεν; Ὅτι χρὴ μὴ ἐν συλλαβαῖς ἡμᾶς τὴν προσευχὴν ἀποπληροῦν, ἀλλὰ προαιρέσει μᾶλλον ψυχῆς καὶ πράξεσι ταῖς κατ' ἀρετὴν παντὶ τῷ βίῳ συμπαρεκτεινομέναις, τὴν δύναμιν πληροῦσθαι τῆς προσευχῆς. «Εἴτε γὰρ ἐσθίετε, φησίν, εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε»[3]. Καθεζόμενος ἐπὶ τραπέζης, προσεύχου· προσφερόμενος τὸν ἄρτον, τῷ δεδωκότι τὴν χάριν ἀποπλήρου· οἴνῳ τὸ ἀσθενὲς τοῦ σώματος ὑπερείδων, μέμνησο τοῦ παρεχομένου σοι τὸ δῶρον εἰς εὐφροσύνην καρδίας καὶ πα-

1. Πρβλ. Δ' Βασ. 2,21. 2. Α' Θεσ. 5,16-18. 3. Α' Κορ. 10,31.

ραμυθίαν ἀρρωστημάτων. Παρῆλθεν ἡ χρεία τῶν βρωμάτων; Ἡ μέντοι μνήμη τοῦ εὐεργέτου μὴ παρερχέσθω. Τὸν χιτῶνα ἐνδυόμενος, εὐχαρίστει τῷ δεδωκότι· τὸ ἱμάτιον περιβαλλόμενος, αὔξησον τὴν εἰς Θεὸν ἀγάπην, ὃς καὶ χειμῶνι καὶ θέρει ἐπιτήδεια ἡμῖν σκεπάσματα ἐχαρίσατο, τήν τε ζωὴν ἡμῶν συντηροῦντα καὶ τὸ ἄσχημον περιστέλλοντα. Ἐπληρώθη ἡ ἡμέρα; Εὐχαρίστει τῷ τὸν ἥλιον μὲν εἰς ὑπηρεσίαν τῶν ἡμερινῶν ἔργων χαρισαμένῳ ἡμῖν, πῦρ δὲ παρασχομένῳ τοῦ φωτίζειν τὴν νύκτα καὶ ταῖς λοιπαῖς χρείαις ταῖς κατὰ τὸν βίον ὑπηρετεῖν. Ἡ νύξ ἄλλας ὑποθέσεις προσευχῆς προξενείτω. Ὅταν ἀναβλέψῃς εἰς τὸν οὐρανὸν καὶ πρὸς τὰ τῶν ἄστρων ἐνατενίσῃς κάλλη, προσεύχου τῷ Δεσπότῃ τῶν ὁρωμένων καὶ προσκύνει τὸν ἀριστοτέχνην τῶν ὅλων Θεόν, ὃς ἐν σοφίᾳ τὰ πάντα ἐποίησεν[1]. Ὅταν ἴδῃς πᾶσαν φύσιν ζώων ὕπνῳ κατεχομένην, πάλιν προσκύνει τὸν καὶ ἀκουσίως ἡμᾶς διὰ τοῦ ὕπνου τῆς συνεχείας τῶν πόνων λύοντα καὶ ἐκ μικρᾶς ἀναπαύσεως πάλιν πρὸς τὴν ἀκμὴν τῆς δυνάμεως ἐπανάγοντα.

4. Ἡ οὖν νύξ μὴ ἔστω ὥσπερ τις ἴδιος καὶ ἐξαίρετος κλῆρος τοῦ ὕπνου πᾶσα· μηδὲ καταδέξῃ διὰ τῆς κατὰ τὸν ὕπνον ἀναισθησίας τὸ ἥμισυ τῆς ζωῆς ἀχρειοῦν· ἀλλὰ μεριζέσθω σοι τῆς νυκτὸς ὁ χρόνος εἴς τε ὕπνον καὶ προσευχήν· ἀλλὰ καὶ οἱ ὕπνοι αὐτοὶ μελετήματα ἔστωσαν τῆς εὐσεβείας. Πεφύκασι γάρ πως αἱ καθ' ὕπνον φαντασίαι, ὡς τὰ πολλά, ἀπηχήματα εἶναι τῶν μεθημερινῶν φροντίδων. Ὁποῖα γὰρ ἂν ᾖ τὰ κατὰ τὸν βίον ἡμῶν ἐπιτηδεύματα, τοιαῦτα ἀνάγκη εἶναι καὶ τὰ ἐνύπνια. Οὕτως ἀδιαλείπτως προσεύξῃ· οὐκ ἐν ῥήμασι πληρῶν τὴν προσευχήν, ἀλλὰ δι' ὅλης τοῦ βίου τῆς δια[245]γωγῆς συνάψας σεαυτὸν τῷ Θεῷ, ὡς συνεχῆ καὶ ἀδιάλειπτον εἶναι προσευχὴν τὴν ζωήν σου. Ἀλλὰ καὶ «ἐν παντί», φησίν, «εὐχαριστεῖτε»[2]. Καὶ πῶς δυνατόν, φασί, τοῦτο γενέσθαι, ψυχὴν κατώδυνον συμφοραῖς καὶ οἱονεὶ περικεντουμένην τῇ αἰσθήσει τῶν ἀλγεινῶν, μὴ πρὸς θρήνους ἐκφέρεσθαι καὶ δάκρυα, ἀλλ' εὐχαριστεῖν ὡς ἐπ' ἀγαθοῖς τοῖς ἀπευκταίοις κατὰ ἀλήθειαν; Ἃ γὰρ ἂν ἐπαράσαιτό μοι ὁ ἐχθρός, ταῦτα παθών, πῶς ἐπ' αὐτοῖς εὐχαριστεῖν δυνήσομαι; Ἀνήρπασται τὸ παιδίον ἄωρον καὶ ὠδῖνες, τῶν πρώτων χαλεπώτεραι, ὀδυνωμένην ἐπὶ τῷ ἀγαπητῷ τὴν μητέρα κατατιτρώσκουσι· πῶς, καταλιποῦσα τοὺς θρήνους, εὐχαριστίας φωνὰς ἀναλάβῃ; Πῶς; Ἐὰν λογίσηται, ὅτι τῷ παιδὶ τῷ ἐξ αὐτῆς γεννηθέντι οἰκειότερος πατὴρ ὁ Θεὸς καὶ φρονιμώτερος προστάτης καὶ οἰκονόμος τοῦ βίου. Τί οὖν οὐκ ἐπιτρέπομεν τὰ αὐτοῦ κτήματα πρὸς τὸ δοκοῦν διατίθεσθαι τῷ φρονίμῳ Δεσπότῃ, ἀλλ' ὡς οἰκείων στερούμενοι ἀγανακτοῦμεν καὶ τοῖς ἀποθνήσκουσιν ὡς ἀδικηθεῖσι συμπάσχομεν; Σὺ δὲ ἐκεῖνο λογίζου, ὅτι οὐκ ἀπέθανε τὸ παιδίον, ἀλλ' ἀπεδόθη· οὐδὲ ἀπετελεύτησεν ὁ φίλος, ἀλλ' ἀπεδήμησε καὶ μικρόν τι προείληφε τῆς ὁδοῦ, ἣν καὶ ἡμᾶς ἀναγκαίως

1. Ψαλ. 103,24. 2. Α' Θεσ. 5,18.

δεήσει πορεύεσθαι. Ἔστω σοι ἐντολὴ τοῦ Θεοῦ σύνοικος, οἷόν τι φῶς καὶ διαύγειαν πρὸς τὴν τῶν πραγμάτων διάκρισιν παρεχομένη ἀδιαλείπτως· ἤτις, πόρρωθεν τὴν τῆς ψυχῆς σου ἐπιστασίαν προκατασχοῦσα καὶ τὰς ἀληθεῖς περὶ ἑκάστου δόξας προευτρεπίζουσα, ὑπ' οὐδενὸς ἐάσει σε τῶν προσπιπτόντων ἀλλοιωθῆναι· ἀλλὰ τῷ προευτρεπισμένῳ τῆς διανοίας, ὥσπερ τινὰ σκόπελον θαλάσσης γείτονα, ἀσφαλῶς καὶ ἀσείστως τῶν τε βιαίων πνευμάτων καὶ τῶν κυμάτων τὰς ἐπιδρομὰς ὑπομένειν. Διὰ τί γὰρ οὐχὶ θνητὰ φρονεῖν περὶ τοῦ θνητοῦ προειθίσθης, ἀλλ' ἀπροσδόκητον τοῦ παιδὸς τὸν θάνατον προσεδέξω; Ὅτε σοι πρῶτον ἠγγέλθη τοῦ υἱοῦ ἡ γέννησις, εἴ τις σε ἤρετο, ποταπόν ἐστι τὸ τεχθέν; τί ποτε ἂν ἀπεκρίνω; Ἆρα ἄλλο τι ἂν εἶπες, ἢ ὅτι ἄνθρωπός ἐστι τὸ γεννηθέν; Εἰ δὲ ἄνθρωπος καὶ θνητὸς δηλονότι. Τί οὖν παράδοξον, εἰ ἀπέθανεν ὁ θνητός; Οὐχ ὁρᾷς ἥλιον ἀνατέλλοντα καὶ δυόμενον, οὐχ ὁρᾷς τὴν σελήνην αὔξουσαν, εἶτα φθίνουσαν; οὐ τὴν γῆν θάλλουσαν, εἶτα ξηραινομένην; Τί τῶν περὶ ἡμᾶς ἔστηκε; τί ἀκίνητον ἔχει τὴν φύσιν καὶ ἀμετάπτωτον; Ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἴδε τὴν γῆν. Οὐδὲ ταῦτα διαιωνίζει. «Ὁ» γὰρ «οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται»[1], φησίν· οἱ ἀστέρες ἐκ τοῦ οὐρανοῦ πε-**[248]** σοῦνται, ὁ ἥλιος σκοτισθήσεται· ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς[2]. Τί οὖν θαυμαστόν, εἰ καὶ ἡμεῖς, μέρος ὄντες τοῦ κόσμου, ἀπολαύομεν τῶν ἐκ τοῦ κόσμου; Πρὸς ταῦτα ἀποβλέπων, ὅταν καὶ ἐπὶ σὲ ἔλθῃ τῶν κοινῶν τὸ μέρος, ἔνεγκε μύσας, οὐκ ἀπαθῶς, οὐδὲ ἀναισθήτως (τίς γὰρ μισθὸς ἀναλγησίας;), ἀλλ' ἐπιπόνως μὲν καὶ σὺν ἀλγηδόσι μυρίαις. Πλὴν ὑπένεγκε, ὥσπερ τις γενναῖος ἀγωνιστής, τὴν ἰσχὺν καὶ τὴν ἀνδρείαν οὐ μόνον ἐκ τοῦ τύπτειν τοὺς ἀντιπάλους, ἀλλὰ καὶ ἐκ τοῦ φέρειν στερρῶς τὰς παρ' αὐτῶν πληγὰς ἐπιδεικνύμενος· καὶ ὥσπερ τις κυβερνήτης σοφὸς καὶ ἀτάραχος ὑπὸ τῆς ἄγαν περὶ τὸν πλοῦν ἐμπειρίας, ὀρθὴν καὶ ἀβάπτιστον καὶ παντὸς χειμῶνος ὑψηλοτέραν τὴν ψυχὴν διασῴζων. Παιδὸς ἀγαπητοῦ, ἢ γυναικὸς καταθυμίας ἢ ἄλλου τινὸς τῶν φιλτάτων καὶ κατὰ πᾶσαν εὔνοιαν συνημμένων στέρησις, οὐδὲν δεινὸν τῷ προεσκεμμένῳ καὶ τὸν ὀρθὸν λόγον ἡγεμόνα τῆς ζωῆς ἔχοντι, ἀλλὰ μὴ κατὰ συνήθειάν τινα πορευομένῳ. Ἔθους γὰρ χωρισμὸς καὶ τοῖς ἀλόγοις ἐστὶ δυσφορώτατος. Καί ποτε εἶδον ἐγὼ βοῦν ἐπὶ φάτνης δακρύοντα, τοῦ συννόμου αὐτῷ καὶ ὁμοζύγου τελευτήσαντος. Καὶ τὰ λοιπὰ τῶν ἀλόγων σφοδρῶς τῆς συνηθείας ἔστιν ἰδεῖν ἀντεχόμενα. Σὺ δὲ οὐχ οὕτως ἔμαθες, οὐδὲ ἐδιδάχθης. Ἀλλ' ἀρχὴν μὲν φιλίας λαμβάνειν ἐκ μακρᾶς ὁμιλίας καὶ χρονίου ἔθους οὐδὲν ἀπεικός· ὀδύρεσθαι δὲ τὸν χωρισμὸν διὰ τὴν ἐπὶ πλεῖστον ἡμῖν γενομένην διατριβὴν παντελῶς ἄλογον.

5. Οἷον, γυνὴ συνεπληρώθη σοι κατὰ τὴν κοινωνίαν τοῦ βίου, πᾶσαν ἡδονήν σοι κατὰ τὸν βίον παρεχομένη, εὐθυμίας δημιουργός,

1. Ματθ. 24,35. 2. Ματθ. 24,29.

θυμηδιῶν πρόξενος, τὰ χρηστὰ συναύξουσα, ἐν ταῖς λύπαις τὸ πλεῖστον μέρος τῶν ἀνιαρῶν ἀφαιρουμένη αὕτη ἐξαίφνης ἀναρπασθεῖσα οἴχεται. Μὴ ἀγριάνῃς τῷ πάθει· μηδὲ αὐτόματόν τινα εἶπῃς εἶναι συντυχίαν τῶν γινομένων, ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος· μηδὲ κακόν τινα δημιουργὸν ὑπόθῃς ἐκ τῆς κατὰ τὴν λύπην ἀμετρίας πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ· ἀλλὰ μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας. Ἐπειδὴ γὰρ ὅλως ἐγένεσθε οἱ δύο εἰς σάρκα μίαν[1], πολλὴ συγγνώμη τῷ τὴν διχοτομίαν καὶ τὴν τῆς συναφείας διαίρεσιν μετὰ ἀλγημάτων δεχομένῳ· οὐ μὴν τούτου γε ἕνεκεν ἦ διανοεῖσθαί τι τῶν οὐ προσηκόντων, ἢ φθέγγεσθαί σοι λυσιτελές. Ἐννόησον γάρ, ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξ[249]όδου. Τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε· τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς ἀῤῥήτους τῆς σοφίας ἑαυτοῦ καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τῆς κακοπαθείας ἀπαλλαγήν· οὕτω καὶ αἱ ψυχαί, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου σοφῶς καὶ βαθέως καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου. Οὐκ ἀκούεις λέγοντος τοῦ Δαβίδ, «ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου»[2]; Οὐκ ἤκουσας περὶ τοῦ ἁγίου, ὅτι ἀπελύθη αὐτοῦ ἡ ψυχή[3]; Τί δὲ Συμεών, ὅτε ἐνεγκαλίσατο τὸν Κύριον ἡμῶν; ποίαν φωνὴν ἀφῆκεν; Οὐχ ὅτι «νῦν ἀπολύεις τὸν δοῦλον σου, Δέσποτα»[4]; Τῷ γὰρ ἐπειγομένῳ πρὸς τὴν ἄνω διαγωγὴν βαρυτέρα πάσης κολάσεως καὶ δεσμωτηρίου παντὸς ἡ μετὰ τοῦ σώματός ἐστι διατριβή. Μὴ τοίνυν τῇ ἑαυτοῦ ἀπολαύσει ἐπιζήτει τὰς περὶ τῶν ψυχῶν διατάξεις ἀκολουθεῖν· ἀλλὰ λογίζου περὶ τῶν συναφθέντων κατὰ τὸν βίον, εἶτα θανάτῳ διισταμένων, ὅτι παραπλήσιοί εἰσιν ὁδοιπόροις μίαν ὁδὸν πορευομένοις καὶ διὰ τὴν συνεχῆ μετ' ἀλλήλων διατριβὴν ἐνωθεῖσιν ὑπὸ τῆς συνηθείας. Οἳ ἐπειδὰν τὴν κοινὴν ὁδὸν διεξελθόντες καταλάβωσι, λοιπὸν σχιζομένην αὐτήν, τῆς χρείας ἤδη ἀναγκαίως μεριζούσης ἑκάτερον, οὐ τῇ συνήθειᾳ προσκαθεζόμενοι ἀμελοῦσι τῶν προκειμένων, ἀλλὰ τῆς ἐξ ἀρχῆς κινησάσης αὐτοὺς αἰτίας ὑπομνησθέντες, πρὸς τὸ οἰκεῖον ἕκαστος ἀποτρέχουσι πέρας. Ὡς οὖν ἐκείνοις ἄλλος μὲν ἦν ὁ σκοπὸς τῆς ὁδοῦ, συνέβη δὲ αὐτοῖς ἡ κατὰ τὴν ὁδοιπορίαν ἐκ τῆς συνηθείας οἰκείωσις· οὕτω καὶ τοῖς ἐν γάμῳ ἢ ἄλλῃ τινὶ κοινωνίᾳ βίου συνημμένοις ἴδιον προέκειτο δηλονότι τῆς ζωῆς τὸ πέρας· συναφθέντας δὲ ἀλλήλοις ἀναγκαίως τὸ προδιατεταγμένον τῆς ζωῆς τέλος ἐχώρισε καὶ διέλυσεν.

1. Γεν. 2,24. Ματθ. 19,5. 2. Ψαλ. 141,8. 3. Πρβλ. Τωβ. 3,6,15. 4. Λουκ. 2,29.

6. Εὐγνώμονος οὖν διανοίας οὐκ ἐπὶ τῷ χωρισμῷ δυσφόρως ἔχειν, ἀλλ' ἐπὶ τῇ ἐξ ἀρχῆς συναφείᾳ χάριν ἔχειν τῷ συγκληρώσαντι. Σὺ δὲ καὶ ὅτε περιῆν σοι τὸ γύναιον, ἢ ὁ φίλος, ἢ τὸ παιδίον, ἢ ὅ τι οὖν ὢν ὀδύρῃ νῦν, οὐχὶ χάριν εἶχες τῶν παρόντων τῷ δεδωκότι, ἀλλ' ἐνεκάλεις ὑπὲρ τῶν ἐλλειφθέντων. Εἰ μὲν γυναικὶ μόνῃ συνῴκεις, ὅτι μὴ παῖδες ἦσαν οἵους ἐβούλου· εἰ δὲ καὶ παῖδες παρῆσαν, ὅτι μὴ ὑπερεπλούτεις, ἢ καὶ ὅτι τῶν ἐχθρῶν τινας εὐημεροῦντας ἑώρας. Ὅρα τοίνυν μή ποτε αὐτοὶ ἑαυτοῖς ἀναγκαίας τῶν φιλτάτων τὰς στερήσεις κατασκευά[252]ζωμεν, παρόντων μὲν οὐκ αἰσθανόμενοι, παρελθόντων δὲ περιεχόμενοι. Ἐπειδὴ γὰρ παρακειμένων τῶν ἐκ Θεοῦ ἀγαθῶν οὐκ εὐχαριστοῦμεν, ἀναγκαία ἡμῖν ἡ ἀφαίρεσις διὰ τὴν αἴσθησιν γίνεται. Ὥσπερ γὰρ οἱ ὀφθαλμοὶ τὸ ἄγαν προσκείμενον οὐχ ὁρῶσιν, ἀλλὰ δέονται συμμέτρου τινὸς ἀποστάσεως· οὕτω καὶ αἱ ἀχάριστοι ψυχαὶ ἐοίκασιν ἐν τῇ ἀλλοτριώσει τῶν ἀγαθῶν τῆς παρελθούσης χάριτος ἐπαισθάνεσθαι. Ὅτε γὰρ ἀπέλαυον τῶν χρηστοτέρων, οὐδεμίαν χάριν τῷ δεδωκότι γινώσκοντες, μετὰ τὴν στέρησιν τὸ παρελθὸν μακαρίζουσιν. Ἀλλ' οὐδεὶς ἡμῶν ἀποκλείεται τοῦ εὐχαριστεῖν ὑπ' οὐδεμιᾶς περιστάσεως βίου, ἐὰν εὐγνωμόνως ἕκαστον ἐπιλογίζεσθαι θέλῃ. Πολλὰς γὰρ ἀναθεωρήσεις καὶ οὐκ ἀτερπεῖς ὁ ἑκάστου ἡμῶν βίος κέκτηται, ἐάνπερ ἄρα καταδεξώμεθα πρὸς τὸ ὑποβεβηκὸς ἀποβλέπειν καὶ οὕτως ἐκ τῆς πρὸς τὸ χεῖρον συγκρίσεως τὸ ὑπάρχον ἡμῖν ἀγαθόν, πόσου τινὸς ἄξιόν ἐστιν, ἐκμετρεῖν. Οἰκέτης εἶ; Ἔχεις τὸν σεαυτοῦ ταπεινότερον· εὐχαρίστει, ὅτι ἑνὸς ὑπερέχεις, ὅτι μὴ ἐν τῷ μυλῶνι καταδεδίκασα, ὅτι μὴ πληγὰς λαμβάνεις. Οὐκ ἐπιλείψουσιν οὐδὲ τοῦτον αἱ τοῦ εὐχαριστεῖν ἀφορμαί. Οὐ γὰρ ἔχει πέδας, οὐ δέδεται ἐν ξύλῳ. Ὁ δεσμώτης ἔχει τὸ ζῆν ἀρκοῦσαν ἀφορμὴν εἰς εὐχαριστίαν· ἥλιον ὁρᾷ, ἀναπνεῖ τὸν ἀέρα, ἐπὶ τούτοις εὐχαριστεῖ. Ἀδίκως κολάζῃ; Τῇ τῶν μελλόντων ἐλπίδι χαῖρε. Δικαίως κατεδικάσθης; Καὶ οὕτως εὐχαρίστει, ἐνταῦθα τὴν δίκην τῶν τετολμημένων ἀποτινύς, ἀλλὰ μὴ ἐπ' ἀκεραίοις τοῖς ἁμαρτήμασι τῇ αἰωνίᾳ κολάσει ταμιευθείς. Κατὰ δὴ τὸν αὐτὸν λόγον ἐπὶ παντὸς βίου καὶ πάντων ἐπιτηδευμάτων ἔξεστι τῷ εὐγνώμονι μεγάλας τῶν παρόντων ἀποδιδόναι τῷ εὐεργέτῃ τὰς χάριτας. Νῦν δὲ τὸ τῶν δυσαρεστουμένων πεπόνθασιν οἱ πολλοί· τὸ μὲν παρὸν ἀτιμάζοντες, τῶν δὲ ἀπόντων ἐπιθυμοῦντες. Οὐ γὰρ τοὺς ὑποδεεστέρους αὐτῶν ἀπαριθμούμενοι, τὴν ὑπὲρ ὧν ἔχουσι χάριν ἀποπληροῦσι τῷ εὐεργέτῃ· ἀλλὰ τῇ πρὸς τὸ ὑπερέχον συγκρίσει, ὅσον ἀπολείπονται λογιζόμενοι, ὡς οἰκείων στερούμενοι τῶν ἑτέροις προσόντων, οὕτως ἀνιῶνται καὶ καταμέμφονται. Ὁ δοῦλος, ὅτι μὴ ἐλεύθερός ἐστι, δυσχεραίνει· ὁ ἐν ἐλευθερίᾳ τραφείς, ὅτι μὴ εὐπατρίδης, μηδὲ τῶν περιβλέπτων ἐπ' εὐγενείᾳ, μηδ' ὅτι ἑπτὰ πάππους ἔχει ἀριθμεῖν εἰς τὸ ἄνω, ἱπποτρόφους λαμπρούς, ἢ μονομάχοις τὸν πλοῦτον ἐξαναλώσαντας. Ὁ κατὰ γένος περιφανὴς σχετλιάζει, ὅτι μὴ ἐπὶ πλούτῳ κομᾷ· ὁ πλούσιος

λυπεῖται καὶ ὀδύρεται, ὅτι μὴ πόλεων καὶ ἐθνῶν ἐστιν ἄρχων· ὁ στρατηγός, ὅτι μὴ βασιλεύει· ὁ βασιλεύς, ὅτι μὴ πάσης ὁμοῦ τῆς ὑφ' ἡλίῳ κρατεῖ, ἀλλ' ἔστιν ἔθνη τοῖς αὐτοῦ σκήπτροις μὴ ὑποκύπτοντα. Ἐκ πάντων δὲ τούτων συνάγεται τὸ ἐπὶ μηδενὶ τὸν εὐεργέτην εὐχαριστεῖ-
5 **[253]**σθαι. Ἀλλ' ἡμεῖς, ἀφέντες τὰς ἐπὶ τοῖς ἀποῦσι λύπας, διδαχθῶμεν τὴν ἐπὶ τοῖς παροῦσιν εὐχαριστίαν ἀποδιδόναι. Εἴπωμεν ἐν μὲν ταῖς σκυθρωποτέραις περιστάσεσι τῶν πραγμάτων τῷ σοφῷ ἰατρῷ· «ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν»[1]. Εἴπωμεν· «ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με»[2]. Εἴπωμεν· ὅτι «οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ
10 πρὸς τὴν μέλλουσαν δόξαν ἀπακαλυφθῆναι εἰς ἡμᾶς»[3]. Εἴπωμεν· ὅτι «ὀλίγα ὧν ἡμάρτομεν μεμαστιγώμεθα»[4]. Παρακαλέσωμεν τὸν Κύριον, ὅτι «παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ»[5]. «Ἐλεγχόμενοι γάρ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν»[6]. Ἐν δὲ τῇ φαιδροτέρᾳ τοῦ βίου διαγωγῇ ἐκείνην λέ-
15 γωμεν τοῦ Δαυὶδ τὴν φωνήν· «Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;»[7] «Ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε»· λόγῳ ἐτίμησε· τέχνας ἡμῖν συνεργοὺς τῆς ζωῆς ἐχαρίσατο· τροφὰς ἐκ τῆς γῆς ἀνίησι· βοσκημάτων ἡμῖν ὑπηρεσίαν δέδωκε. Δι' ἡμᾶς ὄμβροι· δι' ἡμᾶς ἥλιος· ἡ ὀρεινή, ἡ πεδιάσιμος ἡμῶν ἕνεκεν διακεκόσμη-
20 ται, ἀποφυγὰς ἡμῖν πρὸς τὰς ἐκ τῶν ὀρῶν ἀκρότητας εὐτρεπίζουσα. Δι' ἡμᾶς ποταμοὶ ῥέουσι· δι' ἡμᾶς βρύουσιν αἱ πηγαί· ἡ θάλασσα ἡμῖν ἀνεῖται πρὸς ἐμπορίαν· οἱ ἐκ μετάλλων πλοῦτοι, αἱ πανταχόθεν ἀπολαύσεις, πάσης τῆς κτίσεως δωροφορούσης ἡμῖν, διὰ τὴν πλουσίαν καὶ ἄφθονον εἰς ἡμᾶς χάριν τοῦ εὐεργέτου.

25 7. Καὶ τί δεῖ τὰ μικρὰ λέγειν; Δι' ἡμᾶς Θεὸς ἐν ἀνθρώποις· διὰ τὴν καταφθαρεῖσαν σάρκα ὁ Λόγος «σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[8]. Μετὰ τῶν ἀχαρίστων ὁ εὐεργέτης· πρὸς τοὺς καθημένους ἐν σκότει[9] «ὁ ἥλιος τῆς δικαιοσύνης»[10]· ἐπὶ τὸν σταυρὸν ὁ ἀπαθής· ἐπὶ τὸν θάνατον ἡ ζωή· ἐπὶ τὸν ᾅδην τὸ φῶς· ἡ ἀνάστασις διὰ τοὺς πε-
30 σόντας· πνεῦμα υἱοθεσίας, χαρισμάτων διανομαί, στεφάνων ἐπαγγελίαι· τὰ ἄλλα, ὅσα οὐδὲ ἐξαριθμήσασθαι ῥᾴδιον, ἐφ' οἷς πᾶσι πρέπουσά ἐστιν ἡ φωνὴ τοῦ προφήτου· «τί ἀνταποδῶμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;»[11]. Καὶ γὰρ αὖ καὶ τοῦτο οὐκ εἴρηται δεδωκέναι, ἀλλ' ἀντιδεδωκέναι ὁ μεγαλόδωρος, ὡς οὐχὶ κατάρχων χάριτος,
35 ἀλλ' ἀμειβόμενος τοὺς ὑπάρξαντας· τὸ γὰρ τῶν λαμβανόντων εὐχάριστον εἰς εὐεργεσίαν καταλογίζεται. Ὅς καὶ χρήματα διδοὺς αἰτεῖ παρὰ σοῦ τὴν ἐλεημοσύνην διὰ τῆς χειρὸς τῶν πενήτων· κἂν λάβῃ τὰ ἑαυτοῦ, ἀκεραίαν σοι τὴν χάριν, ὡς ὑπὲρ οἰκείων, ἀποπληροῖ. «Τί οὖν ἀνταποδῶμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν **[256]** ἡμῖν;»[12].

---

1. Ἡσ. 26,16. 2. Ψαλ. 118,71. 3. Ρωμ. 8,18. 4. Ἰὼβ 15,11.
5. Ἱερ. 10,24. 6. Α' Κορ. 11,32. 7. Ψαλ. 115,12. 8. Ἰω. 1,14.
9. Πρβλ. Ἡσ. 9,2. 10. Μαλ. 3,20. 11. Ψαλ. 115,3. 12. Ἔνθ' ἀν.

Οὐ γὰρ ἀφίεμαι τῆς φωνῆς τοῦ Προφήτου, καλῶς ἀποροῦντος καὶ περισκοποῦντος ἑαυτοῦ τὴν πενίαν, ὅτι οὐδὲν ἔχει πρὸς ἀντίδοσιν ἄξιον. Ὡς ἐφ' οὕτω μεγάλαις καὶ λαμπραῖς εὐεργεσίαις, οὐμενοῦν ἐχούσαις ὑπερβολήν, πολλαπλασίονα ἡμῖν τὰ εἰς ὕστερον ἐπαγγέλλεται· παραδείσου τρυφὴν καὶ δόξαν ἐν βασιλείᾳ καὶ ἰσαγγέλους τιμὰς καὶ Θεοῦ κατανόησιν· ὅπερ τοῖς ἀξιωθεῖσι τῶν ἀγαθῶν ἐστι τὸ ἀκρότατον· οὗ πᾶσα ἐφίεται λογικὴ φύσις· οὗ καὶ ἡμεῖς ἐπιτύχοιμεν, ἐκ τῶν παθῶν τῆς σαρκὸς ἑαυτοὺς ἐκκαθάραντες. Πῶς οὖν, φησί, τὸ κοινωνικὸν καὶ φιλόστοργον (ὃ πρῶτόν ἐστι τῶν ἀγαθῶν καὶ τελειότατον, διότι «πλήρωμα νόμου ἡ ἀγάπη»[1]) πρὸς τοὺς πλησίον ἐπιδειξόμεθα; Ἐπειδάν, πρός τινας ὑπὸ μεγάλων συμφορῶν κατεχομένους εἰσελθόντες, μὴ συγκλαίωμεν αὐτοῖς, μηδὲ συνδακρύωμεν, ἀλλ' εὐχαριστῶμεν ἐπὶ τοῖς γενομένοις. Οἰκεῖον μὲν γὰρ πάθος μετ' εὐχαριστίας ὑπενεγκεῖν ὑπομονῆς ἔχει καὶ καρτερίας ἀπόδειξιν· ἐπ' ἀλλοτρίαις δὲ συμφοραῖς εὐχαριστεῖν τῷ Θεῷ ἐπιχαίροντός ἐστι τοῖς κακοῖς καὶ παροξύνοντος τοὺς λυπουμένους· καὶ ταῦτα τοῦ Ἀποστόλου ἐπιτρέποντος ἡμῖν κλαίειν μετὰ κλαιόντων[2]. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Ἡ πάλιν ἀναγκαίως τῶν τοῦ Κυρίου λόγων ὑπομνήσομεν ὑμᾶς, ἐπὶ τίσι χαίρειν προσετάχθημεν καὶ ἐπὶ τίσι πενθεῖν; «Χαίρετε», φησί, «καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς»[3]· καὶ πάλιν· «θυγατέρες Ἱερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμέ, ἀλλὰ κλαύσατε ἐπὶ τὰ τέκνα ὑμῶν»[4]. Οὐκοῦν δικαίοις μὲν συσκιρτᾶν καὶ συναγάλλεσθαι ὁ θεῖος λόγος ἡμῖν ἐπιτρέπει, τοῖς δὲ ἐκ μετανοίας ἀφιεῖσι δάκρυον συμπενθεῖν καὶ συνοδύρεσθαι, ἢ τοὺς ἀναλγήτως διακειμένους ἀποκλαίεσθαι, ὅτι οὐδὲ ἴσασι πῶς ἀπόλλυνται.

8. Οὐχὶ δὲ ἐπὶ θανάτῳ ἀνθρώπων κατακλαύσαντα καὶ συνεκβοήσαντα τοῖς πενθοῦσι πληρωτὴν προσήκει νομίζειν εἶναι τῆς ἐντολῆς. Οὔτε γὰρ ἰατρὸν ἐπαινῶ, τὸν ἀντὶ τοῦ βοηθεῖν τοῖς κάμνουσιν, αὐτὸν τῶν νοσημάτων ἀναπιμπλάμενον, οὔτε κυβερνήτην, ἀντὶ τοῦ κρατεῖν τῶν ἐμπλεόντων καὶ τοῖς πνεύμασι μάχεσθαι καὶ διαφεύγειν τὰ κύματα καὶ παραμυθεῖσθαι τοὺς δειλοτέρους, ναυτιῶντα καὶ συναλύοντα τοῖς ἀπειροθαλάττοις. Τοιοῦτος γάρ ἐστιν ὁ πρὸς τοὺς πενθοῦντας εἰσιὼν καὶ μὴ τῆς ἐκ τοῦ οἰκείου λόγου ὠφελείας μεταδιδοὺς, ἀλλὰ τῆς ἐκ τῶν ἀλλοτρίων παθῶν ἀσχημοσύνης μεταλαμβάνων. Ἐπιστυγνάζειν μὲν οὖν ταῖς συμφοραῖς τῶν πενθούντων ἀκόλουθον. Οὕτω γὰρ ἑαυτὸν οἰκειώσῃ τοῖς **[257]** πάσχουσι, μὴ καθιλαρυούμενος τῶν συμφορῶν, μηδὲ ἐναδιαφορῶν τοῖς ἀλλοτρίοις ἀλγήμασιν. Οὐ μὴν περαιτέρω γε συνεκφέρεσθαι τοῖς λυπουμένοις προσῆκεν, ὥστε ἢ συνεκβοᾶν, ἢ συνθρηνεῖν τῷ πεπονθότι, ἢ ἐν τοῖς ἄλλοις μιμεῖσθαι καὶ ζηλοῦν τὸν ἐσκοτωμένον ὑπὸ τοῦ πάθους· οἷον συγκαθειργνῦναι

1. Ρωμ. 13,10. 2. Ρωμ. 12,15. 3. Ματθ. 5,12. 4. Πρβλ. Λουκ. 23,28.

ἑαυτὸν καὶ συμμελανειμονεῖν καὶ χαμαὶ συγκαθῆσται καὶ κουρᾶς ἀμελεῖν. Ἐκ τούτων γάρ ἐστι μᾶλλον ἐπιτείνειν τὴν συμφοράν, ἢ καταπραΰνειν. Οὐχ ὁρᾷς, ὅτι βουβῶνες μὲν καὶ σπλῆνες, οἱ μὲν τραύμασιν, οἱ δὲ πυρετοῖς ἐπιτιθέμενοι, τὰς ὀδύνας συνεπιτείνουσι; χεῖρες δὲ τὸ ἀλγοῦν τῇ πραείᾳ ἑαυτῶν ἐπαφῇ καταστέλλουσι; Καὶ αὐτὸς δὴ οὖν μὴ ἐξαγριάνῃς τὸ πάθος τῇ παρουσίᾳ, μηδὲ συγκαταπέσῃς τῷ πεπτωκότι. Ὁ γὰρ τὸν κείμενον ἀνιστῶν ὑψηλότερος εἶναι τοῦ πεπτωκότος πάντως ὀφείλει· ὁ δὲ ἐξ ἴσου καταπεσὼν ἑτέρου καὶ αὐτὸς τοῦ ἀναστήσοντος ἐπιδεῖται. Ἀλλὰ δάκνεσθαι μὲν ὑπὸ τῶν γινομένων καὶ ἡσυχῇ τοῖς λυπηροῖς ἐπιστυγνάζειν προσῆκεν, ἐν συννοίᾳ προσώπου καὶ σεμνότητι βάρος ἐχούσῃ, τὸ τῆς ψυχῆς πάθος διασημαίνοντα· φθεγγόμενον δέ, οὐκ εὐθὺς ἐπιπηδᾷν ταῖς ἐπιτιμήσεσι προσῆκεν, ὥσπερ ἐναλλόμενον καὶ ἐπεμβαίνοντα τοῖς κειμένοις (φορτικὸν γὰρ τοῖς ὑπὸ λύπης τὴν ψυχὴν κεκακωμένοις αἱ ἐπιτιμήσεις· καὶ ἅμα δυσπαράδεκτοί εἰσι τοῖς κάμνουσι καὶ πρὸς παρηγορίαν ἀπίθανοι τῶν ἀπαθῶς παντάπασι διακειμένων οἱ λόγοι)· ἀλλὰ συγχωρήσαντα κενὰ καὶ ἄπρακτα ἐκβοῆσαι καὶ ὀλοφύρεσθαι, ἤδη τοῦ κακοῦ ὑπανέντος τι καὶ χαλάσαντος, τότε ἐμμελῶς καὶ πράως τῆς παρακλήσεως ἅπτεσθαι. Ἐπεὶ καὶ οἱ πωλοδάμναι τοὺς δυσηνίους, τῶν πώλων οὐκ εὐθὺς κατάγχουσι τοῖς χαλινοῖς, οὐδὲ ἀνακρούουσιν (ἀναχαιτίζειν γὰρ οὕτω καὶ ἀποσείεσθαι τοὺς ἐπιβάτας διδάσκουσιν)· ἀλλὰ συνενδιδόντες τὴν πρώτην καὶ συνεξορμῶντες αὐτοῖς, ἐπειδὰν ἴδωσιν ὑπὸ τῆς οἰκείας ὁρμῆς καὶ βίας τὸν θυμὸν ἀναλώσαντας, τότε παραλαβόντες δεδαμασμένους, εὐπειθεστέρους ἤδη ποιοῦσι διὰ τῆς τέχνης. Οὕτως ἔσται κατὰ τὸν τοῦ Σολομῶντος λόγον· «ἀγαθὸν εἰσελθεῖν εἰς οἶκον πένθους μᾶλλον ἢ εἰς οἶκον πότου»[1]· εἰ μέλλοι τις, ἐπιστημόνως καὶ πράως τῷ λόγῳ χρώμενος, μεταδιδόναι τῆς οἰκείας ὑγιείας τῷ κάμνοντι, ἀλλ' οὐχὶ τῆς ἀλλοτρίας λύπης, ὡς ὀφαλμίας, μεταλαμβάνειν.

9. Κλαίειν οὖν μετὰ κλαιόντων. Ὅταν ἴδῃς ἐπὶ μετανοίᾳ τῶν ἡμαρτημένων τὸν ἀδελφὸν ὀδυρόμενον, σύγκλαυσον τῷ τοιούτῳ καὶ συμπάθει. Οὕτω γάρ σοι ὑπάρξει ἐν ἀλλοτρίοις πάθεσι τὸ οἰκεῖον ἐπανορθοῦσθαι. Ὁ γὰρ ὑπὲρ τῆς τοῦ πλησίον ἁμαρτίας θερμὸν ἀποστάξας δάκρυον ἑαυτὸν ἐξιάσατο, δι' ὧν **[260]** τὸν ἀδελφὸν ἀπωδύρατο. Τοιοῦτος ἦν ὁ λέγων· «ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου»[2]. Ὑπὲρ ἁμαρτίας κλαῖε. Αὕτη ἀρρωστία ψυχῆς· αὕτη θανάτος ἐστι τῆς ἀθανάτου· αὕτη πένθους ἀξία καὶ ὀδυρμῶν ἀσιγήτων. Ἐπὶ ταύτῃ πᾶν δάκρυον ῥέοι καὶ μὴ διαλείποι στεναγμὸς ἐκ βάθους καρδίας ἀναπεμπόμενος, ἔκλαιε Παῦλος τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ[3]. Ἱερεμίας ἔκλαιεν ἐπὶ τοῖς ἀπολλυμένοις τοῦ λαοῦ· ὅς γε, ἐπειδὴ οὐκ ἦρκει τὸ ἐκ φύσεως δάκρυον, πηγὴν ἐπεζήτει δακρύων καὶ σταθμὸν ἔσχατον. «Καὶ καθήσομαι», φησὶ «καὶ κλαύ-

1. Ἐκκλ. 7,2. 2. Ψαλ. 118,53 3. Φιλιπ. 3,18.

σομαι τὸν λαὸν τοῦτον ἡμέρας πολλάς, τοὺς ἀπολλυμένους»[1]. Τὸ τοιοῦτον δάκρυον καὶ τὸ τοιοῦτον πένθος, ὁ λόγος μακαρίζει[2]· οὐ τὸ πρὸς πᾶσαν λύπην εὐάγωγον καὶ ἐκ πάσης προφάσεως, εὐκατάφορον πρὸς τοὺς θρήνους. Ἤδη δέ τινας εἶδον τῶν φιληδόνων δι' ὑπερβολὴν ἡδυπαθείας ἐπὶ προφάσει τῆς λύπης πρὸς κραιπάλην καὶ μέθην ἐκτρεπομένους καὶ τὸ ἀκρατὲς αὐτῶν ἐκ τῶν τοῦ Σολομῶντος λόγων παραμυθεῖσθαι πειρωμένους, λέγοντος· «δότε οἶνον τοῖς ἐν λύπαις»[3]. Ἔστι δὲ ὁ παροιμιακὸς λόγος οὐχὶ μέθης ἄδειαν παρεχόμενος, ἀλλὰ συνέχων τὴν ἀνθρωπίνην ζωήν. Ἵνα γὰρ τὸ αἰνιγματῶδες αὐτοῦ παραλείπω, οἶνον λέγοντος τὴν λογικὴν εὐφροσύνην, οὐδὲ ὁ πρόχειρος νοῦς μικρὰν ἔχει τὴν ἐπιμέλειαν, ἵνα μὴ τῷ σφοδρῷ τοῦ πένθους καταποθέντες, τῶν τροφῶν ἀμελῶσιν οἱ δυσπαρηγόρητοι καὶ βαρυπενθεῖς· ἀλλ' ἄρτῳ μὲν στηρίζηται ἡ καρδία τοῦ φιλολύπου, οἴνῳ δὲ τὸ συμπεπτωκὸς τῆς δυνάμεως ὑπερείδηται. Οἱ δὲ φίλοινοι καὶ οἰνόφλυγες, οὐ τὴν λύπην καταπραΰναντες, ἀλλὰ κακὰ κακῶν διαμειβόμενοι καὶ πονηροί τινες γινόμενοι συναλλάκται, νοσήματα ψυχῶν διαμείβουσι νοσημάτων· οἳ τοὺς ἐπὶ τῆς τρυτάνης τὰς ῥοπὰς ἐπανισοῦντας μιμούμενοι, τοσοῦτον ὑφαιροῦσι τῆς λύπης, ὅσον αὔξουσι τὸ φιλήδονον. Ἀλλ' οἶμαι χρῆναι βοήθειαν τῇ φύσει παρέχειν τὸν οἶνον· καὶ μὴ τοσοῦτον ἐπιτρέπειν ἐγχεῖσθαι τὸν ἄκρατον, ὥστε σκότωσιν τοῖς λογισμοῖς ἐμποιεῖν. Οὔτε γὰρ συνεκρυήσεται τῷ οἴνῳ τὸ λυπηρόν· καὶ τὸ τῆς μέθης κακὸν τῇ ψυχῇ προσγενήσεται. Εἰ δὲ λύπης ἰατρός ἐστιν ὁ λογισμός, ἔσχατον ἂν εἴη τῶν κακῶν ἡ μέθη, τῇ ἰατρείᾳ τῆς ψυχῆς ἐμποδίζουσα. Ἀλλ' ἀνάλαβε τῷ λόγῳ τῶν εἰρημένων ἕκαστον καὶ εὑρήσεις τό τε δυνατὸν τῆς ἀποστολικῆς νομοθεσίας καὶ τὸ ὠφέλιμον· πῶς μὲν πάντοτε χαρήσῃ τῷ ὀρθῷ λόγῳ ἑπόμενος· πῶς δὲ προσεύξῃ ἀδιαλείπτως, πῶς δὲ ἐν παντὶ εὐχαριστήσεις· τίνι δὲ τρόπῳ παρακαλέσοις τοὺς λυπομένους, ἵνα ἐκ **[261]** πάντων ἄρτιος ᾖς καὶ κατηρτισμένος, τῇ βοηθείᾳ τοῦ Ἁγίου Πνεύματος καὶ τῇ ἐπισκηνώσει τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Πρβλ. Ἱερ. 8,23. 2. Πρβλ. Ματθ. 5,5 3. Πρβλ. Παρμ. 31,6.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΥ

«ΚΑΘΕΛΩ ΜΟΥ ΤΑΣ ΑΠΟΘΗΚΑΣ ΚΑΙ ΜΕΙΖΟΝΑΣ ΟΙΚΟΔΟΜΗΣΩ»[1] ΚΑΙ ΠΕΡΙ ΠΛΕΟΝΕΞΙΑΣ *

15 1. Διπλοῦν τὸ εἶδος τῶν πειρασμῶν. Ἡ γὰρ αἱ θλίψεις βασανίζουσι τὰς καρδίας, ὥσπερ χρυσὸν ἐν καμίνῳ[2], διὰ τῆς ὑπομονῆς τὸ δόκιμον αὐτῶν ἀπελέγχουσαι· ἢ καὶ πολλάκις αὐταὶ αἱ εὐθηνίαι τοῦ βίου ἀντὶ πειρατηρίου γίνονται τοῖς πολλοῖς. Ὁμοίως γάρ ἐστι χαλεπὸν ἔν τε δυσκολίαις πραγμάτων ἀταπείνωτον τὴν ψυχὴν διασώσασθαι καὶ ἐν ταῖς περιφανείαις μὴ ἐπαρθῆναι πρὸς ὕβριν. Παράδειγμα δὲ τοῦ μὲν προτέρου εἴδους τῶν πειρασμῶν ὁ μέγας Ἰώβ, ὁ ἀκαταγώνιστος ἀθλητής· ὅς, πᾶσαν τοῦ διαβόλου τὴν βίαν, ὥσπερ χειμάρρου φοράν, ἀσείστῳ καρδίᾳ καὶ λογισμοῖς ἀτρέπτοις ὑποδεξάμενος, τοσούτῳ μείζων τῶν πειρασμῶν ἀνεφάνη, ὅσῳ μεγάλα αὐτῷ καὶ δυσέκλυτα ἐδόκει παρὰ τοῦ ἐχθροῦ προβεβλῆσθαι τὰ παλαίσματα. Τῶν δὲ κατὰ τὴν εὐημερίαν τοῦ βίου πειρασμῶν ὑποδείγματα ἄλλα τέ τινα καὶ οὗτος ὁ νῦν ἡμῖν ἀναγνωσθεὶς πλούσιος· ὃς τὸν μὲν εἶχε πλοῦτον, τὸν δὲ ἦλπιζε· τοῦ φιλανθρώπου Θεοῦ ἐξ ἀρχῆς αὐτὸν ἐπὶ τῇ ἀγνωμοσύνῃ τῶν τρόπων μὴ κατακρίναντος, ἀλλ' ἀεὶ τῷ προϋπάρχοντι πλούτῳ πλοῦτον ἕτερον προστιθέντος, εἴ πως αὐτῷ κόρον ἐμποιήσας ποτέ, πρὸς τὸ κοινωνικὸν καὶ ἥμερον τὴν ψυχὴν αὐτοῦ ἐκκαλέσαιτο· «ἀνθρώπου γάρ, φησί, πλουσίου ηὐφόρησεν ἡ χώρα, καὶ διελογίζετο καθ' ἑαυτόν· τί ποιήσω; Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω»[3]. Διὰ τί οὖν ηὐφόρησεν ἡ χώρα τοῦ ἀνθρώπου μηδὲν ἀγαθὸν ἐκ τῆς εὐφορίας ποιήσειν μέλλοντος; Ἵνα μᾶλλον ἡ τοῦ Θεοῦ μακροθυμία φανῇ καὶ μέχρι τῶν τοιούτων **17** ἐκτεινομένης αὐτοῦ τῆς χρηστότητος· «βρέχει γὰρ ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηρούς καὶ ἀγαθούς»[4]. Ἡ δὲ τοιαύτη τοῦ Θεοῦ ἀγαθότης μείζονα συνάγει τοῖς πονηρευομένοις τὴν κόλασιν. Ἤνεγκε τοὺς ὄμβρους ἐπὶ τὴν ὑπὸ τῶν πλεονεκτικῶν χειρῶν γεωργουμένην γῆν· ἔδωκε τὸν ἥλιον ἐκθάλπειν τὰ σπέρματα καὶ πολυπλασιάζειν τοὺς καρποὺς διὰ τῆς εὐφορίας. Καὶ τὰ μὲν παρὰ Θεοῦ τοιαῦτα, γῆς ἐπιτηδειότης, ἀέρων **[264]** εὐκρατοι καταστάσεις, σπερμάτων ἀφθονίαι, βοῶν συνεργίαι, τὰ ἄλλα, οἷς

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Yves Courtonne, Saint Basile Homélies sur la richesse. Paris 1935 pp. 15-37.

1. Λουκ. 12,18. 2. Πρβλ. Σ. Σολ. 3,6. 3. Λουκ. 12,16-18. 4. Πρβλ. Ματθ. 5,45.

γεωργία πέφυκεν εὐθηνεῖσθαι· τὰ δὲ παρὰ τοῦ ἀνθρώπου οἷα; Τὸ πικρὸν τοῦ ἤθους, ἡ μισανθρωπία, τὸ δυσμετάδοτον. Ταῦτα τῷ εὐεργέτῃ ἀντεπεδείκνυτο. Οὐκ ἐμνήσθη τῆς κοινῆς φύσεως· οὐχ ἡγήσατο χρῆναι τὸ περιττεῦον τοῖς ἐνδεέσι καταμερίσαι· οὐκ ἔσχε τινὰ λόγον τῆς ἐντολῆς· «μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ»[1]· καί, «ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε»[2] καί, «διάθρυπτε πεινῶντι τὸν ἄρτον σου»[3]. Καὶ πάντες προφῆται καὶ πάντες διδάσκαλοι ἐμβοῶντες, οὐκ εἰσηκούοντο· ἀλλ' αἱ μὲν ἀποθῆκαι διερρήγνυντο τῷ πλήθει τῶν ἀποκειμένων στενοχωρούμεναι, ἡ δὲ φειδωλὸς καρδία οὐκ ἐνεπίμπλατο. Ἀεὶ γὰρ τὰ νέα τοῖς παλαιοῖς προστιθεὶς καὶ ταῖς κατ' ἔτος προσθήκαις τὴν εὐπορίαν προσαύξων, εἰς τὴν ἀδιέξοδον ταύτην ἀμηχανίαν ἐνέπεσεν, ὑποχωρεῖν μὲν τοῖς παλαιοῖς διὰ τὴν πλεονεξίαν μὴ συγχωρῶν, ὑποδέχεσθαι δὲ τὰ νέα διὰ τὸ πλῆθος, μὴ ἐξαρκῶν. Διὰ τοῦτο ἀνήνυτα μὲν αὐτῷ τὰ βουλεύματα, ἄποροι δὲ αἱ φροντίδες. Τί ποιήσω; Τίς οὐκ ἂν ἐλεήσειε τὸν οὕτω πολιορκούμενον; Δείλαιος τῆς εὐφορίας, ἐλεεινὸς τῶν παρόντων ἀγαθῶν, ἐλεεινότερος τῶν προσδοκωμένων. Μὴ γὰρ προσόδους αὐτῷ φέρει ἡ γῆ, στεναγμοὺς αὐτῷ φύει· μὴ γὰρ καρπῶν αὐτῷ εὐφορίαν συνάγει, φροντίδας καὶ λύπας καὶ ἀμηχανίαν δεινήν. Ὅμοια τοῖς πενομένοις ὀδύρεται. Ἢ οὐχὶ ταύτην ἀφήσει τὴν φωνὴν καὶ ὁ διὰ πτωχείαν στενοχωρούμενος; Τί ποιήσω; πόθεν τροφαί; **19** πόθεν ἐνδύματα; Ταῦτα καὶ ὁ πλούσιος φθέγγεται. Ὀδυνᾶται τὴν καρδίαν ὑπὸ τῆς μερίμνης διεσθιόμενος. Ὁ γὰρ τοὺς ἄλλους εὐφραίνει, τοῦτο τήκει τὸν πλεονέκτην. Οὐ γὰρ χαίρει πάντων αὐτῷ πεπληρωμένων τῶν ἔνδον, ἀλλὰ νύσσει τὴν ψυχὴν αὐτοῦ περιρρέων ὁ πλοῦτος καὶ τῶν ταμιείων ὑπερχεόμενος, μή που καὶ πρὸς τοὺς ἔξωθεν παρακύψας, ἀγαθοῦ τινος ἀφορμὴ τοῖς ἐνδέεσι γένηται.

2. Καί μοι δοκεῖ τὸ πάθος αὐτοῦ τῆς ψυχῆς τῷ τῶν γαστριμάργων προσεοικέναι· οἱ διαρραγῆναι μᾶλλον ὑπὸ λαιμαργίας αἱροῦνται, ἢ τῶν λειψάνων μεταδοῦναι τοῖς ἐνδεέσι. Σύνες, ἄνθρωπε, τοῦ δεδωκότος. Μνήσθητι σεαυτοῦ, τίς εἶ, τί οἰκονομεῖς, παρὰ τίνος ἔλαβες, διὰ τί τῶν πολλῶν προεκρίθης. Ἀγαθοῦ Θεοῦ γέγονας ὑπηρέτης, οἰκονόμος τῶν ὁμοδούλων· μὴ πάντα οἷου τῇ γαστρὶ τῇ σῇ παρεσκευάσθαι. Ὡς περὶ ἀλλοτρίων βουλεύου τῶν ἐν χερσί· μικρὸν εὐφραίνει σε χρόνον, εἶτα διαρρυέντα **[265]** οἰχήσεται, τὸν δὲ ἐπ' αὐτοῖς λόγον ἀπαιτηθήσῃ μετὰ ἀκριβείας. Σὺ δὲ πάντα ὁμοῦ θύραις καὶ μοχλοῖς ἐναποκλείσας ἔχεις· καὶ καταδήσας σφραγῖσιν, ἐπαγρυπνεῖς ταῖς μερίμναις καὶ βουλεύῃ κατὰ σαυτόν, ἄφρονι συμβούλῳ σεαυτῷ κεχρημένος. Τί ποιήσω; Ἕτοιμον ἦν εἰπεῖν, ὅτι ἐμπλήσω τὰς ψυχὰς τῶν πεινώντων, ἀνοίξω τὰς ἀποθήκας καὶ πάντας καλέσω τοὺς ἐνδεεῖς. Μιμήσομαι τὸν Ἰωσήφ[4] τῷ τῆς φιλανθρωπίας κηρύγματι, φθέγξομαι φωνὴν μεγαλόψυχον· ὅσοι ὑστερεῖσθαι ἄρτων, ἔλθετε πρός με· τῆς παρὰ

1. Παρμ. 3,27. 2. Ἔνθ. ἀν. 3. Ἡσ. 58,7. 4. Πρβλ. Γεν. 47,11.

Θεοῦ δεδομένης χάριτος τὸ ἀρκοῦν ἕκαστος, οἷον ἐκ κοινῶν πηγῶν, συμμεθέξοντες. Ἀλλ' οὐ τοιοῦτος σύ· πόθεν; Ὅς γε βασκαίνεις μὲν τοῖς ἀνθρώποις τῆς ἀπολαύσεως, πονηρὸν δὲ βουλευτήριον ἐν τῇ ψυχῇ συγκροτήσας, φροντίζεις οὐχ ὅπως διαδῷς ἑκάστῳ τὰ πρὸς τὴν χρείαν, ἀλλ' **21** ὅπως, πάντα ὑποδεξάμενος, πάντας τῆς ἀπ' αὐτῶν ὠφελείας ἀποστερήσῃς. Παρέστησαν οἱ τὴν ψυχὴν ἀπαιτοῦντες[1], κἀκεῖνος περὶ βρωμάτων τῇ ψυχῇ διελέγετο. «Ταύτῃ τῇ νυκτί»[2] παρελαμβάνετο καὶ εἰς ἔτη πολλὰ τὴν ἀπόλαυσιν ἐφαντάζετο. Συνεχωρήθη πάντα βουλεύσασθαι καὶ φανερὰν ἑαυτοῦ ποιῆσαι τὴν γνώμην, ἵνα ἀξίαν τῆς προαιρέσεως δέξηται τὴν ἀπόφασιν.

3. Ὁ μὴ πάθῃς σύ. Διὰ τοῦτο γὰρ γέγραπται, ἵνα φύγωμεν τὴν ὁμοίωσιν. Μίμησαι τὴν γῆν, ἄνθρωπε· καρποφόρησον ὡς ἐκείνη, μὴ χείρων φανῇς τῆς ἀψύχου. Ἐκείνη μὲν οὖν τοὺς καρποὺς οὐκ εἰς ἑαυτῆς ἀπόλαυσιν, ἀλλ' εἰς τὴν σὴν ὑπηρεσίαν ἐξέθρεψε· σὺ δὲ ὃν ἂν ἐπιδείξῃ τῆς εὐποιίας καρπόν, σεαυτῷ τοῦτον συνάγεις, διότι τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν. Ἔδωκας τῷ πεινῶντι καὶ σὸν γίνεται τὸ δοθὲν μετὰ προσθήκης ἐπανελθόν. Ὥσπερ γὰρ ὁ σῖτος, εἰς τὴν γῆν πεσών, κέρδος τῷ προεμένῳ γίνεται· οὕτως ὁ ἄρτος, εἰς τὸν πεινῶντα καταβληθείς, πολύχουν τὴν ὠφέλειαν εἰς ὕστερον ἀναδίδωσιν. Ἔστω οὖν σοι τὸ πέρας τῆς γεωργίας ἀρχὴ τῆς ἐπουρανίου σπορᾶς· «σπείρατε γάρ, φησίν, ἑαυτοῖς εἰς δικαιοσύνην»[3]. Τί οὖν ἀδημονεῖς, τί κόπτεις σεαυτόν, πηλῷ καὶ πλίνθοις τὸν πλοῦτον ἐναποκλεῖσαι φιλονεικῶν; «Κρεῖσσον ὄνομα καλὸν ὑπὲρ πλοῦτον πολύν»[4]. Εἰ δὲ θαυμάζεις τὰ χρήματα διὰ τὴν ἀπ' αὐτῶν τιμήν, σκόπει πόσῳ πρὸς δόξαν λυσιτελέστερον, μυρίων παίδων πατέρα προσαγορεύεσθαι, ἢ μυρίους ἔχειν στατῆρας ἐν βαλαντίῳ. Τὰ μέν γε χρήματα καταλείψεις ἐνταῦθα καὶ μὴ βουλόμενος· τὴν δὲ ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρὸς τὸν Δεσπότην, ὅταν δῆμος ὅλος, ἐπὶ τοῦ κοινοῦ κριτοῦ περιστάντες σε, τροφέα καὶ εὐεργέτην καὶ πάντα τὰ τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα. Οὐχ ὁρᾷς τοὺς ἐν τοῖς θεάτροις, **23** παγκρατιασταῖς καὶ μίμοις καὶ **[268]** θηριομάχοις τισὶν ἀνθρώποις, οὓς κἂν βδελύξαιτό τις προσιδεῖν, ὑπὲρ τῆς ἐν ὀλίγῳ τιμῆς καὶ τῶν παρὰ τοῦ δήμου θορύβων καὶ κρότων τὸν πλοῦτον προεμένους; Σὺ δὲ μικροπρεπὴς εἶ περὶ τὰς δαπάνας, τηλικαύτης μέλλων ἐπιβήσεσθαι δόξης; Θεὸς ἔσται ὁ ἀποδεχόμενος· ἄγγελοι εὐφημοῦντες· οἱ ἀπὸ κτίσεως ἄνθρωποι μακαρίζοντες· δόξα αἰώνιος, στέφανος δικαιοσύνης, βασιλεία τῶν οὐρανῶν, ἆθλά σοι ἔσται τῆς τῶν φθαρτῶν τούτων οἰκονομίας· ὧν οὐδενὸς τούτων φροντίζεις, τῇ περὶ τὰ παρόντα σπουδῇ τῶν ἐλπιζομένων ὑπερορῶν. Δεῦρο δὴ οὖν ποικίλων διάθου τὸν πλοῦτον, φιλότιμος καὶ λαμπρὸς περὶ τὰς δαπάνας τῶς

1. Πρβλ. Λουκ. 12,20. 2. Λουκ. 12,20. 3. Ὡσ. 10,12. 4. Πρβλ. Παρμ. 22,1.

δεομένων γενόμενος. Λεγέσθω καὶ περὶ σοῦ· «ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα»[1]. Μὴ βαρύτιμος ἔσο ταῖς χρείαις ἐπιτιθέμενος. Μὴ ἀνάμενε σιτοδείαν, ἵνα ἀνοίξῃς σιτοδοχεῖα· ὁ γὰρ τιμιουλκῶν σῖτον δημοκατάρατος[2]. Μὴ λιμὸν ἐκδέχου διὰ χρυσόν, μὴ κοινὴν ἔνδειαν δι' εὐπορίαν ἰδίαν. Μὴ γίνου κάπηλος συμφορῶν ἀνθρωπίνων· μὴ τὴν ὀργὴν τοῦ Θεοῦ καιρὸν ποιήσῃς περιουσίας χρημάτων. Μὴ ἐπιξάνῃς τραύματα κεκακωμένων ταῖς μάστιξι. Σὺ δὲ πρὸς μὲν τὸν χρυσὸν ἀποβλέπεις, τὸν δὲ ἀδελφὸν οὐ προσβλέπεις· καὶ τοῦ μὲν νομίσαντος ἐπιγινώσκεις τὸ χάραγμα καὶ τοῦ δοκίμου διακρίνεις τὸ κίβδηλον, τὸν δὲ ἀδελφὸν παρὰ τὴν χρείαν παντελῶς ἀγνοεῖς.

25 4. Καὶ ἡ μὲν εὔχροιά σε τοῦ χρυσοῦ ὑπερήδει· ὅσος δέ σοι ἀκολουθεῖ τοῦ ἐνδεοῦς ὁ στεναγμός, οὐ λογίζῃ. Πῶς σοι ὑπ' ὄψιν ἀγάγω τὰ πάθη τοῦ πένητος; Ἐκεῖνος, περισκεψάμενος τὰ ἔνδον, ὁρᾷ, ὅτι χρυσὸς μὲν αὐτῷ οὔτε ἐστίν, οὔτε γενήσεται πώποτε· σκεύη δὲ καὶ ἐσθῆς, τοιαῦτα, οἷα ἂν γένηται πτωχῶν κτήματα, ὀλίγων τὰ πάντα ὀβολῶν ἄξια. Τί οὖν; Ἐπὶ τοὺς παῖδας λοιπὸν ἄγει τὸν ὀφθαλμόν, ὥστε, αὐτοὺς ἀγαγὼν εἰς τὸ πρατήριον, ἐντεῦθεν εὑράσθαι τοῦ θανάτου παραμυθίαν. Νόησον ἐνταῦθα μάχην ἀνάγκης λιμοῦ καὶ διαθέσεως πατρικῆς. Ἡ μὲν τὸν οἰκτιστον θάνατον ἀπειλεῖ, ἡ δὲ φύσις ἀνθέλκει, συναποθανεῖν τοῖς τέκνοις πείθουσα· καὶ πολλάκις ὁρμήσας καὶ πολλάκις ἀνακοπείς, τελευταῖον ἐκρατήθη, ὑπὸ τῆς ἀναγκαίας καὶ ἀπαραιτήτου χρείας ἐκβιασθείς. Καὶ οἷα βουλεύεται ὁ πατήρ; Τίνα πρῶτον ἀπεμπολήσω; Τίνα δὲ ἡδέως ὁ σιτοπώλης ὄψεται; Ἐπὶ τὸν πρεσβύτατον ἔλθω; Ἀλλὰ δυσωποῦμαι αὐτοῦ τὰ πρεσβεῖα. Ἀλλὰ τὸν νεώτατον; Ἀλλ' ἐλεῶ αὐτοῦ τὴν ἡλικίαν ἀναισθητοῦσαν τῶν **[269]** συμφορῶν. Οὗτος ἐναργεῖς σῴζει τῶν γονέων τοὺς χαρακτῆρας· ἐκεῖνος ἐπιτηδείως ἔχει πρὸς τὰ μαθήματα. Φεῦ τῆς ἀμηχανίας! Τίς γένωμαι; Τίνι τούτων προσκρούσω; Ποίαν θηρίου ψυχὴν ἀναλάβω; Πῶς τῆς φύσεως ἐπιλάθωμαι; Ἐὰν πάντων ἀντίσχωμαι, πάντας ὄψομαι δαπανωμένους τῷ πάθει. Ἐὰν ἕνα προῶμαι, ποίοις ὀφθαλμοῖς τοὺς λειπομένους προσίδω, ὑποπτος αὐτοῖς ἤδη γεγενημένος εἰς ἀπιστίαν; Πῶς οἰκήσω τὴν οἰκίαν ἐμαυτῷ κατασκευάσας τὴν ἀπαιδίαν; Πῶς ἐπὶ τὴν τράπεζαν ἔλθω, ἐκ τοιαύτης προφάσεως τὴν εὐπορίαν ἔχουσαν; Καὶ ὁ μὲν μετὰ μυρίων δακρύων τὸν φίλτατον τῶν παίδων ἀπεμπολήσων ἔρχεται· σὲ δὲ οὐ κάμπτει τὸ πάθος, οὐ λογισμὸν λαμβάνεις τῆς φύσεως. Ἀλλ' ὁ μὲν λιμὸς συνέχει τὸν ἄθλιον, σὺ δὲ ἀναβάλλῃ καὶ εἰρωνεύῃ, μακροτέραν αὐτῷ κατασκευάζων τὴν συμφοράν. Καὶ ὁ μὲν τὰ σπλάγχνα προτείνεται τιμὴν τῶν τροφῶν, σοῦ δὲ οὐ μόνον οὐκ ἀπονάρκᾳ ἡ χεὶρ ἐκ τοιούτων συμφορῶν ὑποδεχομένη τιμήματα, ἀλλὰ καὶ ζυγομαχεῖς περὶ τοῦ πλείονος καὶ ὅπως ἂν πολὺ λαβὼν ἔλαττον

1. Ψαλ. 111,9. 2. Πρβλ. Παρμ. 11,26.

δῴης φιλονεικεῖς, πανταχόθεν βαρύνων τὴν συμφορὰν τῷ ἀθλίῳ. Οὐ δάκρυόν σοι ἐλεεινόν, οὐ στεναγμὸς καρδίαν μαλάσσει· ἀλλ' **27** ἄκαμπτος εἶ καὶ ἀμείλικτος. Πάντα χρυσὸν βλέπεις, χρυσὸν φαντάζῃ· τοῦτό σοι καὶ καθεύδοντι ἐνύπνιον καὶ ἐγρηγορότι ἐνθύμιον. Ὥσπερ γὰρ οἱ ὑπὸ μανίας παράφοροι οὐ τὰ πράγματα βλέπουσιν, ἀλλὰ τὰ ἐκ τοῦ πάθους φαντάζονται· οὕτω σοι ἡ ψυχή, τῇ φιλοχρηματίᾳ κατασχεθεῖσα, πάντα χρυσόν, πάντα ἄργυρον βλέπει. Ἥδιον ἂν ἴδοις τὸν χρυσὸν ἢ τὸν ἥλιον. Εὔχῃ τὰ πάντα πρὸς τὴν τοῦ χρυσοῦ φύσιν μεταβληθῆναι καὶ ἐπινοεῖς μέντοι καθ' ὅσον οἷόν τε.

5. Ποίαν γὰρ μηχανὴν διὰ χρυσὸν οὐ κινεῖς; Ὁ σῖτος χρυσός σοι γίνεται, ὁ οἶνος εἰς χρυσὸν μεταπήγνυται, τὰ ἔριά σοι ἀποχρυσοῦται· πᾶσα ἐμπορία, πᾶσα ἐπίνοια χρυσόν σοι προσάγει. Αὐτὸς ἑαυτὸν ὁ χρυσὸς ἀπογεννᾷ πολυπλασιαζόμενος ἐν δανεισμασι· καὶ κόρος οὐκ ἔστι καὶ τέλος τῆς ἐπιθυμίας οὐκ ἐξευρίσκεται. Τῶν μὲν γὰρ παίδων τοῖς λίχνοις ἀφειδῶς πολλάκις ἐνδίδομεν τῶν περισπουδάστων ὑπερεμπίμπλασθαι, ὥστε τῷ ὑπερβάλλοντι κόρῳ τὴν ἀποστροφὴν ἐμποιῆσαι· ὁ δὲ πλεονέκτης οὐχ οὕτως· ἀλλ' ὅσῳ πλειόνων ἐμφορεῖται, πλειόνων ἐφίεται. «Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν»[1]. **[272]** Σὺ δὲ κατέχεις τὸν παραρρέοντα καὶ περιφράσσεις τὰς διεξόδους. Εἶτα κατεχόμενος καὶ ἐνλιμνάζων, οἷα ποιεῖ σοι; Ῥήγνυσι τὰ κωλύματα, ἀμέλει καὶ νῦν βιαίως ἐναποληφθεὶς καὶ πλημμυρῶν, καθαιρεῖ τοῦ πλουσίου τὰς ἀποθήκας, ἐδαφίζει αὐτοῦ τὰ ταμιεῖα, ὥσπερ πολέμιός τις ἐπεισελθών. Ἀλλὰ μείζονας οἰκοδομήσει; Ἄδηλον εἰ μὴ καθῃρημένας παραδώσει τῷ μετ' αὐτόν. Ὀξύτερον γὰρ ἂν αὐτὸς ἀπέλθοι ἀνασπασθείς, ἢ ἐκεῖνα κατὰ τὴν πλεονεκτικὴν ἐπίνοιαν ἐγερθείη. Ἀλλ' ὁ μὲν **29** ἐχέτω τῶν κακῶν βουλευμάτων τὸ τέλος ἀκόλουθον· ὑμεῖς δέ, ἂν ἐμοὶ πείθησθε, πάσας θύρας ταμιείων ἀναπετάσαντες, ἀφθόνους παρέξετε τὰς διεξόδους τῷ πλούτῳ· ὥσπερ ποταμῷ μεγάλῳ πολύκαρπον γῆν δι' ὀχετῶν μυρίων ἐπερχομένῳ, οὕτως αὐτοί, τῷ πλούτῳ διδόντες διὰ ποικίλων ὁδῶν εἰς τὰς τῶν πενήτων οἰκίας κατασχίζεσθαι. Τὰ φρέατα ἐξαντλούμενα εὐροώτερα γίνεται· ἐναφιέμενα δέ, κατασήπεται· καὶ πλούτου τὸ μὲν στάσιμον ἄχρηστον, τὸ δὲ κινούμενον καὶ μεταβαῖνον κοινωφελές τε καὶ ἔγκαρπον. Ὦ πόσος μὲν ὁ παρὰ τῶν εὐεργετουμένων ἔπαινος, οὗ σὺ μὴ καταφρονήσῃς! πηλίκος δὲ ὁ παρὰ τοῦ δικαίου κριτοῦ μισθός, ᾧ σὺ μὴ ἀπιστήσῃς! Πανταχοῦ σοι τὸ ὑπόδειγμα τοῦ κατηγορουμένου πλουσίου προσαπαντάτω· ὅς, τὰ μὲν ἤδη παρόντα φυλάσσων, περὶ δὲ τῶν ἐλπιζομένων ἀγωνιῶν καὶ ἄδηλον ἔχων εἰ βιώσεται τὴν αὔριον, τὸ αὔριον σήμερον προημάρτανεν. Οὕπω ἦλθεν ὁ ἱκέτης καὶ προλαβὼν ἐδείκνυε τὴν ἀγριότητα· οὐ συνήγαγε τοὺς καρποὺς καὶ τῆς πλεονεξίας εἶχε ἤδη τὸ κρῖμα. Ἡ μὲν γῆ ἐδεξιοῦτο τοῖς ἐκφορίοις αὐτῆς· βαθὺ μὲν ἐν ταῖς ἀρούραις προδεικνῦ-

1. Ψαλ. 61,11.

σα τὸ λήιον· πολὺν δὲ τὸν βότρυν ὑπὲρ κλημάτων φαίνουσα· βρύουσαν δὲ τῷ καρπῷ τὴν ἐλαίαν παρεχομένη καὶ πᾶσαν ἐπαγγελλομένη τὴν ἐξ ἀκροδρύων τρυφήν· ὁ δὲ ἀδέξιος ἦν καὶ ἄκαρπος οὕπω ἔχων καὶ ἤδη βασκαίνων τοῖς δεομένοις. Καίτοι πόσοι κίνδυνοι πρὸ τῆς συγκομιδῆς τῶν καρπῶν! Καὶ γὰρ καὶ χάλαζα κατέκλασε καὶ καύσων ἐκ μέσων ἥρπασεν τῶν χειρῶν καὶ ὕδωρ, παρὰ καιρὸν ἐκ νεφῶν ἐπίρρυέν, ἠχρείωσε τοὺς καρπούς. Οὐ προσεύχῃ οὖν τῷ Κυρίῳ τελειωθῆναι τὴν χάριν; Ἀλλὰ προλαμβάνων, σεαυτὸν ἀνάξιον ποιεῖς τῆς ὑποδοχῆς τῶν δειχθέντων.

6. Καὶ σὺ μὲν ἐν τῷ κρυπτῷ λαλεῖς σεαυτῷ, τὰ δὲ ῥήματά σου ἐν **31** οὐρανῷ δοκιμάζεται. Διὰ τοῦτό σοι ἐκεῖθεν αἱ ἀποκρίσεις ἔρχονται. Τίνα δέ ἐστι **[273]** καὶ ἃ λέγεις; «ψυχή, ἔχεις πολλὰ ἀγαθὰ ἀποκείμενα· φάγε, πίε, εὐφραίνου καθ' ἡμέραν»[1]. Ὦ τῆς ἀλογίας! Εἰ δὲ χοιρείαν εἶχες ψυχήν, τί ἂν ἄλλο ἢ τοῦτο αὐτῇ εὐηγγελίσω; Οὕτω κτηνώδης εἶ, οὕτως ἀσύνετος τῶν τῆς ψυχῆς ἀγαθῶν, τοῖς τῆς σαρκὸς αὐτὴν βρώμασι δεξιούμενος· καὶ ὅσα ὁ ἀφεδρὼν ὑποδέχεται, ταῦτα τῇ ψυχῇ παραπέμπεις; Εἰ μὲν ἀρετὴν ἔχει, εἰ πλήρης ἐστὶν ἀγαθῶν ἔργων, εἰ Θεῷ προσῳκείωται, ἔχει πολλὰ ἀγαθὰ καὶ εὐφραινέσθω τὴν καλὴν τῆς ψυχῆς εὐφροσύνην. Ἐπεὶ δὲ τὰ ἐπίγεια φρονεῖς καὶ θεὸν ἔχεις τὴν κοιλίαν καὶ ὅλος σάρκινος εἶ, δεδουλωμένος τοῖς πάθεσιν, ἄκουε τῆς σοὶ πρεπούσης προσηγορίας, ἣν οὐδεὶς ἀνθρώπων ἔθετό σοι, ἀλλ' αὐτὸς ὁ Κύριος· «ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;»[2]. Μείζων τῆς αἰωνίου κολάσεως ὁ γέλως τῆς ἀβουλίας. Ὁ γὰρ μετ' ὀλίγον μέλλων ἀνάρπαστος ἄγεσθαι, οἷα βουλεύεται; «Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω»[3]· καλῶς σύ γε ποιῶν, φαίην ἂν ἔγωγε πρὸς αὐτόν. Ἄξια γὰρ καθαιρέσεως τὰ ταμιεῖα τῆς ἀδικίας. Κατάσκαπτε ταῖς ἑαυτοῦ χερσίν, ἃ κακῶς ᾠκοδόμησας. Λύε τὰ σιτοδοχεῖα, ὅθεν οὐδεὶς ἀπῆλθέ ποτε παραμυθίας τυχών. Ἀφάνισον πάντα οἶκον πλεονεξίας φύλακα, ἀποσκεύασον ὀρόφους, περίελε τοίχους, δεῖξον ἡλίῳ τὸν εὐρωτιῶντα σῖτον, ἐξάγαγε ἐκ φυλακῆς τὸν δέσμιον πλοῦτον, θριάμβευσον τὰ σκοτεινὰ τοῦ μαμμωνᾶ καταγώγια. Καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω. Ἐὰν δὲ καὶ ταύτας ἐμπλήσῃς, τί ποτε ἄρα διανοηθήσῃ; Ἢ που πάλιν καθαιρήσεις καὶ πάλιν οἰκοδομήσεις; Καὶ τί τούτων ἀνοητότερον, ἀπέραντα μοχθεῖν, οἰκοδομεῖν μετὰ σπουδῆς καὶ μετὰ σπουδῆς καθαιρεῖν; Ἔχεις ἀποθήκας, ἐὰν θέλῃς τὰς κοιλίας τῶν πενήτων. Θησαύρισον σεαυτῷ θησαυρὸν ἐν οὐρανῷ[4]. Τὰ ἐκεῖ ἀποτιθέμενα οὐ σῆτες καταβόσκονται, οὐ σηπεδὼν ἐπινέμεται, οὐ **33** λῃσταὶ διακλέπτουσιν[5]. Ἀλλὰ τότε μεταδώσω τοῖς δεομένοις ὅταν τὰς δευτέρας ἀποθήκας ἐμπλήσω. Μακροὺς σεαυτῷ τοὺς χρόνους τῆς ζωῆς

1. Πρβλ. Λουκ. 12,19. 2. Λουκ. 12,20. 3. Λουκ. 12,18. 4. Πρβλ. Ματθ. 6,20. 5. Ἔνθ' ἀν.

ἔπηξας. Σκόπει μή σε προλάβῃ ὁ κατὰ προθεσμίαν ἐπείγων. Καὶ γὰρ ἡ ἐπαγγελία οὐ χρηστότητός ἐστιν, ἀλλὰ πονηρίας ἀπόδειξις. Ἐπαγγέλλῃ γάρ, οὐχ ἵνα δῷς μετὰ ταῦτα, ἀλλ' ἵνα τὸ παρὸν διακρούσῃ. Ἐπεὶ νῦν τί τὸ κωλύον πρὸς τὴν μετάδοσιν; Οὐ πάρεστιν ὁ ἐνδεής; οὐχί πλήρεις αἱ ἀποθῆκαι; οὐχ ὁ μισθὸς ἕτοιμος; οὐχ ἡ ἐντολὴ τηλαυγής; Ὁ πεινῶν τήκε[276]ται· ὁ γυμνητεύων πήγνυται· ὁ ἀπαιτούμενος ἄγχεται· καὶ σὺ τὴν ἐλεημοσύνην εἰς τὴν αὔριον ἀναβάλλῃ; Ἄκουε Σολομῶντος· «Μὴ εἴπῃς· Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω»[1]· «οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα»[2]. Οἵων παραγγελμάτων ὑπερορᾷς, τῇ φιλαργυρίᾳ τὰ ὦτα προαποβύσας! Πόσην ἕδει σε χάριν ἔχειν τῷ εὐεργέτῃ καὶ φαιδρὸν εἶναι καὶ λαμπρύνεσθαι τῇ τιμῇ, ὅτι οὐκ αὐτὸς διοχλεῖς θύρας ἑτέρων, ἀλλὰ τὰς σὰς ἄλλοι καταλαμβάνουσι! Νῦν δὲ κατηφὴς εἶ καὶ δυσέντευκτος, ἐκκλίνων τὰς ἀπαντήσεις, μή πού τι καὶ μικρὸν ἀναγκασθῇς τῶν χειρῶν ἐκβαλεῖν. Μίαν οἶδας φωνήν· οὐκ ἔχω· οὐδὲ δώσω· πένης γάρ εἰμι. Πένης εἶ τῷ ὄντι καὶ ἐνδεὴς παντὸς ἀγαθοῦ· πένης ἀγάπης· πένης φιλανθρωπίας, πένης πίστεως εἰς Θεόν, πένης ἐλπίδος αἰωνίου. Συμμεριστὰς ποίησον τῶν σητῶν τοὺς ἀδελφούς· τὸ αὔριον σηπόμενον σήμερον μετάδος τῷ δεομένῳ. Πλεονεξίας εἶδος τὸ χαλεπώτατον, μηδὲ τῶν φθειρομένων μεταδιδόναι τοῖς ἐνδεέσι.

7. Τίνα, φησίν, ἀδικῶ συνέχων τὰ ἐμαυτοῦ; Ποῖα, εἰπέ μοι, σεαυτοῦ; **35** πόθεν λαβὼν εἰς τὸν βίον εἰσήνεγκας; Ὥσπερ ἂν εἴ τις, ἐν θεάτρῳ θέαν καταλαβών, εἶτα ἐξείργοι τοὺς ἐπεισιόντας, ἴδιον ἑαυτοῦ κρίνων τὸ κοινῶς πᾶσι κατὰ τὴν χρῆσιν προκείμενον, τοιοῦτοί εἰσι καὶ οἱ πλούσιοι. Τὰ γὰρ κοινὰ προκατασχόντες, ἴδια ποιοῦνται διὰ τὴν πρόληψιν. Ἐπεὶ εἰ τὸ πρὸς παραμυθίαν τῆς ἑαυτοῦ χρείας ἕκαστος κομιζόμενος, τὸ περιττὸν ἠφίει τῷ δεομένῳ, οὐδεὶς μὲν ἂν ἦν πλούσιος, οὐδεὶς δὲ πένης, οὐδεὶς ἐνδεής. Οὐχὶ γυμνὸς ἐξέπεσες τῆς γαστρός; οὐ γυμνὸς πάλιν εἰς τὴν γῆν ὑποστρέψεις; Τὰ δὲ παρόντα σοι πόθεν; Εἰ μὲν ἀπὸ ταυτομάτου λέγεις, ἄθεος εἶ, μὴ γνωρίζων τὸν κτίσαντα, μηδὲ χάριν ἔχων τῷ δεδωκότι· εἰ δὲ ὁμολογεῖς εἶναι παρὰ Θεοῦ, εἰπὲ τὸν λόγον ἡμῖν δι' ὃν ἔλαβες. Μὴ ἄδικος ὁ Θεός, ὁ ἀνίσως ἡμῖν διαιρῶν τὰ τοῦ βίου; Διὰ τί σὺ μὲν πλουτεῖς, ἐκεῖνος δὲ πένεται; Ἢ πάντως, ἵνα καὶ σὺ χρηστότητος καὶ πιστῆς οἰκονομίας μισθὸν ὑποδέξῃ κἀκεῖνος τοῖς μεγάλοις ἄθλοις τῆς ὑπομονῆς τιμηθῇ; Σὺ δέ, πάντα τοῖς ἀπληρώτοις τῆς πλεονεξίας κόλποις περιλαβών, οὐδένα οἴει ἀδικεῖν τοσούτους ἀποστερῶν; Τίς ἐστιν ὁ πλεονέκτης; Ὁ μὴ ἐμμένων τῇ αὐταρκείᾳ. Τίς δέ ἐστιν ὁ ἀποστερητής; Ὁ ἀφαιρούμενος τὰ ἑκάστου. Σὺ δὲ οὐ πλεονέκτης; σὺ δὲ οὐκ ἀποστερητής; ἃ πρὸς οἰκονομίαν ἐδέξω, ταῦτα ἴδια σεαυτοῦ ποιούμενος; Ἢ ὁ μὲν **[277]** ἐνδεδυμένον ἀπογυμνῶν λωποδύτης ὀνομασθή-

1. Παρμ. 3,28 2. Πρβλ. Παρμ. 27,1.

σεται· ὁ δὲ τὸν γυμνὸν μὴ ἐνδύων, δυνάμενος τοῦτο ποιεῖν, ἄλλης τινός ἐστι προσηγορίας ἄξιος; Τοῦ πεινῶντός ἐστιν ὁ ἄρτος, ὃν σὺ κατέχεις· τοῦ γυμνητεύοντος τὸ ἱμάτιον, ὃ σὺ φυλάσσεις ἐν ἀποθήκαις· τοῦ ἀνυποδέτου τὸ ὑπόδημα, ὃ παρὰ σοὶ κατασήπεται· τοῦ χρῄζοντος τὸ ἀργύριον, ὃ κατορύξας ἔχεις. Ὥστε τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἠδύνασο.

8. Καλοὶ μέν, φησίν, οἱ λόγοι, ἀλλὰ καλλίων ὁ χρυσός. Ὥσπερ οἱ τοῖς ἀκολάστοις περὶ σωφροσύνης διαλεγόμενοι. Καὶ γὰρ ἐκεῖνοι, διαβαλλομένης τῆς ἑταίρας, ἀπὸ τῆς ὑπομνήσεως πρὸς τὰς ἐπιθυμίας ἐκκαίονται. Πῶς σοι ὑπ' ὄψιν ἀγάγω τὰ πάθη τοῦ πένητος, ἵνα γνῷς ἀπὸ ποταπῶν στεναγμῶν σεαυτῷ θησαυρίζεις; Ὦ πόσου ἄξιόν σοι φανεῖται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τὸ ῥῆμα ἐκεῖνο· «δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με»[1]. Ποταπὴ δέ σοι φρίκη καὶ ἱδρὼς καὶ σκότος περιχυθήσεται, ἀκούοντι τῆς καταδίκης· «πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γάρ καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ οὐ περιεβάλετέ με»[2]. Οὐδὲ γὰρ ἐκεῖ ὁ ἅρπαξ ἐγκαλεῖται, ἀλλ' ὁ ἀκοινώνητος κατακρίνεται. Ἐγὼ μὲν εἶπον, ἃ συμφέρειν ἐνόμιζον, σοὶ δὲ πεισθέντι μὲν πρόδηλα τὰ ἐν ἐπαγγελίαις ἀποκείμενα ἀγαθά· παρακούσαντι δὲ γεγραμμένη ἐστὶν ἡ ἀπειλή, ἧς εὔχομαί σε τὴν πεῖραν διαφυγεῖν, βελτίονα γνώμην μεταλαβόντα, ἵνα λύτρον σοι γένηται ὁ ἴδιος πλοῦτος καὶ ἐφ' ἕτοιμα βαδίσῃς τὰ οὐράνια ἀγαθά· χάριτι τοῦ πάντας ἡμᾶς καλέσαντος εἰς τὴν ἑαυτοῦ βασιλείαν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Πρβλ. Ματθ. 25,34-36. 2. Ματθ. 25,41-43.

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΠΛΟΥΤΟΥΝΤΑΣ*

39 1. Εἴρηται καὶ πρώην ἡμῖν τὰ περὶ τοῦ νεανίσκου[1] τούτου καὶ μέμνηται πάντως ὅ γε φιλόπονος ἀκροατὴς τῶν ἐξητασμένων τότε· πρῶτον μέν, ὅτι οὐχ ὁ αὐτός ἐστι τῷ παρὰ τῷ Λουκᾷ νομικῷ[2]. Ὁ μὲν γὰρ πειραστὴς ἦν, εἰρωνικὰς τὰς ἐρωτήσεις ποιούμενος· οὗτος δέ, ὑγιῶς μὲν ἐρωτῶν, οὐκ εὐπειθῶς δὲ παραδεχόμενος. Οὐ γὰρ ἂν ἀπῆλθεν ἐπὶ ταῖς τοιαύταις ἀποκρίσεσι τοῦ Κυρίου λυπούμενος[3], εἰ κα-**[280]** ταφρονητικῶς αὐτῷ προσῆγε τὰς πεύσεις. Διόπερ οἱονεὶ μικτὸν αὐτοῦ τὸ ἦθος ἡμῖν ἀνεφαίνετο· πῇ μὲν ἐπαινετὸν δεικνύντος τοῦ λόγου, πῇ δὲ ἀθλιώτατον καὶ πάντῃ ἀπεγνωσμένον[4]. Τὸ μὲν γὰρ γνωρίσαι τὸν ἀληθῶς διδάσκαλον καὶ παρελθόντα τὴν Φαρισαίων ἀλαζονείαν καὶ νομικῶν οἰῆσιν καὶ γραμματέων ὄχλον, τὴν προσηγορίαν ταύτην, ἀναθεῖναι τῷ μόνῳ ἀληθινῷ καὶ ἀγαθῷ διδασκάλῳ, τοῦτο ἦν ὁ ἐπῃνεῖτο. Καὶ μέντοι τὸ φανῆναι φροντίδος ἄξιον ποιούμενον πῶς ἂν τῆς αἰωνίου κληρονομήσειε ζωῆς, ἀποδεκτὸν καὶ τοῦτο. Ἐκεῖνο δὴ λοιπὸν ἐλέγχει αὐτοῦ τὴν ὅλην προαίρεσιν, οὐ πρὸς τὸ ἀληθινῶς καλὸν ἀποβλέπουσαν, ἀλλὰ τὸ τοῖς πολλοῖς ἀρέσκον περισκοποῦσαν· τό, μαθόντα παρὰ τοῦ ἀληθινοῦ διδασκάλου μαθήματα σωτήρια, μὴ ἐγγράψαι τῇ ἑαυτοῦ καρδίᾳ, μηδὲ εἰς ἔργον ἀγαγεῖν τὰ διδάγματα, ἀλλ' ἀπελθεῖν ἀθυμοῦντα, τῷ πάθει τῆς φιλοπλουτίας ἐσκοτωμένον. Τοῦτο δὲ τὴν ἀνωμαλίαν τῶν τρόπων καὶ τὸ πρὸς ἑαυτὸν ἀσύμφωνον ἀπελέγχει. Διδάσκαλον λέγεις[5] καὶ τὰ μαθητῶν οὐ ποιεῖς; Ἀγαθὸν ὁμολογεῖς[6] καὶ τὰ διδόμενα παραπέμπῃ; Καίτοι ὅ γε ἀγαθὸς ἀγαθῶν ἐστι παρεκτικὸς δηλονότι. Καὶ ἐρωτᾷς μὲν περὶ τῆς αἰωνίου ζωῆς[7]· ἐλέγχῃ δὲ ὅλος τῇ ἀπολαύσει τοῦ παρόντος **41** βίου προσδεδεμένος. Τί δέ σοι χαλεπόν, ἢ βαρύ, ἢ ὑπέρογκον ῥῆμα ὁ διδάσκαλος προετείνατο; «Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς»[8]. Εἴ σοι προέβαλε πόνους γεωργικούς, ἢ τοὺς ἐξ ἐμπορίας κινδύνους, ἢ ὅσα ἄλλα τοῖς χρηματιζομένοις ἐπίπονα πρόσεστιν, ἔδει σε λυπηθῆναι δυσφοροῦντα τῷ ἐπιτάγματι· εἰ δὲ οὕτω διὰ ῥᾳδίας ὁδοῦ, οὐδένα πόνον ἐχούσης οὐδὲ ἱδρῶτα, ἐπαγγέλλεταί σε κληρονόμον τῆς αἰωνίου ζωῆς ἀποδείξειν, οὐ χαίρεις τῇ εὐκολίᾳ τῆς σωτηρίας, ἀλλ' ἀπέρχῃ ὀδυνώμενος τὴν ψυχὴν καὶ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Yves Courtonne, Saint Basile Homélies sur la richesse. Paris 1935 pp. 39-71.

1. Πρβλ. Ματθ. 19,16-26. 2. Πρβλ. Λουκ. 10,25-37. 3. Πρβλ. Ματθ. 19,22. 4. Πρβλ. Ματθ. 19,23,26. 5. Πρβλ. Ματθ. 19,16. 6. Πρβλ. Ἔνθ' ἀν. 7. Πρβλ. Ἔνθ' ἀν. 8. Ματθ. 19,21.

πενθῶν καὶ ποιεῖς σεαυτῷ ἄχρηστα πάντα ὅσα σοι προπεπόνηται. Εἰ γὰρ οὐκ ἐφόνευσας, ὡς σὺ φῄς, οὔτε ἐμοίχευσας, οὔτε ἔκλεψας, οὔτε κατεμαρτύρησάς τινος μαρτυρίαν ψευδῆ[1], ἀνόνητον σεαυτῷ ποιεῖς, τὴν περὶ ταῦτα σπουδήν, μὴ προστιθεὶς τὸ λεῖπον, δι' οὗ μόνου **[281]** δυνήσῃ εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Καὶ εἰ μὲν ἰατρὸς ἐπηγγέλλετο κολοβώματα μελῶν ἐκ φύσεως ἢ ἐξ ἀρρωστίας προσόντα σοι διορθώσασθαι, οὐκ ἂν ηὐθύμεις ἀκούων; ἐπειδὴ δὲ ὁ μέγας τῶν ψυχῶν ἰατρὸς τέλειόν σε ποιῆσαι βούλεται τοῖς καιριωτάτοις ἐλλείποντα, οὐ δέχῃ τὴν χάριν, ἀλλὰ πενθεῖς καὶ σκυθρωπάζεις; Ἐκείνης μὲν γὰρ δῆλος εἶ τῆς ἐντολῆς μακρὰν ὑπάρχων καὶ ψευδῶς σεαυτῷ προσμαρτυρήσας αὐτήν, ὅτι ἠγάπησας τὸν πλησίον σου ὡς σεαυτόν[2]. Ἰδοὺ γὰρ τὸ παρὰ τοῦ Κυρίου προσταχθὲν ἐλέγχει σε παμπληθὲς τῆς ἀληθινῆς ἀγάπης ἀπολειπόμενον. Εἰ γὰρ ὅπερ διεβεβαιώσω ἀληθὲς ἦν, ὅτι ἐφύλαξας ἐκ νεότητος τὴν ἐντολὴν τῆς ἀγάπης καὶ τοσοῦτον ἀπέδωκας ἑκάστῳ ὅσον καὶ σεαυτῷ, πόθεν σοι ἡ τῶν χρημάτων αὕτη περιουσία; Δαπανητικὸν γὰρ πλούτου ἡ θεραπεία τῶν δεομένων· ὀλίγα μὲν ἑκάστου πρὸς τὴν ἀναγκαίαν ἐπιμέλειαν δεχομένου, πάντων δὲ ὁμοῦ καταμεριζομένων τὰ ὄντα καὶ περὶ αὐτοὺς δαπανώντων. Ὥστε ὁ ἀγαπῶν τὸν πλησίον ὡς ἑαυτὸν οὐδὲν περισσότερον κέκτηται τοῦ πλησίον· ἀλλὰ μὴν φαίνῃ ἔχων κτήματα πολλά. Πόθεν ταῦτα; ἢ δῆλον, ὅτι τὴν οἰκείαν ἀπόλαυσιν προτιμοτέραν τῆς τῶν πολλῶν παραμυθίας ποιούμενος. Ὅσον οὖν πλεονάζεις τῷ πλούτῳ, τοσοῦτον ἐλλείπεις τῇ ἀγάπῃ. Ἐπεὶ πάλαι ἂν ἐμελέτησας τῶν χρημάτων τὴν ἀλλοτρίωσιν, εἰ ἠγαπήκεις σου τὸν πλησίον. Νυνὶ δὲ **43** προσπέφυκέ σοι τὰ χρήματα πλέον ἢ τὰ μέλη τοῦ σώματος καὶ λυπεῖ σε αὐτῶν ὁ χωρισμὸς ὡς ἀκρωτηριασμὸς τῶν καιρίων. Εἰ γὰρ ἠμφίεσας γυμνόν, εἰ ἔδωκας πεινῶντι τὸν ἄρτον σου, εἰ ἡ θύρα σου ἀνέῳκτο παντὶ ξένῳ, εἰ ἐγένου πατὴρ ὀρφανῶν, εἰ παντὶ συνέπασχες ἀδυνάτῳ, ὑπὲρ ποίων ἂν νῦν ἐλυπήθης χρημάτων; Ποῦ δ' ἂν καὶ ἐδυσχέρανας ἀποτιθέμενος τὰ λειπόμενα, πάλαι μελετήσας αὐτὰ διανέμειν τοῖς ἐνδεέσιν; Εἶτα, ἐν μὲν πανηγύρει οὐδεὶς λυπεῖται προϊέμενος τὰ παρόντα καὶ ἀντικτώμενος τὰ ἐνδέοντα· ἀλλ' ὅσῳπερ ἂν ἐλάττονος τιμῆς τὰ πολυτίμητα πρίηται, τοσούτῳ χαίρει, ὡς λαμπροῦ αὐτῷ τοῦ συναλλάγματος γενομένου· σὺ δὲ λυπῇ, χρυσίον καὶ ἀργύριον καὶ κτήματα διδούς, τουτέστι, λίθους καὶ χοῦν παρεχόμενος, ἵνα κτήσῃ τὴν μακαρίαν ζωήν.

[284] 2. Ἀλλὰ τί χρήσῃ τῷ πλούτῳ; Ἐσθῆτι πολυτιμήτῳ περιβαλεῖς σεαυτόν; Οὐκοῦν δύο μέν σοι πηχῶν χιτωνίσκος ἀρκέσει, ἑνὸς δὲ ἱματίου περιβολὴ πᾶσαν τῶν ἐνδυμάτων ἐκπληρώσει τὴν χρείαν. Ἀλλ' εἰς τροφὴν καταχρήσῃ τῷ πλούτῳ; Εἷς ἄρτος ἱκανὸς ἀποπληρῶσαι γαστέρα. Τί οὖν λυπῇ; ὡς τίνος στερούμενος; δόξης τῆς ἀπὸ τοῦ

1. Ματθ. 19,20. 2. Πρβλ. Ματθ. 19,18-20.

πλούτου; Ἀλλ' ἐὰν μὴ χαμαὶ ζητήσῃς τὴν δόξαν, εὑρήσεις τὴν ἀληθινὴν ἐκείνην καὶ λαμπρὰν προάγουσάν σε ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ἀλλ' αὐτὸ τὸ ἔχειν τὸν **45** πλοῦτον ἀγαπητόν ἐστι, κἂν μηδὲν ἀπ' αὐτοῦ περιγίνεται ὄφελος. Ὅτι μὲν οὖν ἀνόνητός ἐστιν ἡ τῶν ἀχρήστων σπουδή, παντὶ γνώριμον. Πλὴν ἀλλὰ παράδοξον ἴσως φανεῖταί σοι ὃ μέλλω λέγειν· παντὸς δέ ἐστιν ἀληθέστερον. Σκορπιζόμενος ὁ πλοῦτος, καθ' ὃν ὁ Κύριος ὑποτίθεται τρόπον, πέφυκε παραμένειν· συνεχόμενος δέ, ἀλλοτριοῦσθαι. Ἐὰν φυλάσσῃς, οὐχ ἕξεις· ἐὰν σκορπίσῃς, οὐκ ἀπολεῖς· «ἐσκόρπισε» γάρ, «ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα»[1]. Ἀλλ' οὐ γὰρ ἱματίων ἕνεκεν οὐδὲ τροφῶν ὁ πλοῦτος ἐστι τοῖς πολλοῖς περισπούδαστος, ἀλλά τις ἐπινενόηται μεθοδεία τῷ διαβόλῳ, μυρίας τοῖς πλουσίοις δαπάνης ἀφορμὰς ὑποβάλλουσα, ὥστε τὰ περιττὰ καὶ ἄχρηστα ὡς ἀναγκαῖα σπουδάζεσθαι, μηδὲν δὲ αὐτοῖς ἐξαρκεῖν πρὸς τὴν ἀναλωμάτων ἐπίνοιαν. Καταμερίζουσι γὰρ τὸν πλοῦτον πρός τε τὴν παροῦσαν χρείαν καὶ πρὸς τὴν μέλλουσαν· καὶ τὸν μὲν ἑαυτοῖς, τὸν δὲ παισὶν ἀποτίθενται. Εἶτα καὶ διαιροῦσι τὸν αὐτὸν εἰς ἀφορμὰς δαπάνης ποικίλης. Οἷαι γὰρ αὐτῶν αἱ διατάξεις, ἄκουσον. Ἔστω, φησίν, ὁ μὲν ἐν χρήσει πλοῦτος, ὁ δὲ ἀπόθετος· καὶ ὁ ταῖς χρείαις ὑπηρετούμενος ὑπερβαινέτω τῶν ἀναγκαίων τὸν ὅρον· οὗτος πρὸς τὰς κατ' οἶκον πολυτελείας παρέστω, ἐκεῖνος πρὸς τὰς ἔξωθεν φαντασίας ὑπηρετείτω· ὁ μὲν ὁδοιποροῦντι χορηγείτω τὴν πολυτέλειαν, ὁ δὲ ἐφ' ἑστίας μένοντι λαμπρὸν καὶ περίβλεπτον κατασκευαζέτω τὸν βίον· ὥστε μοι θαυμάζειν ἔπεισι τῶν περιττῶν τὴν ἐπίνοιαν. Ὀχήματά ἐστι μυρία, τὰ μὲν σκευαγωγοῦντα, τὰ δὲ αὐτοὺς περιφέροντα, χαλκῷ καὶ ἀργύρῳ κεκα**[285]**λυμμένα. Ἵπποι παμπληθεῖς καὶ οὗτοι γενεαλογούμενοι ἀπὸ εὐγενείας πατέρων, ὥσπερ οἱ ἄνθρωποι. Οἱ μὲν τρυφῶντας αὐτοὺς κατὰ τὴν πόλιν περιφέρουσιν· ἄλλοι συνθηρεύουσιν, ἄλλοι πρὸς ὁδοιπορίαν ἐξησκημένοι. Χαλινοὶ καὶ ζῶναι καὶ περιδέραια, πάντα ἀργυρᾶ, πάντα χρυσόπαστα. Τάπητες ἀλουργοί, κοσμοῦντες τοὺς ἵππους ὥσπερ νυμφίους· ἡμιόνων πλῆθος, κατὰ χρόαν διῃρημένων· ἡνίοχοι **47** τούτων, ἀλλήλων διάδοχοι, οἱ προτρέχοντες, οἱ παρεπόμενοι. Τῶν ἄλλων οἰκετῶν ἀριθμὸς ἄπειρος πρὸς πᾶσαν αὐτοῖς πολυτέλειαν ἐξαρκῶν· ἐπίτροποι, ταμίαι, γεωργοί, παντοδαπῆς ἔμπειροι τέχνης, τῆς τε ἀναγκαίας καὶ τῆς πρὸς ἀπόλαυσιν καὶ τρυφὴν εὑρημένης· μάγειροι, σιτοποιοί, οἰνοχόοι, θηρευταί, πλάσται, ζωγράφοι, ἡδονῆς παντοίας δημιουργοί. Ἀγέλαι καμήλων, τῶν μὲν ἀχθοφόρων, τῶν δὲ νομάδων, ἵππων ἀγέλαι, βουκόλια, ποίμνια, συφόρβια, οἱ τούτων νομεῖς, γῆ ἡ πᾶσι τούτοις πρὸς τροφὴν ἐξαρκοῦσα καὶ ἔτι ταῖς προσόδοις τὸν πλοῦτον αὔξουσα· λουτρὰ ἐν πόλει· λουτρὰ κατ' ἀγρούς· οἶκοι παντοδαποῖς μαρμάροις περιλαμπόμενοι, ὁ μὲν Φρυγίου λίθου, ἄλλος Λακωνικῆς ἢ Θεσσαλικῆς πλακός· καὶ τούτων οἱ μὲν ἐν

1. Ψαλ. 111,9.

χειμῶνι θάλποντες, οἱ δὲ ἀναψύχοντες ἐν τῷ θέρει. Ἔδαφος ταῖς ψηφῖσι διηνθισμένον, χρυσὸς ὑπαλείφων τὸν ὄροφον. Ὅσον δὲ τῶν τοίχων διαφεύγει τὴν πλάκα, τοῖς τῆς γραφικῆς ἄνθεσι καλλωπίζεται.

3. Ἐπειδὰν δὲ εἰς μυρία διασπώμενος ὁ πλοῦτος ἔτι περιττεύῃ, κατὰ γῆς ὠθεῖται καὶ ἐν ἀπορρήτοις φυλάσσεται. Ἄδηλον γὰρ τὸ μέλλον, μήπου τινὲς ἡμᾶς ἀδόκητοι καταλάβωσι χρεῖαι. Ἄδηλον μὲν οὖν, εἰ ἤξεις πρὸς τὴν χρείαν τοῦ κατορωρυγμένου χρυσίου· οὐκ ἄδηλος δὲ ἡ ζημία τῆς ἀπανθρωπίας τῶν τρόπων. Ὅτε γὰρ οὐκ ἠδυνήθης ταῖς μυρίαις ἐπινοίας ἐκδαπανῆσαι τὸν πλοῦτον, τότε αὐτὸν εἰς τὴν γῆν ἀπεκρύψω. Μανία δεινή, ἕως μὲν ἐν μετάλλοις ἦν ὁ χρυσός, ἀνερευνᾶν τὴν γῆν· ὅτε δὲ φανερὸς ἐγένετο, πάλιν αὐτὸν ἐν τῇ γῇ ἀφανίζειν. Εἶτα, οἶμαι, συμβαίνει σοι κατορύσσοντι τὸν πλοῦτον συγκατορύσσειν καὶ τὴν καρδίαν· «ὅπου γὰρ ὁ θησαυ**49**ρός σου, φησίν, ἐκεῖ καὶ ἡ καρδία»[1]. Διὰ τοῦτο λυποῦσιν αἱ ἐντολαί· ἀβίωτον γὰρ ἑαυτοῖς τὸν βίον τίθενται, μὴ ταῖς ἀνωφελέσι δαπάναις ἐνασχολούμενοι. Καί μοι δοκεῖ τὸ πάθος τοῦ νεανίσκου, ἢ καὶ τῶν παραπλησίων αὐτῷ, παρόμοιον εἶναι, ὥσπερ ἂν εἴ τις ὁδοιπόρος ἐπιθυμίᾳ πόλεώς τινος συντόνως τὴν μέχρις αὐτῆς ὁδὸν διανύσας, εἶτα αὐτοῦ που περὶ τὰ πρὸ τῶν τειχῶν καταλύσειε πανδοχεῖα, ὄκνῳ μικρᾶς κινήσεως τόν τε προϋπάρξαντα πόνον ἀχρειῶν, καὶ τῆς ἱστορίας τῶν ἐν τῇ πόλει καλῶν ἑαυτὸν ἀποκλείων. Τοιοῦτοί εἰσιν οἱ τὰ μὲν ἄλλα ποιεῖν καταδεχόμενοι, ἀντιβαίνοντες δὲ πρὸς τὴν τῶν ὑπαρχόντων ἀπόθεσιν. **[288]** Οἶδα πολλοὺς νηστεύοντας, προσευχομένους, στενάζοντας, πᾶσαν τὴν ἀδάπανον εὐλάβειαν ἐνδεικνυμένους, ὀβολὸν δὲ ἕνα μὴ προϊεμένους τοῖς θλιβομένοις. Τί ὄφελος τούτοις τῆς λοιπῆς ἀρετῆς; Οὐ γὰρ παραδέχεται αὐτοὺς ἡ βασιλεία τῶν οὐρανῶν· διότι· «εὐκοπώτερον, φησί, κάμηλον διὰ τρυμαλιᾶς, ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[2]. Ἀλλ' ἡ μὲν ἀπόφασις οὕτω ἐναργὴς καὶ ὁ εἰπὼν ἀψευδής· οἱ δὲ πειθόμενοι σπάνιοι. Καὶ πῶς βιωσόμεθα πάντα ἀποκτησάμενοι; φησί· τί δὲ τὸ σχῆμα τοῦ βίου ἔσται, πάντων πωλούντων καὶ πάντων ἀποκτωμένων; Μὴ ἐρώτα με διάνοιαν δεσποτικῶν προσταγμάτων. Οἶδεν ὁ νομοθετήσας καὶ τὸ δυνατὸν συναρμόσαι τῷ νόμῳ. Σοῦ δὲ ὥσπερ ἐπὶ τρυτάνης δοκιμάζεται ἡ καρδία, πότερον πρὸς τὴν ζωὴν τὴν ἀληθινὴν ἢ πρὸς τὴν παροῦσαν ἀπόλαυσιν καταρρέπει. Οἰκονομικὴν τοῦ πλούτου τὴν χρῆσιν, ἀλλ' οὐκ ἀπολαυστικὴν τοὺς σωφρόνως λογιζομένους νομίζειν προσῆκε· καὶ ἀποτιθεμένους, χαίρειν ὡς ἀλλοτρίων χωριζομένους, ἀλλ' οὐχὶ δυσχεραίνειν ὡς τῶν οἰκείων ἐκπίπτοντας. Τί οὖν λυπῇ; τί καταπενθεῖς τῇ ψυχῇ, ἀκούων· πώλησόν σου τὰ ὑπάρχοντα; Εἰ μὲν γὰρ ἠκολούθει σοι πρὸς τὸ μέλλον, οὐδὲ οὕτως ἂν ἦν περισπούδαστα, ὑπὸ τῶν ἐκεῖ τιμίων ἐπισκοτούμενα· εἰ δὲ ἀνάγκη μένειν ἐνταῦθα, τί μὴ πωλήσαντες, τὸ ἀπ' αὐτῶν κέρδος ἀπενεγκώμεθα; Σὺ δέ, χρυσὸν μὲν

1. Ματθ. 6,21. 2. Πρβλ. Μάρκ. 10,25.

διδοὺς καὶ ἵππον κτώμενος, οὐκ ἀθυμεῖς· φθαρτὰ δὲ προϊέμενος καὶ βασιλείαν οὐρανῶν ἀντιλαμ51βάνων, δακρύεις, ἀρνῇ τὸν αἰτοῦντα καὶ ἀνανεύεις τὴν δόσιν, μυρίαις προφάσεις ἀναλωμάτων ἐπινοῶν.

4. Τί ἀποκριθήσῃ τῷ κριτῇ ὁ τοὺς τοίχους ἀμφιεννύς, ἄνθρωπον οὐκ ἐνδύεις; ὁ τοὺς ἵππους κοσμῶν, τὸν ἀδελφὸν ἀσχημονοῦντα περιορᾷς; ὁ κατασήπων τὸν σῖτον, τοὺς πεινῶντας οὐ τρέφεις; ὁ τὸν χρυσὸν κατορύσσων, τοῦ ἀγχομένου καταφρονεῖς; Ἐὰν δὲ δὴ καὶ γυνὴ φιλόπλουτος συνοικῇ, διπλάσιον ἡ νόσος· τάς τε γὰρ τρυφὰς ἀναφλέγει· καὶ τὰς φιληδονίας συναύξει καὶ κέντρα ταῖς περιέργοις ἐπιθυμίαις ἐνίησι, λίθους τινὰς ἐπινοοῦσα, μαργαρίτας **[289]** καὶ σμαράγδους καὶ ὑακίνθους καὶ χρυσόν, τὸν μὲν χαλκεύουσα, τὸν δὲ ἐξυφαίνουσα καὶ διὰ πάσης ἀπειροκαλίας τὴν νόσον αὔξουσα. Οὐ γὰρ ἐκ παρέργου ἡ περὶ ταῦτα σπουδή, ἀλλὰ καὶ νύκτες καὶ ἡμέραι τὰς περὶ τούτων μερίμνας ἔχουσι. Καὶ μυρίοι τινὲς κόλακες, ταῖς ἐπιθυμίαις αὐτῶν ὑποτρέχοντες, συνάγουσι τοὺς ἀνθοβαφεῖς, τοὺς χρυσοχόους, τοὺς μυρεψούς, τοὺς ὑφάντας, τοὺς ποικιλτάς. Οὐδένα χρόνον ἀναπνεῖν δίδωσι τῷ ἀνδρὶ ἐκ τῶν συνεχῶν αὐτῆς ἐπιταγμάτων. Οὐδεὶς ἐξαρκεῖ πλοῦτος ταῖς γυναικείαις ἐπιθυμίαις ὑπηρετούμενος, οὐδ' ἂν ἐκ ποταμῶν ἐπιρρέῃ· ὅταν σπουδάζηται μὲν παρ' αὐταῖς τὰ βαρβαρικὸν μύρον, ὡς τὸ ἐξ ἀγορᾶς ἔλαιον, τὰ δὲ ἐκ θαλάττης ἄνθη, ἡ κόχλος, ἡ πίννα, ὑπὲρ τὸ ἐκ τῶν προβάτων ἔριον. Χρυσὸς δέ, περισφίγγων τοὺς βαρυτίμους τῶν λίθων, ὁ μέν τις αὐταῖς προμετωπίδιος γίνεται κόσμος, ὁ δὲ περιαυχένιος· καὶ ἄλλος ἐν ζώναις καὶ ἄλλος τὰς χεῖρας δεσμεῖ καὶ τοὺς πόδας. Χαίρουσι γὰρ αἱ φιλόχρυσοι δεδεμέναι ταῖς χειροπέδαις, μόνον ἐὰν χρυσὸς ὁ δεσμῶν αὐτὰς ᾖ. Πότε οὖν ψυχῆς ἐπιμελήσεται ὁ γυναικείαις ἐπιθυμίαις ὑπηρετούμενος; Ὥσπερ γὰρ τὰ ὑπόσαθρα τῶν πλοίων καταιγίδες καὶ ζάλαι, οὕτως αἱ πονηραὶ τῶν γυναικῶν διαθέσεις τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταβαπτίζουσι. Πρὸς τοσαῦτα δὴ οὖν διελκόμενος ὁ πλοῦτος ὑπὸ ἀνδρὸς καὶ γυναικός, ἀλλήλους νικώντων ταῖς ἐφευρέσεσι τῶν ματαίων, εἰκότως οὐδένα καιρὸν ἔχει πρὸς τοὺς ἔξωθεν παρακύπτειν. **53** Ἀλλ' ἐὰν μὲν ἀκούσῃς· «πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς»[1], ἵνα ἔχῃς ἐφόδια πρὸς τὴν αἰωνίαν ἀπόλαυσιν, ἀπέρχῃ λυπούμενος· ἐὰν δὲ ἀκούσῃς· δὸς χρήματα γυναιξὶ χλιδώσαις, δὸς λιθοξόοις, τέκτοσι, ψηφοθέταις, ζωγράφοις, χαίρεις ὡς δή τι χρημάτων τιμιώτερον κατακτώμενος. Οὐχ ὁρᾷς τοὺς τοίχους τούτους τοὺς ὑπὸ τοῦ χρόνου καταρρυέντας, ὧν τὰ λείψανα, ὥσπερ σκόπελοί τινες, διὰ τῆς πόλεως πάσης ἀνέχουσι; Πόσοι ἦσαν κατὰ τὴν πόλιν πένητες, τούτων ἐγειρομένων, οἳ διὰ τὴν περὶ ταῦτα σπουδὴν ὑπὸ τῶν τότε πλουσίων παρεωρῶντο; Ποῦ τοίνυν ἡ λαμπρὰ τῶν ἔργων κατασκευή; ποῦ δὲ ὁ ἐπὶ τῇ τούτων μεγαλουργίᾳ ζηλούμενος; Οὐ τὰ μὲν συγκέχυται καὶ ἠφάνισται, ὥσπερ τὰ κατὰ παιδιὰν ἐν ταῖς ψάμ-

1. Ματθ. 19,21.

μοις ὑπὸ τῶν παίδων φιλοτεχνούμενα, ὁ δὲ ἐν τῷ ᾄδῃ κεῖται, ἐπὶ τῇ σπουδῇ τῶν ματαίων μεταμελόμενος; Μεγάλην ἔχε τὴν ψυχήν· τοῖχοι δὲ καὶ μικροὶ καὶ μείζους τὴν αὐτὴν χρείαν πληροῦσιν. Ὅταν παρέλθω εἰς οἰκίαν ἀνδρὸς ἀπειροκάλου καὶ ὀψιπλούτου καὶ ἴδω αὐτὴν παντοίοις **[292]** γεγανωμένην ἄνθεσιν, οἶδα, ὅτι οὗτος οὐδὲν τῶν ὁρωμένων τιμιώτερον κέκτηται, ἀλλὰ τὰ μὲν ἄψυχα καλλωπίζει, τὴν δὲ ψυχὴν ἀκόσμητον ἔχει. Ποίαν, εἰπέ μοι, χρείαν περισσοτέραν παρέχουσιν ἀργυραῖ κλῖναι καὶ τράπεζαι ἀργυραῖ, ἐλεφάντιναι στιβάδες, καὶ ἐλεφάντινοι δίφροι, ὥστε τὸν πλοῦτον διὰ ταῦτα μὴ διαβαίνειν πρὸς τοὺς πτωχούς, καίτοι μυρίοι ἐφεστᾶσι τῇ θύρᾳ, πᾶσαν ἐλεεινὴν ἀφιέντες φωνήν; Σὺ δὲ ἀρνῇ τὴν δόσιν, ἀδύνατον εἶναι λέγων ἐπαρκεῖν τοῖς αἰτοῦσι. Καὶ τῇ μὲν γλώσσῃ ἐξόμνυσαι, ὑπὸ δὲ τῆς χειρὸς διαλέγχῃ· σιωπῶσα γάρ σου ἡ χεὶρ τὴν ψευδολογίαν κηρύσσει, περιαστραπτομένη ὑπὸ τῆς ἐπὶ τοῦ δακτυλίου σφενδόνης. Πόσους δύναται εἷς σου δακτύλιος χρεῶν ἀπολῦσαι; πόσους οἴκους καταπίπτοντας ἀνορθῶσαι; Μία σου κιβωτὸς τῶν ἱματίων δύναται δῆμον ὅλον ῥιγῶντα περιβαλεῖν ἀλλ' ὑπομένεις ἄπρακτον ἀποπέμψαι τὸν πένητα, οὐ φοβούμενος τὸ δίκαιον τῆς ἀνταποδόσεως τοῦ κριτοῦ. Οὐκ ἠλέησας, οὐκ ἐλεηθήσῃ· οὐκ ἤνοιξας τὴν οἰκίαν, ἀποπεμφθήσῃ τῆς βασιλείας· οὐκ ἔδωκας τὸν ἄρτον οὐ λήψῃ τὴν αἰώνιον ζωήν.

55 5. Ἀλλὰ πένητα λέγεις σαυτόν· κἀγὼ συντίθεμαι. Πένης γάρ ἐστιν ὁ πολλῶν ἐνδεής. Πολλῶν δὲ ὑμᾶς ἐνδεεῖς ποιεῖ τὸ τῆς ἐπιθυμίας ἀκόρεστον. Τοῖς δέκα ταλάντοις δέκα ἕτερα προστιθέναι σπουδάζεις· ἐπειδὰν εἴκοσι γένηται, ἄλλα τοσαῦτα ἐπιζητεῖς καὶ ἀεί σοι τὸ προστιθέμενον, οὐχὶ τὴν ὁρμὴν ἵστησιν, ἀλλ' ἀναφλέγει τὴν ὄρεξιν. Ὥσπερ γὰρ τοῖς μεθύουσιν ἀφορμὴ τοῦ πίνειν ἡ προσθήκη τοῦ οἴνου γίνεται, οὕτω καὶ οἱ νεόπλουτοι, πολλὰ κτησάμενοι πλειόνων ἐπιθυμοῦσι, τῷ ἀεὶ προστιθεμένῳ τὴν νόσον τρέφοντες καὶ περιτρέπεται αὐτοῖς ἡ σπουδὴ πρὸς τὸ ἐναντίον. Οὐ γὰρ εὐφραίνει αὐτοὺς τὰ παρόντα τοσαῦτα ὄντα, ὅσον λυπεῖ τὰ ἐνδέοντα, ἅπερ ἂν αὐτοῖς ἐλλείπειν ὑπόθωνται· ὥστε ἀεὶ τὴν ψυχὴν αὐτοῖς ταῖς μερίμναις ἐκτίκεσθαι, πρὸς τὸ ὑπερβάλλον τὴν ἄμιλλαν ποιουμένοις. Δέον γὰρ εὐφραίνεσθαι καὶ χάριν ἔχειν, τοσούτων ὄντας εὐπορωτέρους· οἱ δὲ δυσφοροῦσι καὶ ὀδυνῶνται, ὅτι ἑνός που ἢ δευτέρου τῶν ὑπερπλουτούντων ἀπολιμπάνονται. Ὅταν τοῦτον τὸν πλούσιον καταλάβωσιν, εὐθὺς τῷ πλουσιωτέρῳ παρισωθῆναι φιλονεικοῦσι· κἂν ἐπ' ἐκεῖνον φθάσωσιν, ἐπὶ τὸν ἄλλον τὴν σπουδὴν μεταφέρουσιν. Ὥσπερ γὰρ οἱ τὰς κλίμακας ἀναβαίνοντες, ἀεὶ πρὸς τὴν ὑπερκειμένην βαθμίδα τὸ ἴχνος αἴροντες, οὐ πρότερον ἵστανται πρὶν ἂν τῆς ἄκρας ἐφίκωνται· οὕτω καὶ οὗτοι οὐ παύονται τῆς κατὰ τὴν δυναστείαν ὁρμῆς, ἕως ἂν **[293]** ὑψωθέντες, ἀπὸ μετεώρου τοῦ πτώματος ἑαυτοὺς καταρράξωσι. Τὴν σελευκίδα τὸ ὄρνεον ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων ἀκόρεστον εἶναι ὁ κτίστης τῶν ὅλων ἐμηχανήσατο· σὺ δὲ ἐπὶ βλάβῃ τῶν πολλῶν ἀκόρεστον τὴν

σεαυτοῦ ψυχὴν κατεσκεύασας. **57** Ὅσα βλέπει ὁ ὀφθαλμός, τοσούτων ἐπιθυμεῖ ὁ πλεονέκτης· «οὐ πλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν»[1]· καὶ οὐ κορεσθήσεται φιλάργυρος τοῦ λαμβάνειν. Ὁ ᾅδης οὐκ εἶπεν· ἀρκεῖ, οὐδὲ ὁ πλεονέκτης εἶπέ ποτε· ἀρκεῖ[2]. Πότε χρήσῃ τοῖς παροῦσι; πότε ἀπολαύσεις αὐτῶν, ἀεὶ τοῖς πόνοις τῆς κτήσεως συνεχόμενος; «Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι»[3]. Σὺ δὲ τί ποιεῖς; Οὐ προφασίζῃ μυρία, ἵνα λάβῃς τὰ τοῦ πλησίον; Ἐπισκοτεῖ μοι, φησίν, ἡ τοῦ γείτονος οἰκία, θορύβους ἐνίησιν, ἢ τὸ πλανώμενον ὑποδέχεται, ἢ ὅτι ἂν τύχῃ αἰτιασάμενος, περιελαύνων καὶ ἐξωθῶν καὶ ἕλκων ἀεὶ καὶ σπαράσσων, οὐ πρότερον παύεται, πρὶν ἂν ἐπαγάγῃ αὐτοῖς ἀνάγκην μεταναστάσεως. Τί τὸν Ναβουθαὶ τὸν Ἰεζραηλίτην ἀπέκτεινεν[4]; Οὐχ ἡ τοῦ Ἀχαὰβ ἐπιθυμία τοῦ ἀμπελῶνος; Πονηρὸς ἐν πόλει σύνοικος, πονηρὸς ἐν ἀγροῖς, ὁ πλεονέκτης. Ἡ θάλασσα οἶδε τὰ ὅρια αὐτῆς· ἡ νὺξ οὐχ ὑπερβαίνει ὁροθεσίας ἀρχαίας. Ὁ δὲ πλεονέκτης οὐκ αἰδεῖται χρόνον, οὐ γνωρίζει ὅρον, οὐ συγχωρεῖ ἀκολουθίᾳ διαδοχῆς, ἀλλὰ μιμεῖται τοῦ πυρὸς τὴν βίαν· πάντα ἐπιλαμβάνει, πάντα ἐπινέμεται. Καὶ ὥσπερ οἱ ποταμοί, ἐκ μικρᾶς τῆς πρώτης ἀρχῆς ὁρμηθέντες, εἶτα ταῖς κατ' ὀλίγον προσθήκαις ἀνυπόστατον λαβόντες τὴν αὔξησιν, τῷ βιαίῳ τῆς φορᾶς τὸ ἐνιστάμενον παρασύρουσιν, οὕτω καὶ οἱ ἐπὶ μέγα τῆς δυνάμεως προελθόντες, ἐκ τῶν ἤδη καταδυναστευθέντων τὴν τοῦ πλείονας ἀδικεῖν δύναμιν προσλαμβάνοντες, τοῖς προηδικημένοις τοὺς λειπομένους καταδουλοῦνται καὶ γίνεται αὐτοῖς δυνάμεως αὔξησις ἡ περιουσία τῆς πονηρίας. Οἱ γὰρ προπεπονθότες κακῶς, ἠναγκασμένην αὐτοῖς παρεχόμενοι τὴν βοήθειαν, τὰς καθ' ἑτέρων βλάβας καὶ ἀδικίας συνεκπονοῦσι. Ποῖος γὰρ γείτων, ποῖος σύνοικος, τίς συναλλάκτης οὐ παρασύρεται; Οὐδὲν ὑφίσταται τὴν βίαν τοῦ πλούτου· πάντα ὑποκύπτει τῇ τυραννίδι, πάντα ὑποπτήσσει τὴν δυναστείαν, πλείονα λόγον ἑκάστου τῶν ἠδικημένων ἔχοντος μὴ **59** προσπαθεῖν τι κακόν, ἢ δίκην λαβεῖν ὑπὲρ τῶν φθασάντων. Ἐπάγει τὰ ζεύγη τῶν βοῶν, ἀροτριᾷ, κατασπείρει, θερίζει τὰ μὴ προσήκοντα. Ἐὰν ἀντείπῃς, αἱ πληγαί· ἐὰν ὀδύρῃ, ὕβρεων γραφαί, ἀγώγιμος εἶ, **[296]** οἰκήσεις τὸ δεσμωτήριον, οἱ συκοφάνται εὐτρεπεῖς, εἰς τὸν ὑπὲρ τοῦ ζῆν κίνδυνον καθιστῶντες. Ἀγαπήσεις καὶ ἄλλο τι προσδοὺς, ἀπηλλάχθαι πραγμάτων.

6. Ἐβουλόμην σε μικρὸν ἀναπνεῦσαι τῶν ἔργων τῆς ἀδικίας καὶ δοῦναι σχολὴν τοῖς σεαυτοῦ λογισμοῖς, ὥστε ἐνθυμηθῆναι πρὸς ὁποῖον πέρας ἡ σπουδὴ τῶν γινομένων συντέταται. Ἔχεις γῆς ἀροσίμου πλέθρα τόσα καὶ τόσα, γῆς πεφυτευμένης τοσαῦτα ἕτερα, ὄρη, πεδία, νάπας, ποταμούς, λιβάδας. Τί οὖν μετὰ ταῦτα; Οὐχὶ τρεῖς σε

1. Ἐκκλ. 1,8. 2. Πρβλ. Παρμ. 27,20. 30,16. 3. Ἡσ. 5,8. 4. Γ' Βασ. κεφ. 20.

πήχεις ἀναμένουσιν οἱ πάντες; Οὐχὶ λίθων ὀλίγων βάρος ἀρκέσει πρὸς φυλακὴν τῇ δυστήνῳ σαρκί; Ὑπὲρ τίνος μοχθεῖς; ὑπὲρ τίνος παρανομεῖς; Τί συνάλεις χερσὶν ἀκαρπίαν; Εἴθε ἀκαρπίαν καὶ μὴ ὕλην τῷ αἰωνίῳ πυρί! Οὐ νήψεις ποτὲ ἀπὸ τῆς μέθης ταύτης; Οὐχ ὑγιανεῖς τοὺς λογισμούς; Οὐ σεαυτοῦ γενήσῃ; Οὐ πρὸ ὀφθαλμῶν λήψῃ τὸ τοῦ Χριστοῦ δικαστήριον; Τί ἀπολογήσῃ, ἐπειδάν σε κύκλῳ περιστάντες οἱ ἠδικημένοι καταβοῶσί σου ἐπὶ τοῦ δικαίου κριτοῦ; Τί οὖν ποιήσεις; ποίους συνηγόρους μισθώσῃ; ποίους μάρτυρας παραστήσῃς; πῶς παραπείσεις τὸν ἀπαραλόγιστον δικαστήν; Οὐκ ἔνι ῥήτωρ ἐκεῖ· οὐκ ἔνι πιθανότης ῥημάτων, κλέψαι δυναμένη τοῦ δικαστοῦ τὴν ἀλήθειαν· οὐκ ἀκολουθοῦσιν οἱ κόλακες, οὐ τὰ χρήματα, οὐκ ὁ ὄγκος τοῦ ἀξιώματος· ἔρημος φίλων, ἔρημος βοηθῶν, ἀσυνηγόρητος, ἀναπολόγητος, κατησχυμ**61**μένος παραληφθήσῃ, σκυθρωπός, κατηφής, μεμονωμένος, ἀπαρρησίαστος. Ὅπου γὰρ ἂν περιαγάγῃς τὸν ὀφθαλμόν, ἐναργεῖς ὄψει τῶν κακῶν τὰς εἰκόνας· ἔνθεν τοῦ ὀρφανοῦ τὰ δάκρυα, ἐκεῖθεν τῆς χήρας τὸν στεναγμόν, ἐτέρωθεν τοὺς κατακονδυλισθέντας ὑπὸ σοῦ πένητας· τοὺς οἰκέτας, οὓς κατέξαινες· τοὺς γείτονας, οὓς παρώργιζες· πάντα σοι ἐπαναστήσεται· πονηρὸς χορὸς τῶν κακῶν σου πράξεων περιστοιχίσεταί σε. Ὥσπερ γὰρ ἡ σκιὰ τῷ σώματι, οὕτω ταῖς ψυχαῖς αἱ ἁμαρτίαι παρέπονται, ἐναργῶς τὰς πράξεις ἐξεικονίζουσαι. Διὰ τοῦτο οὐκ ἔστιν ἄρνησις ἐκεῖ, ἀλλ' ἐμφράσσεται στόμα καὶ τὸ ἀναίσχυντον. Αὐτὰ γὰρ ἑκάστου καταμαρτυρεῖ τὰ πράγματα, οὐ φωνὴν ἀφιέντα, ἀλλὰ τοιαῦτα φαινόμενα οἷα ὑφ' ἡμῶν κατεσκεύασται. Πῶς σοι δυνηθῶ ὑπ' ὄψιν ἀγαγεῖν τὰ φρικτά; Ἐὰν ἄρα ἀκούσῃς, ἐὰν ἄρα ἐνδῷς, μνήσθητι τῆς ἡμέρας ἐκείνης ἐν ᾗ «ἀποκαλύπτεται ὀργὴ ἀπ' οὐρανοῦ»[1]. Μνήσθητι τῆς ἐνδόξου τοῦ Χριστοῦ παρουσίας, ὅτε ἀναστήσονται, «οἱ μὲν τὰ ἀγαθὰ πράξαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα εἰς ἀνάστασιν κρίσεως»[2]. Τότε αἰσχύνη αἰώνιος τοῖς ἁμαρτωλοῖς· «καὶ πυρὸς ζῆλος **[277]** ἐσθίειν μέλλων τοὺς ὑπεναντίους»[3]. Ἐκεῖνα λυπείτω σε καὶ μὴ λυπείτω ἡ ἐντολή. Πῶς δυσωπήσω; τί φθέξομαι; Βασιλείας οὐκ ἐπιθυμεῖς; γέενναν οὐ φοβῇ; πόθεν εὑρεθῇ ἴασις τῇ ψυχῇ σου; Εἰ γὰρ τὰ φρικτὰ οὐ πτοεῖ, τὰ φαιδρὰ οὐ προτρέπεται, λιθίνη καρδία διαλεγόμεθα.

7. Διάβλεψον, ἄνθρωπε, πρὸς τὴν φύσιν τοῦ πλούτου. Τί τοσοῦτον **63** ἐπτόησαι περὶ τὸν χρυσόν; Λίθος ἐστὶν ὁ χρυσός, λίθος ὁ ἄργυρος, λίθος ὁ μαργαρίτης, λίθος τῶν λίθων ἕκαστος· χρυσόλιθον καὶ βηρύλλιον καὶ ἀχάτης καὶ ὑάκινθος καὶ ἀμέθυσος καὶ ἴασπις. Ταῦτα δὴ τοῦ πλούτου τὰ ἄνθη· ὧν σὺ τὰ μὲν ἀποτίθεσαι κατακρύπτων καὶ τοὺς διαφανεῖς τῶν λίθων σκότῳ κατακαλύπτων· τοὺς δὲ περιφέρεις, τῶν βαρυτίμων ἐναβρυνόμενος αὐτῶν τῇ αὐγῇ. Εἰπέ, τί ὄφελός σοι λίθοις λαμπομένην περιστρέφειν τὴν χεῖρα; Οὐκ ἐρυθριᾷς λιθιδίων κισσῶν ὡς

1. Ρωμ. 1,18. 2. Ἰω. 5,29. 3. Ἑβρ. 10,27.

αἱ γυναῖκες, ὅταν κύωσι; Καὶ γὰρ ἐκεῖναι λιθίδια περιτρώγουσι καὶ σὺ λίχνως ἔχεις περὶ τὰ ἄνθη τῶν λίθων, σαρδόνυχας καὶ ἰάσπιδας καὶ ἀμεθύσους ἐπιζητῶν. Τίς καλλωπιστὴς μίαν ἡμέραν ἠδυνήθη τῷ βίῳ προσθεῖναι; τίνος ἐφείσατο θάνατος διὰ τὸν πλοῦτον; τίνος ἀπέσχετο νόσος διὰ τὰ χρήματα; Ἕως πότε χρυσὸς, τῶν ψυχῶν ἡ ἀγχόνη, τὸ τοῦ θανάτου ἄγκιστρον, τὸ τῆς ἁμαρτίας δέλεαρ; Ἕως πότε πλοῦτος, ἡ τοῦ πολέμου ὑπόθεσις, δι' ὃν χαλκεύεται ὅπλα, δι' ὃν ἀκονᾶται ξίφη; Διὰ τοῦτον συγγενεῖς ἀγνοοῦσι τὴν φύσιν, ἀδελφοὶ κατ' ἀλλήλων φονικὸν βλέπουσι· διὰ τὸν πλοῦτον αἱ ἐρημίαι τοὺς φονευτὰς τρέφουσιν, ἡ θάλασσα τοὺς καταποντιστάς, αἱ πόλεις τοὺς συκοφάντας. Τίς ἐστιν ὁ ψεύδους πατήρ; τίς ὁ πλαστογραφίας δημιουργός; τίς ὁ τὴν ἐπιορκίαν γεννήσας; Οὐχ ὁ πλοῦτος; οὐχ ἡ περὶ τοῦτον σπουδή; Τί πάσχετε, ἄνθρωποι; τίς ὑμῖν τὰ ὑμέτερα εἰς τὴν καθ' ὑμῶν ἐπιβουλὴν περιέτρεψε; Συνεργία πρὸς τὸ ζῆν. Μὴ γὰρ ἐφόδια κακῶν ἐδόθη τὰ χρήματα; Λύτρον ψυχῆς. Μὴ γὰρ ἀφορμὴ ἀπωλείας; Ἀλλ' ἀναγκαῖος ὁ πλοῦτος διὰ τοὺς παῖδας. Εὐπρόσωπος ἀφορμὴ πλεονεξίας αὕτη· τοὺς γὰρ παῖδας προβάλλεσθε, τὴν δὲ καρδίαν πληροφορεῖτε. Μὴ αἰτιῶ τὸν ἀναίτιον· ἴδιον ἔχει δεσπότην, ἴδιον οἰκονόμον· παρ' ἄλλου τὴν ζωὴν ἐδέξατο, παρ' αὐτοῦ τὰς ἀφορμὰς ἀναμένει τοῦ βίου. Μὴ τοῖς γεγαμηκόσιν οὐκ ἐγράφη τὰ Εὐαγγέλια· «εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς»[1]; Ὅτε ἤτεις παρὰ τοῦ Κυρίου τὴν εὐπαιδίαν, ὅτε ἠξίους γενέσθαι τέκνων πατήρ, ἆρα προσέθηκας τοῦτο· δός μοι τέκνα, **65** ἵνα παρακούσω τῶν ἐντολῶν σου; δός μοι τέκνα, ἵνα μὴ φθάσω **[300]** εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; Τίς δὲ καὶ ἐγγυητὴς ἔσται τῆς τοῦ παιδὸς προαιρέσεως, ὅτι εἰς δέον χρήσεται τοῖς δοθεῖσι; Πολλοῖς γὰρ ὁ πλοῦτος ὑπηρέτης ἀκολασίας ἐγένετο. Ἢ οὐκ ἀκούεις τοῦ Ἐκκλησιαστοῦ λέγοντος· «εἶδον ἀρρωστίαν δεινήν, πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ εἰς κακίαν αὐτῷ»[2]; καὶ πάλιν, ὅτι· «ἀφίω ἐγὼ αὐτὸν τῷ ἀνθρώπῳ τῷ μετ' ἐμέ. Καὶ τίς οἶδεν εἰ σοφὸς ἔσται ἢ ἄφρων;»[3]. Ὅρα δὴ οὖν μή, μετὰ μυρίων πόνων τὸν πλοῦτον ἀθροίσας, ὕλην ἁμαρτημάτων ἑτέροις παρασκευάσῃς, εἶτα εὑρεθῇς διπλᾶ τιμωρούμενος, ὧν τε αὐτὸς ἠδίκησας καὶ ὧν ἕτερον ἐφωδίασας. Μὴ οὐχὶ παντὸς τέκνου οἰκειοτέρα σοῦ ἐστιν ἡ ψυχή; Μὴ οὐχὶ πάντων μᾶλλον εἰς οἰκειότητα προσεγγίζει; Πρώτη αὐτῇ ἀπόδος τὰ πρεσβεῖα τῆς κληρονομίας, πλουσίας αὐτῇ παράσχου τὰς ἀφορμὰς τῆς ζωῆς· καὶ τότε τοῖς παισὶ διαιρήσεις τὸν βίον. Οἱ μέν γε παῖδες παρὰ γονέων μὴ διαδεξάμενοι, ἑαυτοῖς πολλάκις οἴκους ἐποίησαν· ἡ ψυχὴ δέ, παρὰ σοῦ ἐγκαταλειφθεῖσα, παρὰ τίνος ἐλεηθήσεται;

8. Εἴρηται πρὸς τοὺς πατέρας ἃ εἴρηται· οἱ ἄτεκνοι τίνα ἡμῖν εὐπρόσωπον αἰτίαν τῆς φειδωλίας προβάλλονται; Οὐ πωλῶ τὰ ὑπάρχοντα, οὐδὲ δίδωμι τοῖς πτωχοῖς, διὰ τὰς ἀναγκαίας τοῦ βίου χρείας.

---

1. Ματθ. 19,21. 2. Πρβλ. Ἐκκλ. 5,13. 3. Ἐκκλ. 2,18-19.

Οὐκοῦν οὐχ ὁ Κύριός σου διδάσκαλος, οὐδὲ τὸ Εὐαγγέλιον ῥυθμίζει σου τὸν βίον, ἀλλ' αὐτὸς σὺ νομοθετεῖς σεαυτῷ. Βλέπε δὲ εἰς οἷον κίνδυνον ἐμπίπτεις οὕτω διανοούμενος. Εἰ γὰρ ὁ μὲν Κύριος ὡς ἀναγκαῖα ἡμῖν διετάξατο, σὺ δὲ ὡς ἀδύνατα παραγράφῃ, οὐδὲν ἕτερον ἢ φρονιμώτερον σεαυτὸν εἶναι λέγεις **67** τοῦ νομοθέτου. Ἀλλ' ἀπολαύσας αὐτῶν παρὰ πᾶσάν μου τὴν ζωήν, μετὰ τὴν τελευτὴν τοῦ βίου διαδόχους ποιήσομαι τῶν ἐμοὶ προσόντων τοὺς πένητας, γράμμασι καὶ διαθήκαις κυρίους αὐτοὺς τῶν ἐμῶν ἀποδείξας. Ὅτε οὐκέτι ἔσῃ ἐν ἀνθρώποις, τότε γενήσῃ φιλάνθρωπος· ὅταν νεκρόν σε ἴδω, τότε σε εἴπω φιλάδελφον. Πολλή σοι χάρις τῆς φιλοτιμίας, ὅτι ἐν τῷ μνήματι κείμενος καὶ εἰς γῆν διαλυθείς, ἁδρὸς γέγο**[301]**νας ταῖς δαπάναις καὶ μεγαλόψυχος. Ποίων, εἰπέ μοι, καιρῶν τοὺς μισθοὺς ἀπαιτήσεις, τῶν ἐν τῇ ζωῇ ἢ τῶν μετὰ τὴν ἀποβίωσιν; Ἀλλ' ὃν μὲν ἔζης χρόνον, καθηδυπαθῶν τοῦ βίου καὶ τῇ τρυφῇ διαρρέων, οὐδὲ προσβλέπειν ἠνείχου τοὺς πένητας· ἀποθανόντος δὲ ποία μὲν πρᾶξις; ποῖος δὲ μισθὸς ἐργασίας ὀφείλεται; Δεῖξον τὰ ἔργα καὶ ἀπαίτει τὰς ἀνταποδόσεις. Οὐδεὶς μετὰ τὸ λυθῆναι τὴν πανήγυριν πραγματεύεται· οὐδὲ μετὰ τοὺς ἀγῶνας ἐπελθὼν στεφανοῦται· οὐδὲ μετὰ τοὺς πολέμους ἀνδραγαθίζεται. Οὐ τοίνυν οὐδὲ μετὰ τὴν ζωὴν ἔστιν εὐσεβεῖν δηλονότι. Ἐν μέλανι καὶ γράμμασι κατεπαγγέλλῃ τὰς εὐποιίας. Τίς οὖν ἀναγγελεῖ σοι τὸν καιρὸν τῆς ἐξόδου; τίς ἐγγυητὴς ἔσται τοῦ τρόπου τῆς τελευτῆς; Πόσοι ὑπὸ βιαίων ἀνηρπάσθησαν συμπτωμάτων, οὐδὲ φωνὴν ῥῆξαι συγχωρηθέντες ὑπὸ τοῦ πάθους; Πόσους πυρετὸς ἐποίησεν ἔκφρονας; Τί οὖν ἀναμένεις καιρόν, ἐν ᾧ πολλάκις οὐδὲ τῶν λογισμῶν τῶν σεαυτοῦ ἔσῃ κύριος; Νὺξ βαθεῖα καὶ νόσος βαρεῖα καὶ ὁ βοηθῶν οὐδαμοῦ· καὶ ὁ ἐφεδρεύων τῷ κλήρῳ ἕτοιμος, πάντα πρὸς τὸ ἑαυτοῦ χρήσιμον διοικούμενος, ἄπρακτά σοι ποιῶν τὰ βουλεύματα. Εἶτα περιβλεψάμενος ὧδε καὶ ὧδε καὶ ἰδὼν τὴν περιεστῶσάν σε ἐρημίαν, τότε αἰσθήσῃ τῆς ἀβουλίας· τότε στενάξεις τὴν ἄνοιαν, εἰς οἷον καιρὸν ἐταμιεύου τὴν ἐντολήν, ὅτε ἡ μὲν γλῶσσα παρεῖται, ἡ δὲ χεὶρ ὑπότρομος ἤδη κλονουμένη ταῖς συνολκαῖς, ὡς μήτε φωνῇ μήτε γράμμασι διασημάναι τὴν γνώμην. Καίτοι εἰ καὶ πάντα φανερῶς ἐγέγραπτο καὶ πᾶσα φωνὴ διαρρήδην κεκήρυκτο, ἓν γράμμα παρεντεθὲν ἱκανὸν ἦν πᾶσαν **69** μεταποιῆσαι τὴν γνώμην· μία σφραγὶς παραποιηθεῖσα, δύο ἢ τρεῖς μάρτυρες ἄδικοι, ὅλον ἂν τὸν κλῆρον ἐφ' ἑτέρους μετήνεγκαν.

9. Τί οὖν σεαυτὸν ἐξαπατᾷς, νῦν μὲν κακῶς εἰς ἀπόλαυσιν σαρκὸς τὸν πλοῦτον διατιθέμενος, ἐπαγγελλόμενος δὲ εἰς ὕστερον ὢν οὐκέτι ἔσῃ κύριος; Ὡς ὁ λόγος ἔδειξε, πονηρὰ ἡ βουλή· ζῶν μέν, ἀπολαύσω τῶν ἡδονῶν· ἀποθανὼν δέ, πράξω τὰ διατεταγμένα. Ἐρεῖ καὶ σοὶ Ἀβραάμ· «ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου»[1]. Οὐ δέχεταί σε ἡ στενὴ καὶ τεθλιμμένη ὁδός, τὸν ὄγκον τοῦ πλούτου

1. Λουκ. 16,25.

μὴ ἀποτιθέμενον. Βαστάζων αὐτὸν ἐξῆλθες· μὴ γὰρ ἀπέρριψας, ὡς προσετάχθης. Ὅτε ἔζης, σεαυτὸν τῆς ἐντολῆς προετίθης· μετὰ τὸν θάνατον καὶ τὴν διάλυσιν, τότε τὴν ἐντολὴν τῶν ἐχθρῶν προετίμησας. Ἵνα γὰρ μὴ λάβῃ ὁ δεῖνα, λαβέτω, φησίν, ὁ Κύριος. Καὶ τοῦτο τί εἴπωμεν, ἐχθρῶν ἄμυναν, ἢ τοῦ πλησίον ἀγάπην; Ἀνάγνωθί σου τὰς διαθήκας. Ἐβουλόμην μὲν **[304]** ζῆν καὶ ἀπολαύειν τῶν ἐμαυτοῦ. Τῷ θανάτῳ χάρις, οὐ σοί. Εἰ γὰρ ἦς ἀθάνατος, οὐκ ἂν ἐμνήσθης τῶν ἐντολῶν· «Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται»[1]. Νεκρὸν εἰς θυσιαστήριον οὐκ ἀνάγεται· ζῶσαν προσένεγκε τὴν θυσίαν. Ὁ ἐκ τοῦ περισσεύματος προσφέρων ἀπρόσδεκτος. Σὺ δὲ ἃ μετὰ πᾶσαν τὴν ζωὴν ἐπερίσσευσε, ταῦτα προσφέρεις τῷ εὐεργέτῃ. Εἰ οὐ τολμᾷς ἐκ τῶν λειψάνων τῆς τραπέζης δεξιώσασθαι τοὺς ἐνδόξους, πῶς οὖν τολμᾷς τὸν Θεὸν ἐκ τῶν λειψάνων ἐξιλεοῦσθαι; Ἴδετε τὸ τέλος τῆς φιλοχρηματίας οἱ πλούσιοι καὶ παύσασθε ἐμπαθῶς πρὸς τὰ χρήματα διακείμενοι. Ὅσῳ φιλόπλουτος εἶ, τοσούτῳ μᾶλλον μηδὲν ὑπολείπῃ τῶν προσόντων σοι. Πάντα σεαυτοῦ ποίησαι, πάντα ἐπικόμισαι, μὴ καταλίπῃς ἀλλοτρίοις τὸν πλοῦτον. Τάχα σε οὐδὲ περιστελοῦσιν οἱ οἰκέται τῷ τελευταίῳ κόσμῳ, ἀλλ' ἀφοσιώσονται τὴν ταφήν, τοῖς κληρονόμοις λοιπὸν προσχωρήσαντες κατὰ τὴν εὔνοιαν. **71** Ἡ που καὶ καταφιλοσοφήσουσί σου τότε· ἀπειροκαλία, φησί, καλλωπίζειν νεκρὸν καὶ πολυτελῶς ἐκκομίζειν τὸν οὐκέτι αἰσθανόμενον. Τί δὲ οὐ βέλτιον τοὺς περιόντας κοσμεῖσθαι τῇ πολυτελεῖ καὶ ἐνδόξῳ περιβολῇ, ἢ συγκατασήπειν τῷ νεκρῷ τὰ πολυτίμητα τῆς ἐσθῆτος; Τί δὲ μνήματος ἐπισήμου καὶ ταφῆς πολυτελοῦς καὶ δαπάνης ἀκερδοῦς ὄφελος; Δέον εἰς τὰ κατὰ τὸν βίον ἀναγκαῖα χρήσασθαι τοῖς περιοῦσι. Τοιαῦτα ἐροῦσι καὶ σὲ τῆς βαρύτητος ἀμυνόμενοι καὶ τοῖς διαδεξαμένοις τὰ σὰ χαριζόμενοι. Προλαβὼν οὖν, σεαυτὸν ἐνταφίασον. Καλὸν ἐντάφιον ἡ εὐσέβεια. Πάντα περιβαλλόμενος ἄπελθε· οἰκεῖον κόσμον τὸν πλοῦτον ποίησαι· ἔχει αὐτὸν μετὰ σεαυτοῦ. Πείσθητι καλῷ συμβούλῳ, τῷ ἀγαπήσαντί σε Χριστῷ, τῷ δι' ἡμᾶς πτωχεύσαντι, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν[2]· τῷ δόντι ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν[3]. Ἢ ὡς σοφῷ τὸ συμφέρον ἡμῖν συνορῶντι πεισθῶμεν, ἢ ὡς ἀγαπῶντος ἡμᾶς ἀνασχώμεθα, ἢ ὡς εὐεργέτην ἡμῶν ἀμειψώμεθα. Πάντως δὲ ποιήσωμεν τὰ διατεταγμένα ἡμῖν, ἵνα κληρονόμοι γενώμεθα τῆς αἰωνίου ζωῆς τῆς ἐν αὐτῷ τῷ Χριστῷ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Γαλ. 6,7. 2. Πρβλ. Β' Κορ. 8,9. 3. Πρβλ. Α' Τιμ. 2,6.

ΟΜΙΛΙΑ

ΡΗΘΕΙΣΑ ΕΝ ΛΙΜΩ ΚΑΙ ΑΥΧΜΩ

1. «Λέων ἐρεύξεται, καί τίς οὐ φοβηθήσεται; Κύριος ὁ Θεὸς ἐλάλησε, καὶ τίς οὐ προφητεύσει;»[1]. Προφητικὸν ποιήσωμεν τὸ τοῦ λόγου προοίμιον καὶ τὸν θεοφορούμενον Ἀμὼς συνεργὸν εἰς τὴν τῶν προκειμένων χρείαν παραλάβωμεν, τὰ ὅμοια τῶν ἡμῖν διοχλούντων κακῶν θεραπεύσαντα πάθη· τὴν [307] ὑπὲρ τῶν συμφερόντων βουλήν τε καὶ γνώμην ἐκτιθέμενοι. Καὶ γὰρ αὐτὸς ὁ προφήτης ἐν τῇ φορᾷ τῶν ἀνωτέρω χρόνων, τοῦ λαοῦ καταλιπόντος τὴν πατρῴαν εὐσέβειαν καὶ πατήσαντος μὲν τὴν τῶν νόμων ἀκρίβειαν, εἰς δὲ τὴν τῶν εἰδώλων θεραπείαν ὑπολισθήσαντος, κήρυξ ἐγένετο μετανοίας· τὴν ἐπιστροφὴν παραινῶν καὶ τῶν τιμωριῶν προφέρων τὴν ἀπειλήν. Ἐμοὶ δὲ δι' εὐχῆς ἀγέσθω τὸ μέχρι μέν τινος τῷ ζήλῳ τῆς παλαιᾶς ἱστορίας προσχρῆσθαι. Μηκέτι μέντοι καὶ τὴν ἔκβασιν τῶν τότε γενομένων ἰδεῖν ἀκόλουθον. Ἀπειθήσας γὰρ ὁ λαὸς καὶ ὥσπερ πῶλος σκληρὸς καὶ δυσήνιος ἐνδακὼν τὸν χαλινόν, οὐχ εἱλκύσθη πρὸς τὸ συμφέρον· ἐκτραπεὶς δὲ τῆς εὐθείας, τοσοῦτον ἔδραμεν ἄτακτα καὶ τοῦ ἡνιόχου κατεφρυάξατο, μέχρις οὗ, τοῖς βαράθροις καὶ τοῖς κρημνοῖς ἐκπεσών, ἀξίαν τῆς δυσπειθείας τὴν πανωλεθρίαν ὑπέμεινεν. Ὃ μὴ γένοιτο νῦν ἐφ' ἡμῶν, παῖδες ἐμοί, οὓς διὰ τοῦ Εὐαγγελίου ἐγέννησα[2], οὓς διὰ τῆς εὐλογίας τῶν χειρῶν ἐσπαργάνωσα. Ἀλλ' ἔστω ἀκοὴ εὐγνώμων, ψυχὴ εὐπειθής, ἁπαλῶς δεχομένη τὰς παραινέσεις, εἴκουσα τῷ λέγοντι, ὡς κηρὸς τῷ σφραγίζοντι, ἵνα διὰ μιᾶς ταύτης σπουδῆς κἀγὼ λάβω καρπὸν τῶν πονουμένων εὐφραίνοντα καὶ ὑμεῖς ἐν καιρῷ τῆς ἀπαλλαγῆς τῶν δεινῶν τὴν γενομένην παραίνεσιν ἐπαινέσητε. Τί οὖν ἐστιν ὅπερ ἐνδείκνυται μὲν ὁ λόγος, ἔτι δὲ μετεώρους κατέχει τὰς ψυχὰς τῇ ἐλπίδι τῆς ἀκοῆς, βραδύνων δημοσιεύειν τὸ προσδοκώμενον;

2. Οὐρανὸν ὁρῶμεν, ἀδελφοί, στεγανόν, γυμνὸν καὶ ἀνέφελον, στυγνὴν ἐμποιοῦντα τὴν αἰθρίαν ταύτην καὶ καταλυποῦντα τῇ καθαρότητι, ἣν λίαν ἐπεθυμοῦμεν τὸ πρῶτον, ἡνίκα ἄν, ἐπὶ πολὺ σκεπασθεὶς τοῖς νέφεσι, ζοφώδεις ἡμᾶς καὶ ἀνηλίους εἰργάσατο. Γῆ δὲ καταξηρανθεῖσα εἰς ἄκρον ἀηδὴς μέν ἐστιν ὀφθῆναι, στείρα δὲ πρὸς γεωργίαν καὶ ἄγονος, εἰς σχίσματα διαρραγεῖσα καὶ εἰς τὸ βάθος δεχομένη καταλάμπουσαν τὴν ἀκτῖνα. Πηγαὶ δὲ ἡμᾶς ἐπέλιπον πλούσιαί τε καὶ ἀέναοι καὶ ποταμῶν μεγάλων ἐδαπανήθη τὰ ῥεύματα, παῖδες δὲ αὐτὰ σμικρότατοι καταπεζεύουσι καὶ γυναῖκες περαιοῦνται μετὰ φορτίων,

---

1. Ἀμ. 3,8. 2. Πρβλ. Α' Κορ. 4,15.

τοὺς δὲ πολλοὺς ἡμῶν καὶ τὸ ποτὸν ἐπέλειψε καὶ ἐν ἀπορίᾳ τοῦ ζῆν καθεστήκαμεν· Ἰσραηλῖται νέοι, Μωυσῆν ζητοῦντες νέον καὶ ῥάβδον θαυμασίων ποιητικήν, ἵνα πάλιν πέτραι πλη[308]γεῖσαι τὴν χρείαν τοῦ διψῶντος λαοῦ θεραπεύσωσι, νεφέλαι δὲ παράδοξοι τροφὴν ἀσυνήθη τὸ μάννα τοῖς ἀνθρώποις καταψεκάσωσιν. Εὐλαβηθῶμεν μὴ γενώμεθα τοῖς ὀψιγόνοις καινὸν ἐπὶ λιμοῦ καὶ τιμωρίας διήγημα. Εἶδον τὰς ἀρούρας καὶ πολλὰ κατεδάκρυσα τῆς ἀκαρπίας αὐτῶν· καὶ ἐξέχεα θρῆνον, ἐπειδὴ μὴ ὑετὸς ἐφ' ἡμᾶς ἐξεχύθη. Τὰ μὲν τῶν σπερμάτων πρὸ τῆς ἐκβολῆς ἐξηράνθη, ταῖς βώλοις τοιαῦτα μείναντα οἷα τὸ ἄροτρον ἔκρυψε· τὰ δὲ μικρὸν προκύψαντα καὶ βλαστήσαντα ἐλεεινῶς ἀπεμαράνθη τῷ καύματι· ὡς νῦν εὐκαίρως τινὰ τὴν εὐαγγελικὴν ἀναστρέψαι φωνήν, λέγοντα· οἱ μὲν ἐργάται πολλοί, τὸ δὲ θέρος οὐδ' ὀλίγον[1]. Οἱ γεωργοὶ δέ, ταῖς ἀρούραις ἐπικαθήμενοι καὶ τὰς χεῖρας κατὰ τῶν γονάτων συμπλέκοντες (τοῦτο δὴ τῶν πενθούντων τὸ σχῆμα), τοὺς ματαίους ἑαυτῶν πόνους δακρύουσι, πρὸς παῖδας νηπίους ἀφορῶντες καὶ ὀδυρόμενοι· πρὸς γυναῖκας ἀτενίζοντες καὶ θρηνοῦντες, ἐπαφώμενοι καὶ ψηλαφῶντες τοὺς ξηροὺς χόρτους τῶν γεννημάτων, ἀνοιμώζοντες δὲ μεγάλα, καθάπερ οἱ πατέρες οἱ τοὺς ἐν ἄνθει τῆς ἡλικίας υἱοὺς ἀπολέσαντες. Λεγέσθω τοίνυν καὶ πρὸς ἡμᾶς παρὰ τοῦ αὐτοῦ προφήτου, οὗ μικρὸν πρόσθεν ἐν προοιμίοις ἐμνημονεύσαμεν· «καὶ ἐγώ, φησίν, ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν μηνῶν τοῦ τρυγητοῦ· καὶ βρέξω ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω· καὶ μερὶς μία βραχήσεται, καὶ μερίς, ἐφ' ἣν οὐ βρέξω, ξηρανθήσεται. Καὶ συναθροίσονται δύο ἢ τρεῖς πόλεις εἰς μίαν, πιεῖν ὕδωρ, καὶ οὐ μὴ ἐμπλησθῶσι· διότι οὐκ ἐπεστράφητε πρός με, λέγει Κύριος»[2]. Μάθωμεν οὖν, ὅτι δι' ἀποστροφὴν καὶ ἀμέλειαν ταύτας ἡμῖν ὁ Θεὸς τὰς πληγὰς ἐνίησιν, οὐκ ἐκτρῖψαι ζητῶν, ἀλλ' ἐπανορθῶσαι σπουδάζων, κατὰ τοὺς χρηστοὺς τῶν πατέρων καὶ ἀμελεῖς τῶν τέκνων, οἳ θυμοῦνται κατὰ τῶν νέων καὶ διανίστανται, οὐ κακόν τι δοῦναι σπουδάζοντες, ἀλλ' ἐκ τῆς νηπιώδους ὀλιγωρίας καὶ τῶν τῆς νεότητος ἁμαρτιῶν εἰς ἐπιμέλειαν ἄγοντες. Ὁρᾶτε τοίνυν, ὡς τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τὰς ὥρας τῶν ἰδίων ἐξήγαγε φύσεων καὶ τῶν καιρῶν τὰς ἰδέας εἰς ἀλλοκότους κράσεις διήμειψεν. Ὁ χειμὼν οὐκ ἔσχε τὸ σύνηθες ὑγρὸν μετὰ τοῦ ξηροῦ, ἀλλὰ πᾶσαν ἰκμάδα τῷ κρυστάλλῳ κατέδησέ τε καὶ ἀπεξήρανεν, ἄμοιρος δὲ διετέλεσε καὶ νιφάδων καὶ ὑετῶν. Τὸ ἔαρ πάλιν τὸ μὲν ἕτερον μέρος τῶν ἰδιωμάτων ἔδειξε, τὴν θερμότητα λέγω· τοῦ δὲ ὑγροῦ τὴν μετουσίαν οὐκ ἔσχε. Καῦμα δὲ καὶ κρυμός, καινῶς ὑπερβάντα τοὺς ὅρους τῆς κτίσεως καὶ κακῶς εἰς τὴν καθ' ἡμῶν συμφωνήσαντα βλάβην, τοῦ βίου [309] καὶ τῆς ζωῆς τοὺς ἀνθρώπους ἐλαύνουσι. Τίς οὖν ἄρα τῆς ἀταξίας καὶ τῆς συγχύσεως ἡ αἰτία; τίς ὁ νεωτερισμὸς τῶν καιρῶν; Ἐρευνήσομεν, ὡς νοῦν ἔχοντες· ὡς λογικοὶ λογισώμεθα.

1. Πρβλ. Λουκ. 10,2. 2. Ἀμ. 4,7-8.

Μὴ ὁ κυβερνῶν τὸ πᾶν οὐκ ἔστι; μὴ ὁ ἀριστοτέχνης Θεὸς ἐπελάθετο τῆς οἰκονομίας; μὴ ἀφῃρέθη τῆς ἐξουσίας καὶ τῆς δυνάμεως; ἢ τὴν ἰσχὺν μὲν τὴν αὐτὴν ἔχει καὶ τοῦ κράτους οὐ παρελύθη· παρηνέχθη δὲ εἰς σκληρότητα καὶ τὸ λίαν ἀγαθὸν καὶ τὸ περὶ ἡμᾶς κηδεμονικὸν εἰς μισανθρωπίαν μετέβαλεν; Οὐκ ἂν εἴποι τις σωφρονῶν· ἀλλὰ φανερὰ καὶ δῆλα τὰ αἴτια δι' ἃ συνήθως οὐ διοικούμεθα. Λαμβάνοντες ἡμεῖς, ἄλλοις οὐ παρέχομεν· τὴν εὐεργεσίαν ἐπαινοῦμεν καὶ ταύτης ἀποστεροῦμεν τοὺς δεομένους. Δοῦλοι ὄντες, ἐλευθερούμεθα καὶ τοὺς ὁμοδούλους οὐκ οἰκτείρομεν· πεινῶντες τρεφόμεθα καὶ τὸν ἐνδεῆ παρατρέχομεν. Ἀνενδεῆ χορηγὸν καὶ ταμίαν Θεὸν ἔχοντες, φειδωλοὶ ἐγενόμεθα καὶ ἀκοινώνητοι πρὸς τοὺς πένητας. Πολύτοκα ἡμῶν τὰ πρόβατα καὶ οἱ γυμνοὶ τῶν προβάτων πλείους. Αἱ ἀποθῆκαι τῷ πλήθει τῶν ἀποκειμένων στενοῦνται καὶ τὸν ἐστενωμένον οὐκ ἐλεοῦμεν. Διὰ τοῦτο ἡμῖν ἀπειλεῖ τὸ δίκαιον κριτήριον. Διὰ τοῦτο καὶ ὁ Θεὸς οὐκ ἀνοίγει τὴν χεῖρα, ἐπειδὴ τὴν φιλαδελφίαν ἡμεῖς ἀπεκλείσαμεν. Διὰ τοῦτο ξηραὶ αἱ ἄρουραι, ἐπειδὴ ἡ ἀγάπη ἐψύγη.

3. Φωνὴ λιτανευόντων εἰκῆ βοᾷ καὶ πρὸς τὸν ἀέρα διασκεδάνυται. Οὐδὲ γὰρ ἡμεῖς τῶν ἀξιούντων ἠκούσαμεν. Οἷα δὲ ἡμῶν ἡ προσευχὴ καὶ ἡ δέησις; Οἱ ἄνδρες, πλὴν ὀλίγων, ταῖς ἐμπορίαις σχολάζετε· αἱ γυναῖκες ὑπηρετεῖτε τούτοις εἰς τὴν ἐργασίαν τοῦ μαμμωνᾶ. Ὀλίγοι λοιπὸν μετ' ἐμοῦ καὶ τῆς προσευχῆς καὶ οὗτοι ἰλιγγιῶντες, χασμώμενοι, μεταστρεφόμενοι συνεχῶς καὶ ἐπιτηροῦντες πότε τοὺς στίχους ὁ ψαλμῳδὸς συμπληρώσει, πότε, ὡς δεσμωτηρίου, τῆς ἐκκλησίας καὶ τῆς ἀνάγκης τῆς προσευχῆς ἀφεθήσονται. Οἱ δὲ δὴ παῖδες οἱ σμικρότατοι οὗτοι, οἱ τὰς δέλτους ἐν τοῖς διδασκαλείοις ἀποθέμενοι καὶ συμβοῶντες ἡμῖν, ὡς ἄνεσιν μᾶλλον καὶ τέρψιν τὸ πρᾶγμα μετέρχονται, ἑορτὴν ποιούμενοι τὴν ἡμετέραν λύπην, ἐπειδὴ τῆς ἐπαχθείας τοῦ παιδευτοῦ καὶ τῆς φροντίδος τῶν μαθημάτων πρὸς ὀλίγον ἐλευθεροῦνται. Τὸ δὲ τῶν τελείων ἀνδρῶν πλῆθος καὶ ὁ ταῖς ἁμαρτίαις ἐνεχόμενος δῆμος ἄνετος καὶ ἐλευθεριάζων καὶ γεγανωμένος τὴν πόλιν διατρέχει· ὁ τῶν κακῶν τὴν αἰτίαν ἐν ταῖς ψυχαῖς περιφέρων· ὁ τὴν συμφορὰν κινήσας καὶ ἐργασάμενος. Ἀναίσθητα δὲ καὶ ἄμεμπτα βρέφη πρὸς τὴν ἐξομολόγησιν ἐπείγεται καὶ ἀθροίζεται, οὔτε τὴν ἀφορμὴν τῶν λυπούντων, οὔτε τοῦ συ**[312]**νήθως προσεύξασθαι γνῶσιν ἢ δύναμιν ἔχοντα. Σύ μοι πάρελθε εἰς μέσον, ὁ ταῖς ἁμαρτίαις πεφυρμένος, σὺ πρόσπεσον καὶ κλαῦσον καὶ στέναξον· ἄφες τὸ βρέφος ἐνεργεῖν τὰ ἴδια τῆς ἡλικίας ἀκόλουθα. Ἵνα τί κρύπτῃ κατηγορούμενος καὶ τὸ ἀνεύθυνον εἰς ἀπολογίαν προϊστᾷς; Μὴ γὰρ παίζεται ὁ κριτής, ἵνα ὑποβολιμαῖον ἀντεισαγάγῃς πρόσωπον; Ἔδει δὲ παρεῖναι κἀκεῖνο μετὰ σοῦ πάντως, οὐ μόνον. Ὁρᾷς ὡς καὶ Νινευῖται τῇ μεταμελείᾳ τὸν Θεὸν δυσωποῦντες καὶ πενθοῦντες ἐπὶ τοῖς ἁμαρτήμασιν, ἃ μετὰ τὴν θάλασσαν καὶ τὸ κῆτος Ἰωνᾶς ἐξεβόησεν, οὐ τὰ βρέφη μόνον εἰς τὴν μετάνοιαν προεστήσαντο, αὐτοὶ δὲ τρυφῶντες, αὐτοὶ εὐωχούμενοι διέζων τὸν βίον· ἀλλὰ πρώτους

μὲν ἐδάμασε τοὺς πατέρας τοὺς ἡμαρτηκότας ἡ νηστεία καὶ ἡ τιμωρία τοὺς πατέρας ἐκάκου, εἰς προσθήκης δὲ λόγον ἠναγκασμένως ἐθρήνει τὰ βρέφη, ἵνα διὰ πάσης ἡλικίας ἡ σκυθρωπότης κρατήσῃ, αἰσθανομένης τε καὶ ἀναισθήτου· τῆς μὲν κατὰ προαίρεσιν, τῆς δὲ κατ' ἀνάγκην. Καὶ οὕτως αὐτοὺς ἰδὼν ὁ Θεὸς ταπεινωθέντας, ὡς ἐπὶ ὑπερβαίνουσαν ἑαυτῶν ταλαιπωρίαν παγγενῆ κατακρίναντας καὶ τὸ πάθος ἠλέησε καὶ τῆς τιμωρίας ἀνῆκε καὶ τὸ χαίρειν ἐδωρήσατο τοῖς εὐαισθήτως πενθήσασιν[1]. Ὦ τῆς ἐμμελοῦς μετανοίας! ὦ τῆς σοφῆς καὶ πεπυκνωμένης θλίψεως! Οὐδὲ τὰ ἄλογα ἀσυντελῆ τῆς τιμωρίας ἀφῆκαν, ἀλλὰ καὶ αὐτὰ βοᾶν ἐξ ἀνάγκης ἐμηχανήσαντο. Ἐχωρίσθη γὰρ τῆς βοὸς ὁ μόσχος, ἀπηλάθη τῆς μητρῴας θηλῆς ὁ ἀρνειός, παιδίον ἐπιμάζιον οὐκ ἦν ἐν ταῖς τῆς τεκούσης ἀγκάλαις· ἐν ἰδίοις σηκοῖς αἱ μητέρες, ἐν ἰδίοις τὰ τέκνα, φωναὶ δὲ παρὰ πάντων οἰκτραὶ ἀλλήλαις ἀντιβοῶσαι καὶ ἀντηχοῦσαι. Τὰ τέκνα λιμώττοντα τὰς πηγὰς ἐζήτει τοῦ γάλακτος· αἱ μητέρες, τῷ φυσικῷ πάθει διακοπτόμεναι, συμπαθέσι φωναῖς ἀνεκαλοῦντο τὰ ἔγγονα. Τὰ βρέφη, κατὰ τὸν ὅμοιον τρόπον λιμώττοντα, σφοδροτάτῳ κλαυθμῷ ἀνερρήγνυντο καὶ ἀπέσπαιρον· αἱ τεκοῦσαι ταῖς φυσικαῖς ἀλγηδόσι κατεκεντοῦντο τὰ σπλάγχνα. Καὶ διὰ τοῦτο τὴν ἐκείνων μετάνοιαν εἰς κοινὸν τοῦ βίου διδασκάλιον ὁ θεόπνευστος λόγος ἔγγραφον διέσωσεν. Ὁ πρεσβύτης ἐπ' ἐκείνων ἐθρήνει καὶ τὴν πολιὰν ἔτιλλε καὶ διεσπάραττεν. Ὁ νεανίσκος καὶ ἀκμά**[313]**ζων, σφοδρότερον ἀπωδύρετο· ὁ πένης ἐστέναζεν· ὁ πλούσιος, ἐπιλαθόμενος τῆς τρυφῆς, ἤσκει τὴν κακοπάθειαν ὡς σώφρονα. Ὁ βασιλεὺς αὐτῶν τὴν λαμπρότητα καὶ τὴν δόξαν εἰς αἰσχύνην μετέβαλεν. Ἀπέθετο τὸν στέφανον καὶ κόνιν τῆς κεφαλῆς κατεχέετο· τὴν ἁλουργίδα ῥίψας, σάκκον μετημφιάσατο· τὸν θρόνον τὸν ὑψηλὸν ἀφεὶς καὶ μετέωρον, ἐλεεινὸς τῇ γῇ προσεσύρετο· τὴν ἰδιάζουσαν καὶ βασιλικὴν καταλιπὼν εὐπάθειαν, συνεθρήνει τῷ δήμῳ· εἷς ἐγένετο τῶν πολλῶν, ὅτε τὸν κοινὸν πάντων Δεσπότην ἔβλεπεν ὀργιζόμενον.

4. Τοῦτο δούλων εὐαισθήτων φρόνημα. Τοιαύτη τῶν ἁμαρτίαις ἐνεχομένων ἡ μετάνοια. Ἡμεῖς δὲ τὴν μὲν ἁμαρτίαν ἐπιτελοῦμεν συντόνως, ὀλιγώρως δὲ καὶ ῥαθύμως ἀναλαμβάνομεν τὴν μετάνοιαν. Τίς εὐξάμενος ἀπορρεῖ δάκρυον, ἵν' ὄμβρον λάβῃ καὶ σταγόνας, εὐκαίρους; Τίς ἐξαλείφων ἁμαρτίας, κατὰ μίμησιν τοῦ μακαρίου Δαβίδ, θρήνοις τὴν κοίτην ἔβρεξε[2]; Τίς πόδας ἀπέπλυνε ξένων καὶ τὴν κόνιν τῆς ὁδοιπορίας ἀπέκλυσεν, ἵν' ἐν καιρῷ δυσωπήσῃ τὸν Θεόν, αὐχμοῦ λύσιν ζητῶν; Τίς ἔθρεψε τὸ πατρὸς ἔρημον παιδίον, ἵνα νῦν ἡμῖν ὁ Θεὸς θρέψῃ τὰ σιτία, ὡς ὀρφανὸν τῇ τῶν ἀνέμων ἀκρασίᾳ κονδυλιζόμενον; Τίς ἐθεράπευσε χήραν κεκακωμένην ταῖς δυσκολίαις τοῦ βίου, ἵνα νῦν ἐπιμετρηθῇ τὴν ἀναγκαίαν τροφήν; Διάρρηξον γραμματεῖον ἄδικον ἵν' οὕτως ἡ ἁμαρτία λυθῇ. Ἐξάλειψον βαρυτάτων τόκων ὁμολογίαν,

1. Πρβλ. Ἰων. 3,3-10. 2. Πρβλ. Ψαλ. 6,7.

ἵνα τέκῃ τὰ συνήθη ἡ γῆ. Χαλκοῦ γὰρ καὶ χρυσοῦ καὶ τῶν ἀγόνων παρὰ φύσιν γεννώντων, ἡ κατὰ φύσιν τίκτουσα γίνεται στείρα καὶ πρὸς τιμωρίαν τῶν ἐποικούντων κατεδικάσθη τὴν ἀκαρπίαν. Δειξάτωσαν τοίνυν οἱ τὴν πλεονεξίαν τιμῶντες, οἱ τὸν πλοῦτον μεθ' ὑπερβολῆς συνάγοντες, τίς ἡ δύναμις τῶν θησαυρισθέντων, ἢ τί τὸ ὄφελος, ἂν ὀργισθεὶς ὁ Θεὸς ἐπὶ πλεῖον παρελκύσῃ τὴν τιμωρίαν. Ὠχρότεροι τάχα τοῦ χρυσοῦ γενήσονται οἱ τοῦτον σωρεύοντες, ἐὰν μὴ τὸν ἄρτον μέχρι χθὲς καὶ πρῴην καταφρονούμενον διὰ τὴν πρόχειρον ἐξουσίαν τῆς εὐθηνίας σχῶσι. Δὸς δὴ μὴ εἶναι τὸν πιπράσκοντα, μηδὲ ὑπάρχειν σῖτον ἐν ἀποθήκαις· καὶ τίς ἡ χρῆσις τῶν βαρυτάτων βαλαντίων; εἰπέ μοι. Οὐ μετ' ἐκείνων χωσθήσῃ; οὐ γῆ ὁ χρυσός; οὐ πηλὸς ἀχρεῖος πηλῷ τῷ σώματι παρακείσεται; Πάντα ἐκτήσω καὶ ἐν ἀναγκαῖον οὐκ ἔχεις, δύναμιν τοῦ τρέφειν σεαυτόν. Τῷ παντί σου πλούτῳ ἓν νέφος ἀπέργασαι· ὀλίγων ψεκάδων ἐπινόησον πόρον· ἔπειξον εἰς καρποφορίαν τὴν γῆν· λῦσον τῷ ὑπερηφάνῳ καὶ σοβοῦντι πλούτῳ τὴν συμφοράν. Τάχα τινὰ τῶν εὐλαβῶν παρακαλέσεις, ἵν' εὐχαῖς ὡς ὁ Θεσβίτης Ἠλίας[1] ἄνεσίν σοι χαρίσηται τῶν δεινῶν, ἄνθρωπος ἀκτήμων, ὠχριῶν, ἀνυπόδετος, ἀοίκητος, ἀνέστιος, ἄπορος, ἐνὶ χιτῶνι σκεπόμενος, ὡς Ἠλίας **[316]** τῇ μηλωτῇ, τὴν εὐχὴν ἔχων σύντροφον, τὴν ἐγκράτειαν ὁμοδίαιτον. Κἂν ἐπιτύχῃς τῆς παρὰ τοῦ τοιούτου βοηθείας δεόμενος, οὐ μακρὰ καταγελάσεις τῶν πολυμερίμνων κτημάτων; οὐ προσπτύσεις τῷ χρυσῷ; οὐ διαρρίψεις ὡς κόπρον τὸν ἄργυρον, ὃν πρότερον πάντα δυνάμενον καὶ φίλτατον ὀνομάζων ἀδρανῆ βοηθὸν ἐπὶ τῆς χρείας ἐγνώρισας; Διὰ σὲ καὶ τὴν συμφορὰν ταύτην κατεδίκασεν, ἐπειδὴ ἔχων οὐκ ἐδίδως· ἐπειδὴ παρέτρεχες τοὺς πεινῶντας, ἐπειδὴ πρὸς τοὺς ὀδυρομένους οὐκ ἐπεστρέφου· ἐπειδὴ προσκυνούμενος οὐκ ἠλέεις. Ἔρχεται καὶ δι' ὀλίγους ἐπὶ δῆμον κακὰ καὶ μοχθηρίας τινὸς παραπήλαυσε δῆμος. Ἄχαρ ἱεροσύλησε καὶ ὅλη ἡ παράταξις ἐμαστίζετο[2]. Ὁ Ζαμβρὶ πάλιν εἰς τὰς Μαδιανίτιδας ἐξεπόρνευσε καὶ ὁ Ἰσραὴλ ἔπιπτεν εἰς δίκην[3].

5. Πάντες τοίνυν καὶ ἰδίᾳ καὶ κοινῇ τοὺς βίους ἑαυτῶν ἐξετάσωμεν, ὡς παιδαγωγῷ πρόσχωμεν τῷ αὐχμῷ, ἕκαστον τῆς ἰδίας ἁμαρτίας ὑπομιμνήσκοντι. Εἴπωμεν καὶ ἡμεῖς τοῦ γενναίου Ἰὼβ τὴν φωνὴν εὐαισθήτως· «Χεὶρ Κυρίου ἐστὶν ἡ ἁψαμένη μου»[4]. Καὶ μάλιστα μὲν πρωτοτύπως τοῖς ἁμαρτήμασι τὴν συμφορὰν ἑαυτῶν λογισώμεθα. Εἰ δὲ δεῖ καὶ ἄλλο προσθεῖναι, ἔστιν ὅτε καὶ κατὰ πεῖραν ταῖς ψυχαῖς αἱ τοιαῦται τοῦ βίου δυσκληρίαι τοῖς ἀνθρώποις προσάγονται, ἵν' ἐπὶ τῆς δυσκολίας ἀπελεγχθῶσιν οἱ δόκιμοι, εἴτε πένητες, εἴτε πλούσιοι· ἑκάτεροι γὰρ ἀκριβῶς διὰ τῆς ὑπομονῆς δοκιμάζονται. Κἂν τούτῳ μάλιστα τῷ καιρῷ διαδείκνυνται ὁ μέν, κοινωνικὸς καὶ φιλάδελφος,

1. Πρβλ. Γ' Βασ. 18,45. 2. Ἰησ. Ν. 7,1 ἑξ. 3. Ἀριθ. 25,6 ἑξ. 4. Ἰὼβ 19,21.

ὁ δέ, εἰ εὐχάριστος καὶ μὴ τοὐναντίον βλάσφημος, ταῖς τοῦ βίου περιφοραῖς ὀξέως συμμεταβάλλων τὸ φρόνημα. Οἶδα ἐγὼ πολλοὺς (οὐκ ἀκοῇ μαθών, ἀλλὰ τῇ πείρᾳ τοὺς ἀνθρώπους γνωρίσας), ἕως μέχρι μὲν ὁ βίος αὐτοῖς πρὸς εὐπορίαν διαμετρεῖται καὶ ἐξ οὐρίας, τὸ λεγόμενον, χωρεῖ, μέσως γοῦν εἰ καὶ μὴ τελείως τῷ εὐεργέτῃ ὁμολογοῦντας τὴν χάριν· εἰ δέ που διὰ τὴν ἐναντίαν κατάστασιν περιτραπείη τὰ πράγματα καὶ ὁ μὲν πλούσιος γένηται πένης, ἡ δὲ ῥώμη τοῦ σώματος νόσος, ἡ δὲ δόξα καὶ περιφάνεια αἰσχύνη καὶ ἀτιμία, ἀχαριστοῦντας, βλάσφημα φθεγγομένους ὀκνοῦντας τὴν προσευχήν· ὡς πρὸς χρεώστην βραδύνοντα τὸν Θεὸν σχετλιάζοντας, οὐχ ὡς πρὸς Δεσπότην ἀγαναικτοῦντα διακειμένους. Ἀλλ' ἄπαγε τῶν λογισμῶν τὴν τοιαύτην ἔννοιαν! Ὅταν δὲ ἴδῃς Θεὸν μὴ χαριζόμενον τὰ συνήθη, οὕτω λογίζου παρὰ σεαυτῷ· μὴ ἀδύνατος ὁ Θεὸς χορηγεῖν τὴν τροφήν; Καὶ πῶς; ὃς γε Κύριός ἐστιν οὐρανοῦ καὶ πάσης διακοσμήσεως, ὡρῶν **[317]** καὶ καιρῶν σοφὸς οἰκονόμος, κυβερνήτης τῶν πάντων, ὥσπερ τινὰ χορὸν εὔτακτον τὰς ὥρας καὶ τὰς τροπὰς ἀλλήλαις ὑποχωρεῖν ὁρίσας, ἵνα τῇ ἑαυτῶν ποικιλίᾳ ταῖς διαφόροις ἡμῶν ἐπαρκέσωσι χρείαις· καὶ νῦν μὲν κατὰ καιρὸν τὸ ὑγρὸν προσγένηται, αὖθις δὲ λάβῃ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐγκραθῇ τῷ ἐνιαυτῷ καὶ τοῦ ξηροῦ τὴν χρείαν μὴ ἀμοιρήσωμεν. Οὐκοῦν δυνατὸς ὁ Θεός· τοῦ δυνατοῦ δὲ προσόντος καὶ ὁμολογουμένου, μὴ ἄρα τὸ ἀγαθὸν ἐνέλειψεν; Οὐδὲ οὗτος ἐφεστὼς ὁ λόγος. Τίς γὰρ ἀνάγκη τὸν μὴ ἀγαθὸν ἔπεισεν ἐν ἀρχῇ δημιουργῆσαι τὸν ἄνθρωπον; Τίς δὲ ὁ κατεπείξας τὸν κτίστην καὶ μὴ βουλόμενον χοῦν λαβεῖν καὶ τοιοῦτον ἐκ πηλοῦ κάλλος εἰδοποιῆσαι; Τίς ὁ πρὸς ἀνάγκην πείσας κατ' εἰκόνα ἰδίαν τὸν λόγον τῷ ἀνθρώπῳ χαρίσασθαι, ἵν' ἐκεῖθεν ὁρμηθεὶς τεχνῶν μάθησιν δέξηται καὶ μάθῃ περὶ τῶν ἀνωτάτω φιλοσοφεῖν, ὧν αἰσθητῶς οὐχ ἅπτεται; Κἂν, οὕτω λογιζόμενος, εὕρῃς τὴν ἀγαθότητα τῷ Θεῷ συνοῦσαν καὶ μέχρι καὶ νῦν μὴ ἀπολιμπανομένην. Ἐπεὶ τί ἐκώλυεν, εἰπέ μοι, μὴ αὐχμὸν εἶναι τὸ ὁρώμενον, ἀλλὰ τελείαν ἐκπύρωσιν; καὶ μικρὸν ὑπαλλάξαντα τὸν ἥλιον τῆς συνήθους πορείας, πλησιάσαντα δὲ τοῖς περιγείοις σώμασιν, ἐν ἀκαρεῖ καταφλέξαι πᾶν τὸ ὁρώμενον; ἢ βρέξαι πῦρ ἐκ τοῦ οὐρανοῦ, καθ' ὁμοίωσιν τῶν ἤδη κολάσεων τῶν ἁμαρτωλῶν; Ἐπὶ σαυτοῦ καὶ τῶν σῶν λογισμῶν γενοῦ, ἄνθρωπε· μὴ ποίει τὰ τῶν ἀνοήτων παίδων, οἵ, παρὰ διδασκάλου ἐπιτιμηθέντες, τὰς δέλτους ἐκείνου καταρρηγνύουσι· πατρὸς δέ, δι' ὠφέλειαν τὴν τροφὴν ὑπερθεμένου τὴν ἐσθῆτα κατασπαράττουσιν, ἢ τὸ τῆς μητρὸς πρόσωπον τοῖς ὄνυξι καταξαίνουσι. Κυβερνήτην μὲν γὰρ ὁ χειμὼν καὶ τὸν ἀθλητὴν τὸ στάδιον, τὸν στρατηγὸν ἡ παράταξις, τὸν μεγαλόψυχον ἡ συμφορά, τὸν Χριστιανὸν δὲ πειρασμὸς δοκιμάζει καὶ βασανίζει. Καὶ αἱ λῦπαι τὴν ψυχήν, ὡς τὸ πῦρ τὸν χρυσόν, ἀπελέγχουσι. Πένης εἶ; Μὴ ἀθυμήσῃς. Ἡ γὰρ εἰς ἄγαν κατήφεια γίνεται τῆς ἁμαρτίας αἰτία· τῆς μὲν λύπης βαπτιζούσης τὸν νοῦν καὶ ἀμηχανίας ἐμποιούσης ὀλιγγον, τῆς δὲ ἀπορίας τῶν λογισμῶν τὴν ἀχαριστίαν ἀπο-

γεννώσης. Ἀλλ' ἔχε τὴν ἐλπίδα πρὸς τὸν Θεόν. Μὴ γὰρ οὐκ ἐπιβλέπει τὴν στένωσιν; Ἔχει τὴν τροφὴν ἐν χερσὶ καὶ παρέλκει τὴν δόσιν, ἵνα σου δοκιμάσῃ τὸ βέβαιον, ἵνα καταμάθῃ τὴν γνώμην, εἰ μὴ τῇ τῶν ἀκολάστων καὶ ἀγνωμόνων ἐστὶν ὁμοία. Καὶ γὰρ ἐκεῖνοι, μέχρι μὲν ἐν τῷ στόματι τὰ σιτία τυγχάνει, εὐφημοῦσι, κολακεύουσιν, ὑπερθαυμάζουσιν· ὀλίγον δὲ τῆς τραπέζης ὑπερτεθείσης, ὥσπερ τισὶ λίθοις ταῖς βλασφημίαις βάλλουσιν οὓς πρὸ βραχέως ἴσα Θεῷ διὰ τὴν ἡδονὴν προσεκύνουν. Ἔπελθε τὴν Παλαιὰν Διαθήκην, τὴν Νέαν καὶ πολλοὺς εὑρήσεις ἐν ἑκάστῃ τοὺς διαφόρως τραφέντας. Ἠλίαν εἶχεν ὁ Κάρμηλος, ὄρος ὑψηλὸν καὶ ἀοίκητον, ἔρημος ἔρημον· ψυχὴ δὲ ἦν τῷ **[320]** δικαίῳ τὰ πάντα καὶ τῆς ζωῆς ἐφόδιον ἡ πρὸς Θεὸν ἐλπίς. Ζῶν δὲ οὕτω, λιμῷ τὴν ζωὴν οὐκ ἀπήλλαξεν· ἀλλ' οἱ ἁρπακτικώτατοι καὶ μάλιστα γαστρίμαργοι τῶν ὀρνίθων, οὗτοι διεκόμιζον τὰ σιτία καὶ τροφῆς ἐγίνοντο τῷ δικαίῳ διάκονοι, οἱ τὰς ἀλλοτρίας τροφὰς ἐκ συνηθείας ἁρπάζοντες· καὶ τῷ δεσποτικῷ προστάγματι τὴν φύσιν διήμειψαν, πιστοὶ φύλακες γενόμενοι τῶν ἄρτων καὶ τῶν κρεῶν. Ταῦτα δὲ τῷ ἀνδρὶ φέρειν τοὺς κόρακας παρὰ τῆς πνευματικῆς ἱστορίας ἐμάθομεν[1]. Εἶχε δὲ καὶ ὁ Βαβυλώνιος λάκκος τὸν Ἰσραηλίτην νεανίσκον· αἰχμάλωτον μὲν τὴν συμφοράν, ἐλεύθερον δὲ τὴν ψυχὴν καὶ τὸ φρόνημα. Καὶ τί τὰ παρ' ἐκείνων; Οἱ μὲν λέοντες παρὰ φύσιν ἐνήστευον· ὁ δὲ τούτου τροφεὺς Ἀμβακοὺμ ἐφέρετο δι' ἀέρος, κομίζοντος τοῦ ἀγγέλου μετὰ τῶν ὄψων τὸν ἄνθρωπον· καὶ ἵνα μὴ λιμῷ πιεσθῇ δίκαιος, τοσαύτης ὑπερηνέχθη γῆς καὶ θαλάσσης ὁ προφήτης ἐν μικρῷ μορίῳ καιροῦ, ὅσην ἐκ τῆς Ἰουδαίας μέχρι Βαβυλῶνος ἡπλῶσθαι[2].

6. Τί δὲ πάλιν ὁ τῆς ἐρήμου λαός, οὗ Μωϋσῆς ἐπετρόπευσε; πῶς ὠκονομήθη τὸν βίον ἐν ἔτεσι τεσσαράκοντα; Οὐκ ἦν ἐκεῖ σπείρων ἀνήρ, οὐ βοῦς ἕλκων ἄροτρον, οὐχ ἅλως, οὐ ληνός, οὐ ταμιεῖον καὶ τὴν τροφὴν εἶχον ἄσπορον καὶ ἀνήροτον καὶ τὰς πηγὰς ἐχορήγει πέτρα, οὐ πρότερον οὖσα, ἀλλ' ἐκραγείσας ἐπὶ τῆς χρείας. Ἀφίημι τὰ καθ' ἕκαστον ἀπαριθμεῖσθαι τῆς τοῦ Θεοῦ προνοίας, ἃ πολλάκις ἐπὶ τῶν ἀνθρώπων πατρικῶς ἐνεδείξατο. Σὺ δὲ καρτέρησον ὀλίγον ἐπὶ τῆς συμφορᾶς, ὡς ὁ γενναῖος Ἰὼβ καὶ μὴ περιτραπῇς ἐκ τοῦ κλύδωνος, μηδὲν ἀποβάλῃς ὧν φέρεις ἀγωγίμων τῆς ἀρετῆς. Ὡς βαρύτιμον ἐνθήκην τὴν εὐχαριστίαν διάσωσον ἐπὶ τῆς ψυχῆς καὶ λήψῃ καὶ σὺ τῆς εὐχαριστίας τὰ διπλασίονα τῆς τρυφῆς. Μνημόνευε τῆς ἀποστολικῆς ῥήσεως· «ἐν παντὶ εὐχαριστεῖτε»[3]. Πένης εἶ; Ἄλλον ἔχεις πάντως πενέστερον. Σοὶ δέκα ἡμερῶν τὰ σιτία, ἐκείνῳ μιᾶς. Ὡς καλὸς καὶ εὐγνώμων τὸ σὸν περιττὸν ἐπανίσωσον πρὸς τὸν ἐνδεῆ. Μὴ ὀκνήσῃς ἐκ τοῦ ὀλίγου δοῦναι· μὴ προτιμήσῃς τὸ σὸν συμφέρον ἐκ τοῦ κοινοῦ κινδύνου. Κἂν εἰς ἕνα ἄρτον περιστῇ ἡ τροφή, ἐπιστῇ δὲ ταῖς θύραις ὁ ζητῶν, προκόμισον ἐκ τοῦ ταμιείου τὸν ἕνα καὶ ἐπιθεὶς ταῖς χερσὶ

1. Πρβλ. Γ' Βασ. 17,4-6. 2. Δαν. (Βήλ) 30 ἑξ. 3. Α' Θεσ. 5,18.

πρὸς οὐρανὸν ἀνατείνας, εἰπὲ λόγον ἐλεεινὸν ὁμοῦ καὶ εὐγνώμονα· εἷς ἄρτος, ὃν ὁρᾷς, Κύριε, καὶ ὁ κίνδυνος προφανής, ἀλλ' ἐγὼ τὴν σὴν ἐντολὴν ἐμοῦ προτίθημι καὶ ἐκ τοῦ ὀλίγου δίδωμι τῷ λιμώττοντι ἀδελφῷ· δός, δὴ καὶ σὺ τῷ κινδυνεύοντι δούλῳ. Οἶδά σου τὴν ἀγαθότητα, θαρρῶ καὶ τῇ δυνάμει· οὐχ ὑπερτίθεσαι εἰς χρόνον τὰς χάριτας, ἀλλὰ σκεδαννύεις, ὅταν ἐθέλῃς, τὰς δωρεάς. Κἂν οὕτως εἴπῃς καὶ πράξῃς, ὃν δίδως ἐκ τῆς στενώσεως ἄρτον, σπέρμα γίνεται γεωργίας, πολύχουν ἀπογεννᾷ τὸν καρπόν, ἀρραβὼν τῆς τροφῆς, ἐλέου πρόξενος. Εἰπέ καὶ **[321]** σὺ τῆς χήρας τῆς Σιδονίας ῥῆμα ἐν τοῖς ὁμοίοις, εὐκαίρως τῆς ἱστορίας μνημόνευσον· «ζῇ Κύριος, ὅτι τοῦτον ἔχω ἐν τῇ οἰκίᾳ μου μόνον εἰς διατροφὴν ἐμοὶ καὶ τοῖς παιδίοις»[1]. Κἂν δῷς ἐκ τοῦ λείποντος, ἔξεις καὶ σὺ τὸν καμψάκην τοῦ ἐλαίου τῇ χάριτι βρύοντα· τὴν ὑδρίαν τῶν ἀλεύρων ἀκένωτον. Ἐπὶ γὰρ τῶν πιστῶν φιλότιμος ἡ τοῦ Θεοῦ χάρις μιμεῖται τὰ φρέατα, τὰ ἀεὶ κενούμενα καὶ μὴ ἐξαντλούμενα, τὸ διπλοῦν ἀντεισάγουσα. Δάνεισον, ὁ ἄπορος, τῷ πλουσίῳ Θεῷ. Πίστευσον τῷ ἀεὶ εἰς πρόσωπον ἴδιον ὑπὲρ τοῦ θλιβομένου λαμβάνοντι καὶ οἰκοθεν ἀποδιδόντι τὴν χάριν. Ἀξιόπιστος ἐγγυητὴς πανταχοῦ γῆς καὶ θαλάττης ἡπλωμένους ἔχων τοὺς θησαυρούς. Καὶ πλέων ἐὰν ἀπαιτήσῃς τὸ δάνεισμα, λήψῃ ἐπὶ μέσου πελάγους σὺν τόκοις τὸ κεφάλαιον. Φιλοτιμεῖται γὰρ ἐν ταῖς προσθήκαις.

7. Τὸ τοῦ λιμώττοντος νόσημα, λιμός, οἰκτρὸν πάθος ἐστί. Λιμὸς ἀνθρωπίνων συμφορῶν ὑπάρχει τὸ κεφάλαιον, πάντων θανάτων μοχθηρότερον τέλος οὗτος. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων κινδύνων, ἢ ξίφους ἀκμὴ τὴν τελευτὴν ὀξέως ἐφίστησιν, ἢ πυρὸς ὁρμὴ συντόμως τὸ ζῆν ἀποσβέννυσιν, ἢ θηρία τοῖς ὀδοῦσι διασπαράξαντα ὅσα καίρια τῶν μελῶν οὐ συγχωρεῖ τῇ παρολκῇ τῆς ὀδύνης τιμωρηθῆναι. Λιμὸς δὲ ἀργὸν ἔχει τὸ κακόν, παρέλκουσαν τὴν ἀλγηδόνα, ἐγκαθημένην τὴν νόσον καὶ ἐμφωλεύουσαν, θάνατον ἀεὶ παρόντα καὶ ἀεὶ βραδύνοντα. Τὸ γὰρ κατὰ φύσιν ὑγρὸν ἐκδαπανᾷ· τὸ θερμὸν καταψύχει· τὸν ὄγκον συστέλλει· τὴν δύναμιν κατ' ὀλίγον ἀπομαραίνει. Ἡ σάρξ ὡς ἀράχνιον τοῖς ὀστέοις περίκειται. Ὁ χροῦς ἄνθος οὐκ ἔχει. Τὸ μὲν γὰρ ἐρυθρὸν φεύγει, ἐκτηκομένου τοῦ αἵματος· τὸ λευκὸν οὐκ ἔστι, τῇ ἰσχνότητι τῆς ἐπιφανείας μελαινομένης· πελιδνὸν δὲ τὸ σῶμα, ὠχρότητι καὶ τῷ μέλανι ἐλεεινῶς ἐκ τοῦ πάθους κιρνώμενον· γόνατα οὐ βαστάζοντα, ἀλλὰ πρὸς βίαν ἑλκόμενα. Φωνὴ λεπτὴ καὶ ἀδρανής· ὀφθαλμοὶ ἐνασθενοῦντες ταῖς κοιλότησιν, εἰκῆ ταῖς θήκαις ἐναποκείμενοι, ὡς τὰ τοῖς ἐλύτροις ἐμψυγέντα τῶν ἀκροδρύων. Γαστὴρ κενὴ καὶ συμπεπτωκυῖα καὶ ἄμορφος, οὐκ ὄγκον, οὐ φυσικὴν τῶν σπλάγχνων ἐπίτασιν ἔχουσα, τοῖς ὀστέοις δὲ τοῦ νώτου προσπεπλασμένη. Ὁ οὖν τοιοῦτον σῶμα παρατρέχων πόσων κολάσεων ἄξιος; τίνα δὲ ὠμότητος ὑπερβολὴν καταλείψει; πῶς δὲ οὐκ ἄξιος τοῖς ἀνημέροις τῶν θηρίων συναριθμεῖσθαι, ὁρᾶσθαι δὲ

1. Πρβλ. Γ' Βασ. 17,12.

ἐναγὴς καὶ ἀνδροφόνος; Ὁ γὰρ ἔχων ἐν ἐξουσίᾳ τὴν τοῦ κακοῦ θεραπείαν, ἐκὼν δὲ καὶ πρὸς πλεονεξίαν ὑπερτιθέμενος, εἰκότως ἂν ἐν τῷ ἴσῳ τῶν αὐτοχείρων καταδικάζοιτο. Τὸ τοῦ λιμοῦ πάθος κατηνάγκασε πολλοὺς πολλάκις καὶ τοὺς **[324]** ὅρους κινῆσαι τῆς φύσεως, ἅψασθαι μὲν ἄνθρωπον τῶν ὁμοφύλων σωμάτων, μητέρα δὲ παῖδα, ὃν ἐκ τῆς γαστρὸς προήγαγε, πάλιν τῇ γαστρὶ κακῶς ὑποδέξασθαι. Καὶ τοῦτο τὸ δρᾶμα Ἰουδαϊκὴ ἐτραγῴδησεν ἱστορία, ἣν Ἰώσηπος ἡμῖν ὁ σπουδαῖος συνεγράψατο, ὅτε τὰ δεινὰ πάθη τοὺς Ἱεροσολυμίτας κατέλαβε, τῆς εἰς τὸν Κύριον δυσσεβείας ἐνδίκους τιμωρίας τινύντας. Ὁρᾷς καὶ αὐτὸν τὸν ἡμέτερον Θεὸν τὰ μὲν ἄλλα τῶν παθῶν πολλάκις παρατρέχοντα, ἐπὶ δὲ τοῖς πεινῶσι συμπαθῶς σπλαγχνιζόμενον· «σπλαγχνίζομαι γάρ», φησίν, «ἐπὶ τὸν ὄχλον»[1]. Διὸ καὶ ἐν τῇ τελευταίᾳ κρίσει, ἔνθα προσκαλεῖται τοὺς δικαίους ὁ Κύριος, τὴν πρώτην τάξιν ὁ μεταδοτικὸς ἐπέχει· ὁ τροφεὺς πρωτοστάτης τῶν τιμωμένων· ὁ τὸν ἄρτον χορηγήσας πρὸ πάντων καλεῖται, ὁ χρηστὸς καὶ εὐμετάδοτος πρὸ τῶν ἄλλων δικαίων τῇ ζωῇ παραπέμπεται[2]. Ὁ ἀκοινώνητος καὶ φειδωλὸς πρὸ πάντων ἁμαρτωλῶν τῷ πυρὶ παραδίδοται[3]. Ἐπὶ τὴν μητέρα σε τῶν ἐντολῶν ὁ καιρὸς καλεῖ· καὶ σφόδρα μερίμνησον, ἵνα σε μὴ παρέλθῃ ὁ τῆς πανηγύρεως καὶ τῶν συναλλαγμάτων καιρός. Ῥεῖ γὰρ ὁ χρόνος καὶ οὐκ ἐκδέχεται τὸν βραδύνοντα· ἐπείγονται αἱ ἡμέραι, τὸν ὀκνηρὸν παρατρέχουσιν. Καὶ ὡς οὐκ ἔστι ῥεῦμα ποταμοῦ στῆσαι, εἰ μή τις, κατὰ τὴν πρώτην ἔντευξιν καὶ προσβολὴν ἀνελόμενος, εἰς δέον τῷ ὕδατι χρήσαιτο· οὕτως οὐδὲ τὸν χρόνον ταῖς ἀναγκαστικαῖς περιόδοις ἐλαυνόμενον ἐπισχεῖν, οὐδὲ παρελθόντα ἀναλῦσαι εἰς τὸ κατόπιν, εἰ μή τις προσάγοντος λάβοιτο. Καὶ διὰ τοῦτο τὴν ἐντολὴν ὡς φεύγουσαν κάτασχε καὶ ἐπιτέλεσον καὶ λαβόμενος πανταχόθεν ἐν ταῖς ἀγκάλαις περίδραξαι. Δὸς ὀλίγα καὶ πολλὰ κτῆσαι· λῦσον τὴν πρωτότυπον ἁμαρτίαν τῇ τῆς τροφῆς μεταδόσει. Ὡς γὰρ Ἀδάμ, κακῶς φαγών, τὴν ἁμαρτίαν παρέπεμψεν, οὕτως ἐξαλείφομεν ἡμεῖς τὴν ἐπίβουλον βρῶσιν, ἐὰν χρείαν ἀδελφοῦ καὶ λιμὸν θεραπεύσωμεν.

8. Λαοί, ἀκούσατε· Χριστιανοί, ἐνωτίσασθε· ὅτι τάδε λέγει Κύριος, οὐ δημηγορῶν αὐτοφώνως, **[325]** τοῖς δὲ τῶν δούλων στόμασιν ἐνηχῶν ὡς ὀργάνοις. Μὴ φανῶμεν οἱ λογικοὶ τῶν ἀλόγων ὠμότεροι. Ἐκεῖνα γὰρ τοῖς ἐκ τῆς γῆς φυομένοις παρὰ τῆς φύσεως ὡς κοινῇ κέχρηνται. Καὶ προβάτων ἀγέλαι ἐν καὶ τὸ αὐτὸ καταβόσκονται ὄρος· ἵπποι δὲ παμπληθεῖς μίαν καὶ τὴν αὐτὴν κατανέμονται πεδιάδα· καὶ πάντα τὰ καθ' ἕκαστον οὕτως ἀλλήλοις ἀντιπαραχωρεῖ τῆς ἀναγκαίας τῶν χρειῶν ἀπολαύσεως· ἡμεῖς δέ, ἐγκολπιζόμεθα τὰ κοινά, τὰ τῶν πολλῶν μόνοι ἔχομεν. Αἰδεσθῶμεν Ἑλλήνων φιλάνθρωπα διηγήματα. Παρά τισιν ἐκείνων νόμος φιλάνθρωπος μίαν τράπεζαν καὶ κοινὰ τὰ σιτία, μίαν ἑστίαν σχεδὸν τὸν πολυάνθρωπον δῆμον ἀπεργάζεται. Κα-

1. Ματθ. 15,32. 2. Πρβλ. Ματθ. 25,34. 3. Πρβλ. Ματθ. 25,41.

ταλείψωμεν τοὺς ἔξωθεν καὶ ἐπέλθωμεν τὸ τῶν τρισχιλίων ὑπόδειγμα· τὸ πρῶτον τῶν Χριστιανῶν ζηλώσωμεν σύνταγμα· ὅπως ἦν αὐτοῖς ἅπαντα κοινά, ὁ βίος, ἡ ψυχή, ἡ συμφωνία, ἡ τράπεζα κοινή[1], ἀδιαίρετος ἀδελφότης, ἀγάπη ἀνυπόκριτος, τὰ πολλὰ σώματα ἓν ἐργαζομένη· τὰς διαφόρους ψυχὰς εἰς μίαν ὁμόνοιαν ἁρμόζουσα. Πολλὰ τῆς φιλαδελφίας ἔχεις ἐκ Παλαιᾶς Διαθήκης καὶ ἐκ τῆς Νέας τὰ ὑποδείγματα. Πρεσβύτην ἐὰν ἴδῃς λιμώττοντα, μετάστειλαι καὶ θρέψον, ὡς Ἰωσὴφ τὸν Ἰακώβ[2]. Ἐχθρὸν ἐὰν εὕρῃς στενούμενον, μὴ ἐπιβάλῃς τῇ ὀργῇ τῇ κατεχούσῃ τὴν ἄμυναν· ἀλλὰ θρέψον ὡς ἐκεῖνος τοὺς ἀδελφούς[3] τοὺς πωλήσαντας[4]. Ἐὰν ἐντύχῃς νεωτέρῳ καταπονουμένῳ, οὕτω δάκρυσον, ὡς ἐκεῖνος τὸν Βενιαμὶν[5] τὸν τοῦ γήρως υἱόν. Πειράζει καὶ σὲ τυχὸν ἡ πλεονεξία, ὡς τὸν Ἰωσὴφ ἡ δέσποινα· ἔλκει σε τῶν ἱματίων[6], ἵνα τῆς ἐντολῆς καταφρονήσῃς καὶ φιλήσῃς μᾶλλον ἐκείνην τὴν φιλόχρυσον καὶ φιλόκοσμον παρὰ τὸ τοῦ Δεσπότου πρόσταγμα. Ὅταν δὴ ἔλθῃ λογισμὸς τῇ ἐντολῇ ἐκείνῃ πολεμῶν καὶ τὸν σώφρονα νοῦν εἰς τὴν φιλαργυρίαν ἐπισπώμενος, τῆς φιλαδελφίας καταναγκάζων ἀμελεῖν καὶ κατέχων πρὸς αὐτήν, πρόσριψον καὶ σὺ τὰ ἱμάτια, ὀργισθεὶς ἀναχώρησον· φύλαξον τῷ Κυρίῳ τὴν πίστιν, ὡς ἐκεῖνος τῷ Πεντεφρῇ[7]· ἐν ἑνὶ ἑαυτῷ τὴν ἔνδειαν οἰκονόμησον, ὡς ἐκεῖνος ἐν τοῖς ἑπτά. Μὴ τὰ πάντα τῇ ἡδονῇ, δός τι καὶ τῇ ψυχῇ. Καὶ δύο σοι νόμισον εἶναι θυγατέρας· τὴν εὐπάθειαν τὴν ἐνθάδε καὶ τὴν ζωὴν τὴν ἐν τοῖς οὐρανοῖς. Εἰ μὴ θελήσῃς τὰ πάντα δοῦναι τῇ κρείττονι, μέρισον γοῦν ἐξ ἴσης τῇ τε ἀκολάστῳ παιδὶ καὶ τῇ σώφρονι. Μὴ τὴν ἐνταῦθα διαγωγὴν ὑπέρπλουτον δείξῃς, γυμνὴν δὲ τὴν ἄλλην καὶ ῥακίοις ἡμφιεσμένην, ἡνίκα ἂν δέῃ σε τῷ Χριστῷ παραστῆναι καὶ εἰς ὄψιν ἐλθεῖν τοῦ κριτοῦ, νύμφης ἔχουσαν σχῆμα καὶ κλῆσιν, τὴν κατ' ἀρετὴν ζωήν. Μὴ τοίνυν ἄμορφον καὶ ἄκοσμον παρα**[328]**στήσῃς τῷ νυμφίῳ τὴν νύμφην, ἵνα μὴ θεασάμενος ἀποκλίνῃ τὸ πρόσωπον καὶ ἰδὼν μισήσῃ καὶ τὴν συνάφειαν ἀπαρνήσηται. Ἀλλὰ στείλας αὐτὴν τῷ προσήκοντι κόσμῳ, τήρησον εὔμορφον τῇ προθεσμίᾳ τῶν γάμων· ἵνα καὶ αὐτὴ μετὰ τῶν φρονίμων παρθένων ἀνάψῃ τὴν λαμπάδα[8], ἔχουσα τὸ πῦρ τῆς γνώσεως ἄσβεστον καὶ μὴ λείπουσα τῶν κατορθωμάτων τὸ ἔλαιον· ἵν' ἔργοις ἡ θεοφορουμένη προφητεία βεβαιωθῇ, ἐφαρμόσῃ δὲ καὶ τῇ σῇ ψυχῇ τὸ λεχθέν· «παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου»[9]. Ταῦτα γὰρ γενικῶς προανεφώνησεν ὁ Ψαλμῳδός, τοῦ γενικοῦ σώματος προκηρύσσων τὴν ὥραν· ἐφαρμόσει δὲ κυρίως καὶ τῇ ἑκάστου ψυχῇ, εἴπερ ἐκ τῶν καθ' ἕκαστον ἔχει ἡ Ἐκκλησία τὸ σύστημα.

---

1. Πρβλ. Πράξ. 2,44. 2. Πρβλ. Γεν. 45,11. 3. Πρβλ. Γεν. 47,12.
4. Πρβλ. Γεν. 37,28. 5. Πρβλ. Γεν. 43,30. 6. Πρβλ. Γεν. 39,12.
7. Πρβλ. Γεν. 39,8-12. 8. Πρβλ. Ματθ. 24,4. 9. Ψαλ. 44,10-11.

9. Προνόησόν μοι λογικῶς τὸ παρὸν καὶ τὸ μέλλον, ὃ μὴ διὰ κέρδος αἰσχρὸν προδῷς. Καταλείψει σε σῶμα, τὸ σὸν γνώρισμα τῷ βίῳ. Εἰς δὴ τὴν ἐπιφάνειαν τοῦ προσδοκωμένου κριτοῦ καὶ ἀναμφιβόλως ἤξοντος, ἀποκλείσεις μὲν σεαυτῷ τὴν τῶν τιμῶν δόσιν καὶ τὴν ἐπουράνιον δόξαν, ἀνοίξεις δὲ πῦρ ἄσβεστον καὶ γέενναν καὶ κολαστήρια καὶ πικροὺς ἐν ὀδύναις αἰῶνας, ἀντὶ μακρᾶς καὶ μακαρίας ζωῆς. Μή με νομίσῃς, ὥσπερ μητέρα τινὰ ἢ τροφόν, ψευδῆ σοι μορμολύκεια ἐπισείειν, ὥσπερ ἐκεῖναι ποιεῖν περὶ τοὺς νηπίους τῶν παίδων εἰώθασιν· ὅταν θρηνῶσιν ἄτακτα καὶ ἀπέραντα, δι' ἐπιπλάστων διηγημάτων κατασιγάζουσιν. Ταῦτα δὲ οὐ μῦθος, ἀλλὰ λόγος ἀψευδεῖ προκεκηρυγμένος φωνῇ. Καὶ ἴσθι γε ἀκριβῶς κατὰ τὴν εὐαγγελικὴν πρόρρησιν, «ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ»[1]. Ἀλλὰ καὶ σῶμα τὸ ἐν θήκαις ἀφανισθὲν ἀναστήσεται καὶ ψυχὴ ἡ αὐτὴ ἡ τῷ θανάτῳ ἀποκλεισθεῖσα, πάλιν ἐνοικήσει τῷ σώματι. Καὶ τῶν βεβιωμένων ἔλεγχος ἀκριβὴς παραστήσεται, οὐκ ἄλλων μαρτυρούντων, ἀλλ' αὐτῆς μαρτυρούσης τῆς συνειδήσεως. Ἑκάστῳ δὲ τὰ πρὸς ἀξίαν παρὰ τοῦ δικαίου κριτοῦ ἀντιμετρηθήσεται. Αὐτῷ πρέπει δόξα, κράτος καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2. Ματθ. 5,18.

ΟΜΙΛΙΑ

ΟΤΙ ΟΥΚ ΕΣΤΙΝ ΑΙΤΙΟΣ ΤΩΝ ΚΑΚΩΝ Ο ΘΕΟΣ

[329] 1. Πολλοὶ τῆς διδασκαλίας οἱ τρόποι, οἱ διὰ ἱεροψάλτου Δαβὶδ παρὰ τοῦ ἐνεργοῦντος ἐν αὐτῷ Πνεύματος ὑποδειχθέντες ἡμῖν. Ποτὲ μὲν γάρ, τὰ οἰκεῖα πάθη διηγούμενος ἡμῖν ὁ προφήτης καὶ ὅπως ἤνεγκε τὰ συμπίπτοντα γενναίως, διὰ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος διδασκαλίαν ἡμῖν ἐναργεστάτην τῆς ὑπομονῆς καταλιμπάνει, ὡς ὅταν λέγῃ· «Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;»[1] ποτὲ δὲ τὴν ἀγαθότητα συνίστησι τοῦ Θεοῦ καὶ τὸ τάχος αὐτοῦ τῆς ἀντιλήψεως, ἣν παρέχεται τοῖς ἀληθινῶς ἐκζητοῦσιν αὐτόν, λέγων· «ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου»[2]· ἰσοδυναμοῦντα τῷ προφήτῃ φθεγγόμενος τῷ εἰπόντι· «ἔτι λαλοῦντος σου, ἐρεῖ· ἰδοὺ πάρειμι»[3]. Τουτέστιν· οὐκ ἔφθην ἐπικαλεσάμενος καὶ προέλαβε τὸ τέλος τῆς ἐπικλήσεως ἡ ἀκοὴ τοῦ Θεοῦ. Πάλιν ἱκετηρίας προσφέρων τῷ Θεῷ καὶ δεήσεις, ἐκδιδάσκει ἡμᾶς τίνα τρόπον προσῆκε τοὺς ἐν ἁμαρτίαις ὄντας ἐξιλεοῦσθαι τὸν Θεόν· «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με»[4]. Ἐν δὲ τῷ δωδεκάτῳ ψαλμῷ παράτασίν τινα πειρασμοῦ ἐνδειξάμενος ἐν τῷ λέγειν· «ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;»[5] καὶ δι' ὅλου τοῦ ψαλμοῦ διδάξας ἡμᾶς μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσιν, ἀλλ' ἀναμένειν τὴν ἀγαθότητα τοῦ Θεοῦ καὶ εἰδέναι, ὅτι οἰκονομίᾳ τινὶ παραδίδωσιν ἡμᾶς ταῖς θλίψεσιν, κατὰ τὴν ἀναλογίαν τῆς ἐνυπαρχούσης ἑκάστῳ πίστεως τὸ μέτρον ἐπάγων τῶν βασανιστηρίων. Ἐπεὶ οὖν εἴρηται τό, «ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;»[6] καὶ τό, «ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;»[7], εὐθὺς μεταβαίνει ἐπὶ τὸ τῶν ἀθέων κακόν· οἳ, ὅταν μικρὸν αὐτοῖς τι τῶν κατὰ τὸν βίον προσκρούσῃ, μὴ φέροντες τὰς δυσκολωτέρας τῶν πραγμάτων περιστάσεις, εὐθὺς ἀμφίβολοι γίνονται ταῖς διανοίαις, εἰ ἔστι Θεὸς ἐπιμελούμενος τῶν τῇδε, εἰ ἐφορᾷ τὰ καθ' ἕκαστον, εἰ διανέμει ἑκάστῳ τὰ πρὸς ἀξίαν. Εἶτα, ὅταν ἐπὶ πλεῖον ἴδωσιν ἑαυτοὺς παρατεινομένους ἐν τοῖς ἀβουλήτοις, βεβαιοῦσιν ἐν ἑαυτοῖς τὸ πονηρὸν δόγμα καὶ ἀποφαίνονται ἐν ταῖς καρδίαις αὐτῶν, ὅτι οὐκ ἔστι Θεός. «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός»[8]. Καὶ τοῦτο ἐμβαλλόμενος εἰς τὸν ἑαυτοῦ νοῦν, ἀφειδῶς λοιπὸν διὰ πάσης ἁμαρτίας χωρεῖ. Εἰ γὰρ οὐκ ἔστιν ὁ ἐπισκοπῶν, εἰ οὐκ ἔστιν ὁ ἀντιδιδοὺς ἑκάστῳ κατὰ τὴν ἀξίαν τῶν βεβιωμένων, τί κωλύει κατα-

---

1. Ψαλ. 3,2. 2. Ψαλ. 4,2. 3. Ἡσ. 58,9. 4. Ψαλ. 6,2. 5. Ψαλ. 12,2. 6. Ἔνθ' ἀν. 7. Ἔνθ' ἀν. 8. Ψαλ. 13,1.

δυναστεύειν τὸν πένητα, ὀρφανοὺς φονεύειν, χήραν καὶ προσήλυτον ἀποκτείνειν, πάσης ἀνοσίας πράξεως κατατολμᾶν, ἀκαθάρτοις καὶ βδελυκτοῖς πάθεσι καὶ **[332]** πάσαις κτηνώδεσιν ἐπιθυμίαις μολύνεσθαι; Διὰ τοῦτο ὡς ἐπόμενον τῷ μὴ εἶναι Θεόν, ἐπήγαγε τό· «διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν»[1]. Ἀμήχανον γὰρ ἐκτραπῆναι τῆς δικαίας ὁδοῦ, μὴ λήθην Θεοῦ ταῖς ψυχαῖς νοσήσαντας.

2. Πόθεν τὰ ἔθνη παραδέδοται «εἰς ἀδόκιμον νοῦν, καὶ ποιεῖ τὰ μὴ καθήκοντα»[2]; Οὐκ ἐπειδὴ εἶπον, «οὐκ ἔστι Θεός»[3]; Πόθεν ἐμπεπτώκασιν εἰς τὰ πάθη τῆς ἀτιμίας καὶ «αἱ μὲν θήλειαι παρ' αὐτοῖς μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν, ἄρρενες δὲ ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργάζονται»[4]; Οὐκ ἐπειδὴ «ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι κτηνῶν καὶ τετραπόδων καὶ ἑρπετῶν»[5]; Ἄφρων οὖν, ὡς ἀληθῶς ἐστερημένος νοῦ καὶ φρονήσεως, ὁ λέγων, ὅτι οὐκ ἔστι Θεός. Παραπλήσιος δὲ τούτῳ καὶ οὐδὲν κατὰ τὴν ἀφροσύνην ἀπολειπόμενος καὶ ὁ λέγων τῶν κακῶν αἴτιον εἶναι τὸν Θεόν. Ὁμότιμον γὰρ αὐτῶν εἶναι τίθεμαι τὴν ἁμαρτίαν, διότι ἑκάτεροι ὁμοίως ἀρνοῦνται τὸν ἀγαθόν· ὁ μὲν οὐκ εἶναι τὸ παράπαν λέγων, ὁ δὲ οὐκ ἀγαθὸν αὐτὸν εἶναι διοριζόμενος. Εἰ γὰρ κακῶν αἴτιος, οὐκ ἀγαθὸς δηλονότι· ὥστε ἀμφοτέρωθέν ἐστιν ἄρνησις τοῦ Θεοῦ. Πόθεν οὖν, φησίν, αἱ νόσοι; πόθεν αἱ τῶν θανάτων ἀωρίαι; πόθεν αἱ πανωλεθρίαι τῶν πόλεων; τὰ ναυάγια, οἱ πόλεμοι, οἱ λοιμοί; Καὶ γὰρ κακά, φησί, ταῦτα καὶ πάντα Θεοῦ ποιήματα. Ὥστε τίνα ἔχομεν ἄλλον καὶ οὐχὶ τὸν Θεὸν τῶν γινομένων ἐπαιτιάσασθαι; Δεῦρο δὴ οὖν, ἐπειδὴ εἰς τὸ πολυθρύλλητον ἐμπεπτώκαμεν ζήτημα, ἐπί τινα ὁμολογουμένην ἀρχὴν τὸν λόγον ἀναγαγόντες, φιλοπονώτερον διαλαβόντες τὸ πρόβλημα, τρανὴν καὶ ἀσύγχυτον τὴν περὶ αὐτοῦ ἐξήγησιν πειραθῶμεν ποιήσασθαι.

3. Ἓν μὲν δὴ τοῦτο ἔχειν δεῖ προειλημμένον ἐν ταῖς διανοίαις ἡμῶν, ὅτι, ποίημα ὄντες τοῦ ἀγαθοῦ Θεοῦ καὶ ὑπ' αὐτοῦ συγκροτούμενοι, μικρά τε καὶ μείζω περὶ ἡμᾶς οἰκονομοῦντος, οὔτε πάθοιμεν, ἄν τι, μὴ βουλομένου Θεοῦ, οὔτε μὴν ὧν πάσχομεν βλαβερόν τί ἐστιν, ἢ τοιοῦτον, ὥστε ἐνεῖναι βέλτιόν τι κἂν ἐπινοίᾳ λαβεῖν. Ἐκ Θεοῦ μὲν γὰρ οἱ θάνατοι· οὐ μὴν πονηρὸν πάντως ὁ θάνατος, πλὴν εἰ μή τις λέγοι τὸν τοῦ ἁμαρτωλοῦ· διότι τῶν ἐν ᾅδου κολάσεων ἀρχὴ τυγχάνει ἡ ἀπαλλαγὴ τῶν ἐντεῦθεν. Πάλιν δὲ τὰ ἐν ᾅδου κακὰ οὐ Θεὸν ἔχει τὸν αἴτιον, ἀλλ' ἡμᾶς αὐτούς. Ἀρχὴ γὰρ καὶ ῥίζα τῆς ἁμαρτίας τὸ ἐφ' ἡμῖν καὶ τὸ αὐτεξούσιον. Οἷς γὰρ ἐξῆν ἀπεχομένοις τοῦ κακοῦ μηδὲν δεινὸν ἔχειν, οὗτοι δι' ἡδονῆς **[333]** εἰς τὴν ἁμαρτίαν δελεασθέντες, τίνα ἂν εἴποιμεν εὔπρεπῆ λόγον, τὸ μὴ οὐχὶ αὐτοὶ ἑαυτοῖς αἴτιοι τῶν ἀλγεινῶν γεγενῆσθαι; Κακὸν τοίνυν τὸ

1. Ψαλ. 13,1. 2. Ρωμ. 1,28. 3. Ψαλ. 13,1. 4. Πρβλ. Ρωμ. 1,26-27. 5. Ρωμ. 1,23.

μὲν ὡς πρὸς τὴν ἡμετέραν αἴσθησιν, τὸ δὲ ὡς πρὸς τὴν ἑαυτοῦ φύσιν. Τὸ μὲν οὖν φύσει κακὸν ἐξ ἡμῶν ἤρτηται, ἀδικία, ἀσέλγεια, ἀφροσύνη, δειλία, φθόνοι, φόνοι, φαρμακεῖαι, ῥαδιουργίαι καὶ ὅσα τούτοις συγγενῆ παθήματα, τὴν κατ' εἰκόνα τοῦ κτίσαντος γεγενημένην ψυχὴν καταρρυπαίνοντα, ἐπισκοτεῖν αὐτῆς τῷ κάλλει πέφυκε. Πάλιν κακὸν λέγομεν τὸ ἡμῖν ἐπίπονον καὶ ὀδυνηρὸν πρὸς τὴν αἴσθησιν, νόσον σώματος καὶ πληγὰς σώματος καὶ τῶν ἀναγκαίων τὴν ἔνδειαν καὶ ἀδοξίας καὶ χρημάτων ζημίας καὶ οἰκείων ἀποβολάς· ὧν ἕκαστον ἡμῖν ὑπὸ τοῦ φρονίμου καὶ ἀγαθοῦ Δεσπότου πρὸς τὸ συμφέρον ἐπάγεται. Πλοῦτον μὲν γὰρ ἀφαιρεῖται τῶν κακῶς κεχρημένων, τὸ πρὸς ἀδικίαν αὐτῶν ὄργανον διαφθείρων· νόσον δὲ ἐπάγει, οἷς λυσιτελέστερον τὸ πεπεδῆσθαι τοῖς μέλεσιν, ἢ ἀκωλύτους ἔχειν τὰς πρὸς τὸ ἁμαρτάνειν ὁρμάς· θάνατοι δὲ ἐπάγονται, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένου· λιμοὶ δὲ καὶ αὐχμοὶ καὶ ἐπομβρίαι, κοιναί τινές εἰσι πληγαὶ πόλεων καὶ ἐθνῶν, τοῦ κακοῦ τὴν ἀμετρίαν κολάζουσαι. Ὡς οὖν εὐεργέτης ὁ ἰατρός, κἂν πόνους κἂν ἀλγηδόνας ἐμποιῇ τῷ σώματι (τῇ νόσῳ γὰρ μάχεται, οὐχὶ τῷ κάμνοντι)· οὕτως ἀγαθὸς ὁ Θεός, ὁ τὴν σωτηρίαν τῷ παντὶ διὰ τῶν μερικῶν κολάσεων διοικούμενος. Σὺ δὲ τῷ ἰατρῷ μὲν οὐδὲν ἐγκαλεῖς, τὰ μὲν τέμνοντι, τὰ δὲ καίοντι, τὰ δὲ παντελῶς ἐξαιροῦντι τοῦ σώματος· ἀλλὰ καὶ χρήματά που ὑποτελεῖς καὶ σωτῆρα προσαγορεύεις, ὅτι ἐν ὀλίγῳ μέρει τὴν νόσον ἴστησι, πρὶν εἰς ὅλον τὸ σῶμα τὸ πάθος διαχυθῆναι. Ὅταν δὲ ἴδῃς πόλιν ἐπικατασεισθεῖσαν τοῖς ἐνοικοῦσιν, ἢ πλοῖον αὔτανδρον κατὰ θαλάσσης διαλυθέν, κατὰ τοῦ ἀληθινοῦ ἰατροῦ καὶ σωτῆρος γλῶσσαν κινεῖν βλάσφημον οὐκ ὀκνεῖς. Καίτοιγε ἐχρῆν συνιέναι, ὅτι, μέτρια μὲν καμνόντων καὶ ἰάσιμα τῶν ἀνθρώπων, αἱ ἐξ ἐπιμελείας ὠφέλειαι παραλαμβάνονται· ὅταν δὲ κρεῖττον ἀποδειχθῇ τῆς θεραπείας τὸ πάθος, ἀναγκαία γίνεται τοῦ ἀχρειωθέντος ἡ ἀλλοτρίωσις, ὡς μὴ διὰ συνεχείας τὴν νόσον βαδίζουσαν ἐπὶ τὰ καίρια προελθεῖν. Ὥσπερ οὖν τῆς τομῆς ἢ τοῦ καυτῆρος οὐχ ὁ ἰατρὸς αἴτιος, ἀλλ' ἡ νόσος· οὕτω καὶ οἱ τῶν πόλεων ἀφανισμοί, ἐκ τῆς ἀμετρίας τῶν ἁμαρτανομένων τὴν ἀρχὴν ἔχοντες, τὸν Θεὸν ἀπάσης μέμψεως ἀπολύουσιν.

4. Ἀλλ' εἴπερ ἀναίτιος τῶν κακῶν ὁ Θεός, φησί, πῶς **[336]** εἴρηται τό, «ἐγὼ ὁ κατασκευάσας φῶς καὶ ποιήσας σκότος, ποιῶν εἰρήνην καὶ κτίζων κακά»[1]; Καὶ πάλιν· «κατέβη, φησί, κακὰ παρὰ Κυρίου ἐπὶ πύλας Ἰερουσαλήμ»[2]· καὶ «οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε»[3]. Καὶ ἐν τῇ μεγάλῃ ᾠδῇ τοῦ Μωυσέως· «ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι»[4]. Ἀλλ'

1. Ἡσ. 45,7. 2. Μιχ. 1,12. 3. Ἀμ. 3,6. 4. Δευτ. 32,39.

οὐδὲν τούτων τῷ συνιέντι τὸν νοῦν τῆς Γραφῆς κατηγορίαν ἔχει Θεοῦ, ὡς κακῶν αἰτίου καὶ ποιητοῦ· ὁ γὰρ εἰπών, ὅτι «ἐγὼ ὁ κατασκευάζων φῶς, καὶ ποιῶν σκότος»[1], τῆς κτίσεως δημιουργὸν ἑαυτὸν διὰ τούτων παρίστησιν, οὐχὶ κακοῦ τινος ποιητήν. Ἵνα τοίνυν μὴ νομίσῃς ἄλλον μὲν εἶναι τοῦ φωτὸς αἴτιον, ἄλλον δὲ τοῦ σκότους, ἑαυτὸν εἶπε τῶν δοκούντων ἐναντίως ἔχειν κατὰ τὴν κτίσιν ποιητὴν καὶ τεχνίτην, ἵνα μὴ ζητήσῃς ἄλλον πυρὸς δημιουργὸν καὶ ἄλλον ὕδατος, μηδὲ ἄλλον ἀέρος καὶ ἄλλον γῆς· ἐπειδὴ δοκεῖ πως ἀντικεῖσθαι ἀλλήλοις κατὰ τὴν τῶν ποιοτήτων ἐναντίωσιν. Ὅπερ ἤδη τινὲς παθόντες εἰς πολυθεΐαν ἐτράπησαν. «Ποιεῖ δὲ εἰρήνην, καὶ κτίζει κακά»[2]. Μάλιστα μὲν εἰρήνην ποιεῖ ἐν σοί, ὅταν διὰ τῆς καλῆς διδασκαλίας κατειρηνεύσῃ τὸν νοῦν σου καὶ διαλλάξῃ τὰ πάθη τὰ πρὸς τὴν ψυχὴν στασιάζοντα· «κτίζει δὲ κακά»[3]· τουτέστι, μετακοσμεῖ αὐτὰ καὶ εἰς βελτίωσιν ἄγει· ὥστε, ἀποθέμενα τὸ εἶναι κακά, τὴν τοῦ καλοῦ φύσιν μεταλαβεῖν. «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός»[4]. Οὐχὶ νῦν δημιούργησον, ἀλλὰ τὴν ἐκ τῆς κακίας παλαιωθεῖσαν ἀνακαίνισον. Καί, «ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον»[5]. Τό, κτίσῃ, οὐχ ἵνα ἐκ τοῦ μὴ ὄντος παραγάγῃ, ἀλλ' ἵνα τοὺς ὄντας μετακοσμήσῃ. Καί, «εἴ τις ἐν Χριστῷ καινὴ κτίσις»[6]. Καὶ πάλιν ὁ Μωυσῆς· «οὐκ αὐτὸς οὗτος ὅ σου πατὴρ ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔκτισέ σε;»[7]. Σαφῶς γὰρ ἐνταῦθα μετὰ τὴν ποίησιν ἡ κτίσις ταχθεῖσα διδάσκει ἡμᾶς, ὅτι ἐπὶ τῆς βελτιώσεως τέτακται, ὡς τὰ πολλά, τὸ τῆς κτίσεως ὄνομα. Ὥστε ποιῶν εἰρήνην, οὕτω ποιεῖ τὴν εἰρήνην, ἐκ τοῦ τὰ κακὰ κτίζειν· τουτέστι, μεταποιεῖν καὶ εἰς βελτίωσιν ἄγειν. Ἔπειτα μέντοι, κἂν εἰρήνην νοήσῃς τὴν ἐκ τῶν πολέμων ἄδειαν καὶ κακὸν εἴπῃς τὰ ἀκολουθοῦντα τοῖς πολεμοῦσιν ἐπίπονα, ἐκστρατείας ὑπερορίους, πόνους, ἀγρυπνίας, ἀγωνίας, ἱδρῶτας, τραύματα, σφαγάς, πόλεων ἁλώσεις, ἀνδραποδισμούς, ἀπαγωγάς, τὰ ἐλεεινὰ τῶν ἁλόντων θεάματα, καὶ ἁπλῶς ὅσα λυπηρὰ τοῖς πολέμοις ἀκολουθεῖ, λέγομεν κρίσει Θεοῦ δικαίᾳ γενέσθαι, τοῖς ἀξίοις κολάσεως διὰ τῶν πολέμων τὰς **[337]** τιμωρίας ἐπάγοντος. Ἦ σὺ ἐβούλου μὴ καταπρησθῆναι τὰ Σόδομα μετὰ τὰς ἀνοσιουργίας ἐκείνας; ἢ μὴ καταστραφῆναι τὴν Ἱερουσαλήμ, μηδὲ ἐρημωθῆναι τὸν ναόν, μετὰ τὴν φρικτὴν κατὰ τοῦ Κυρίου τῶν Ἰουδαίων ἀπόνοιαν; Γενέσθαι δὲ ταῦτα πῶς ἄλλως δίκαιον ἦν καὶ οὐχὶ διὰ τῶν Ῥωμαϊκῶν χειρῶν, αἷς παρέδωκαν τὸν Κύριον ἡμῶν οἱ ἐχθροὶ τῆς ζωῆς ἑαυτῶν Ἰουδαῖοι; Ὥστε ἔστι ποτὲ καὶ δικαίως τὰ ἐκ τοῦ πολέμου κακὰ τοῖς ἀξίοις ἐπενεχθῆναι. Καὶ τό, ἐγὼ ἀποκτενῶ, καὶ ζῇν ποιήσω, δέχου μέν, εἰ βούλει, κατὰ τὸ πρόχειρον τῆς ἐννοίας. Οἰκοδομεῖ γὰρ ὁ φόβος τοὺς ἁπλουστέρους. Πατάξω, κἀγὼ ἰάσομαι. Καὶ τοῦτο χρήσιμον αὐτόθεν νοούμενον· τῆς μὲν πληγῆς ἐμποιούσης

1. Πρβλ. Ἡσ. 45,7. 2. Ἐνθ' ἀν. 3. Ἐνθ' ἀν. 4. Ψαλ. 50,12. 5. Ἐφ. 2,15. 6. Β' Κορ. 5,17. 7. Πρβλ. Δευτ. 32,6.

τὸν φόβον, τῆς δὲ ἰάσεως εἰς τὴν ἀγάπην προτρεπομένης. Ἔξεστί γε μήν σοι καὶ ὑψηλότερον διανοηθῆναι περὶ τῶν εἰρημένων. Ἐγὼ ἀποκτενῶ τῇ ἁμαρτίᾳ· καὶ ζῆν ποιήσω τῇ δικαιοσύνῃ. «Ὅσον γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται»[1]. Οὐκ ἄλλον οὖν ἀποκτείνει καὶ ἄλλον ζωοποιεῖ· ἀλλὰ τὸν αὐτόν, δι' ὧν ἀποκτείνει, ζωοποιεῖ· καὶ δι' ὧν πατάσσει, ἰᾶται, κατὰ τὴν Παροιμίαν τὴν λέγουσαν, ὅτι «σὺ μὲν πατάξεις αὐτὸν ῥάβδῳ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ»[2]. Οὐκοῦν πατάσσεται μὲν σάρξ, ἵνα ἰαθῇ ψυχή· θανατοῦται δὲ ἁμαρτία, ἵνα ζήσῃ δικαιοσύνη. Τὸ δέ, «κατέβη κακὰ παρὰ Κυρίου ἐπὶ πύλας Ἰερουσαλήμ»[3], αὐτόθεν ἔχει τὴν ἐξήγησιν. Ποῖα κακά; Ψόφος ἁρμάτων καὶ ἱππευόντων. Ὅταν δὲ ἀκούσῃς, «οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε»[4]· νόει τῆς κακίας τὸ ὄνομα· ὅτι τὴν προσαγομένην κάκωσιν τοῖς ἁμαρτάνουσιν ἐπὶ διορθώσει τῶν πλημμελημάτων ὁ λόγος αἰνίσσεται. «Ἐκάκωσα γάρ σε, φησι, καὶ ἐλιμαγχόνησα, ἵνα εὖ σε ποιήσω»[5]· πρὶν εἰς ἄμετρον ἐκχυθῆναι τὴν ἀδικίαν ἱστῶν, ὥσπερ ῥεῦμα ἔρκει τινὶ κρατερῷ καὶ διαφράγματι κατεχόμενον.

5. Διὰ ταῦτα νόσοι πόλεων καὶ ἐθνῶν, ἀέρων αὐχμοὶ καὶ ἀφορίαι γῆς καὶ αἱ κατὰ τὸν βίον ἑκάστῳ τραχύτεραι περιπτώσεις, τῆς κακίας τὴν αὔξησιν περικόπτουσαι. Ὥστε τὰ τοιαῦτα κακὰ παρὰ Θεοῦ γίνεται, τῶν ἀληθινῶν κακῶν τὴν γένεσιν ἐξαιροῦντα. Αἵ τε γὰρ κατὰ τὸ σῶμα κακώσεις καὶ τὰ ἐκτὸς ἐπίπονα, πρὸς ἐποχὴν τῆς ἁμαρτίας ἐπινενόηνται. Ἀναιρεῖ τοίνυν τὸ κακὸν ὁ Θεός· οὐχὶ δὲ τὸ κακὸν ἐκ τοῦ Θεοῦ· ἐπεὶ καὶ ὁ ἰατρὸς ἐξαιρεῖ τὴν νόσον, ἀλλ' οὐχὶ νόσον ἐμβάλλει τῷ σώματι. Πόλεων δὲ ἀφανισμοί, σεισμοί τε καὶ ἐπικλύσεις καὶ στρατοπέδων ἀπώλειαι καὶ ναυάγια καὶ πᾶσαι πολυάνθρωποι φθοραί, εἴτε ἐκ γῆς, εἴτε ἐκ θαλάσσης, εἴτε ἐξ ἀέρος, ἢ πυρός, ἢ ἐξ ὁποιασοῦν αἰτίας ἐπιγινόμεναι, εἰς τὸν τῶν ὑπολειπομένων σωφρονισμὸν γίνονται, τὴν πάνδημον πονηρίαν δημοσίαις μάστιξι τοῦ Θεοῦ σωφρονίζοντος. Τὸ μὲν οὖν κυρίως κακὸν ἡ ἁμαρτία, ὅπερ μάλιστά ἐστι τῆς τοῦ κακοῦ προσηγορίας ἄξιον, **[340]** ἐκ τῆς ἡμετέρας προαιρέσεως ἤρτηται, ἐφ' ἡμῖν ὄντος ἢ ἀπέχεσθαι τῆς πονηρίας, ἢ μοχθηροῖς εἶναι· τῶν δὲ λοιπῶν τὰ μὲν ὡς ἀγωνίσματα εἰς ἐπίδειξιν ἀνδρείας προβάλλεται, ὡς τῷ Ἰὼβ ἡ τῶν παίδων στέρησις, ὁ τοῦ πλούτου παντὸς ἐν μιᾷ καιροῦ ῥοπῇ ἀφανισμός, ἡ διὰ τοῦ ἕλκους πληγή· τὰ δὲ ὡς θεραπεία τῶν ἡμαρτημένων, ὡς τῷ Δαβὶδ ἡ περὶ τὸν οἶκον αἰσχύνη, παρανόμου ἐπιθυμίας δίκας ἀποτινύντι. Καὶ πάλιν κατενοήσαμεν ἄλλο τι εἶδος τῶν φοβερῶν παρὰ τῆς δικαίας τοῦ Θεοῦ κρίσεως ἐπαγόμενον, ἐπὶ τῷ σωφρονεστέρους ποιῆσαι τοὺς πρὸς ἁμαρτίαν εὐολισθήτους· ὡς ὁ Δαθὰν καὶ Ἀβειρὼν ὑπὸ τῆς γῆς κατεπόθησαν, βαράθρων αὐτοῖς καὶ χασμάτων

1. Πρβλ. Β' Κορ. 4,16. 2. Παρμ. 23,14. 3. Μιχ. 1,12. 4. Ἀμ. 3,6. 5. Πρβλ. Δευτ. 8,3.

ὑπορραγέντων[1]. Ἐνταῦθα γὰρ οὐκ αὐτοί τι τῷ τοιούτῳ τρόπῳ τῆς κολάσεως βελτίους γεγόνασι (πῶς γὰρ οἱ καταβάντες εἰς ᾅδου;), ἀλλὰ τοὺς λοιποὺς σωφρονεστέρους τῷ ὑποδείγματι πεποιήκασιν. Οὕτω καὶ Φαραὼ κατεποντίσθη πανστρατιᾷ[2]. Οὕτως ἐξετρίβησαν οἱ προενοικοῦντες τὴν Παλαιστίνην. Ὥστε, κἂν λέγῃ ποτὲ ὁ Ἀπόστολος, «σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν»[3], μὴ κατασκευήν τινα πονηρὰν οἰωθῶμεν εἶναι τοῦ Φαραὼ (οὕτω γὰρ ἐπὶ τὸν κατασκευάσαντα δικαιότερον ἡ αἰτία μετενεχθήσεται)· ἀλλ' ὅταν ἀκούσῃς, σκεύη, νόει, ὅτι πρός τι χρήσιμον ἕκαστος ἡμῶν πεποίηται. Καὶ ὥσπερ ἐν τῇ μεγάλῃ οἰκίᾳ τὸ μέν τοι χρυσοῦν ἐστι σκεῦος, τὸ δὲ ἀργυροῦν, τὸ δὲ ὀστράκινον, τὸ δὲ ξύλινον[4] (τῆς προαιρέσεως ἑκάστου τὴν πρὸς τὰς ὕλας ὁμοιότητα παρεχομένης· καὶ χρυσοῦν μέν ἐστι σκεῦος ὁ καθαρὸς τὸν τρόπον καὶ ἄδολος· ἀργυροῦν δέ, ὁ ὑποδεέστερος ἐκείνου κατὰ τὴν ἀξίαν· ὀστράκινον δέ, ὁ τὰ γήινα φρονῶν καὶ πρὸς συντριβὴν ἐπιτήδειος· καὶ ξύλινον, ὁ εὐκόλως διὰ τῆς ἁμαρτίας καταρρυπούμενος καὶ ὕλη γινόμενος τῷ αἰωνίῳ πυρί)· οὕτω καὶ ὀργῆς σκεῦος, ὁ πᾶσαν τὴν τοῦ διαβόλου ἐνέργειαν, ὥσπερ ἀγγεῖον, χωρήσας καὶ διὰ τὴν ἐγγενομένην αὐτῷ ἐκ τῆς φθορᾶς δυσωδίαν οὐκέτι ἀχθῆναι πρὸς χρῆσιν δυνάμενος, ἀλλ' ἀφανισμοῦ μόνου καὶ ἀπωλείας ἄξιος. Διόπερ, ἐπειδὴ ἔδει συντριβῆναι αὐτόν, ὁ φρόνιμος καὶ σοφὸς τῶν ψυχῶν οἰκονόμος **[341]** διῳκήσατο αὐτὸν περιφανῆ γενέσθαι καὶ πᾶσιν ἐξάκουστον, ἵνα ἄλλοις γοῦν ὠφέλιμος διὰ τοῦ πάθους γένηται, ἐπειδὴ αὐτὸς ὑπὸ τῆς ἄγαν κακίας ἀνίατος ἦν. Ἐσκλήρυνε δὲ αὐτόν, τῇ μακροθυμίᾳ καὶ τῇ τῆς τιμωρίας ἀναβολῇ ἐπιτείνων αὐτοῦ τὴν κακίαν, ἵνα, εἰς τὸν ἔσχατον ὅρον αὐξηθείσης αὐτοῦ τῆς πονηρίας, τὸ δίκαιον ἐπ' αὐτῷ τῆς θείας κρίσεως διαφανῇ. Διὰ τοῦτο ἀπὸ μικροτέρων πληγῶν ἀεὶ προστιθεὶς καὶ ἐπιτείνων τὰς μάστιγας, οὐκ ἐμάλαξεν αὐτοῦ τὸ ἀνυπότακτον, ἀλλ' εὗρισκεν αὐτὸν καὶ τῆς ἀνοχῆς τοῦ Θεοῦ καταφρονοῦντα καὶ τοῖς ἐπαγομένοις αὐτῷ δεινοῖς ὑπὸ τῆς συνηθείας ἐμμελετήσαντα. Καὶ οὐδὲ οὕτως αὐτὸν παρέδωκε τῷ θανάτῳ ἕως αὐτὸς ἑαυτὸν ἐποίησεν ὑποβρύχιον, ἐν τῇ ὑπερηφανίᾳ τῆς καρδίας αὐτοῦ τῆς τῶν δικαίων πορείας κατατολμήσας καὶ νομίσας ὥσπερ τῷ λαῷ τοῦ Θεοῦ, οὕτω καὶ αὐτῷ βάσιμον ἔσεσθαι τὴν Ἐρυθρὰν θάλασσαν. Ταῦτα δὴ οὖν εἰδὼς παρὰ Θεοῦ καὶ διῃρημένα ἔχων παρὰ σεαυτῷ τοῦ κακοῦ τὰ εἴδη καὶ εἰδὼς τί μὲν τὸ ὄντως κακόν, ὅτι ἡ ἁμαρτία, ἧς τὸ τέλος ἀπώλεια· τί δὲ τὸ δοκοῦν μὲν κακὸν διὰ τὸ τῆς αἰσθήσεως ἀλγεινόν, ἀγαθοῦ δὲ δύναμιν ἔχον, ὡς αἱ κακώσεις αἱ πρὸς ἐποχὴν τῆς ἁμαρτίας ἐπαγόμεναι, ὧν οἱ καρποὶ σωτηρία ψυχῶν αἰώνιος· παῦσαι δυσαρεστούμενος ταῖς θείαις οἰκονομίαις· ὅλως δὲ μήτε Θεὸν αἴτιον ἡγοῦ τῆς ὑπάρξεως τοῦ κακοῦ, μήτε ἰδίαν ὑπόστασιν τοῦ κακοῦ εἶναι φαντά-

1. Πρβλ. Ἀριθ. 16,31 ἑξ. 2. Πρβλ. Ἐξ. 14,28. 3. Ρωμ. 9,22. 4. Πρβλ. Β' Τιμ. 2,20.

ζου. Οὐ γάρ ἐστιν ὑφεστώς, ὥσπερ τι ζῷον ἡ πονηρία· οὔτε οὐσίαν αὐτῆς ἐνυπόστατον παραστῆσαι ἔχομεν. Στέρησις γὰρ ἀγαθοῦ ἐστι τὸ κακόν. Ὀφθαλμὸς ἐκτίσθη· τυφλότης δὲ τῇ ἀπωλείᾳ τῶν ὀφθαλμῶν ἐπεγένετο. Ὥστε, εἰ μὴ ἦν φθαρτῆς φύσεως ὁ ὀφθαλμός, οὐκ ἂν ἔσχεν ἡ τυφλότης παρείσδυσιν. Οὕτω καὶ τὸ κακὸν οὐκ ἐν ἰδίᾳ ὑπάρξει ἐστίν, ἀλλὰ τοῖς τῆς ψυχῆς πληρώμασιν ἐπιγίνεται. Οὔτε γὰρ ἀγέννητόν ἐστιν, ὡς ὁ τῶν ἀσεβῶν λόγος, ὁμότιμον ποιούντων τῇ ἀγαθῇ φύσει τὴν πονηράν, εἴπερ ἀμφότερα ἄναρχα καὶ γενέσεώς ἐστιν ἀνώτερα· οὔτε μὴν γεννητόν. Εἰ γὰρ πάντα ἐκ τοῦ Θεοῦ, πῶς τὸ κακὸν ἐκ τοῦ ἀγαθοῦ; Οὐδὲ γὰρ τὸ αἰσχρὸν ἀπὸ τοῦ καλοῦ, οὔτε ἡ κακία ἀπὸ τῆς ἀρετῆς. Ἀνάγνωθι τὴν κοσμοποιίαν καὶ εὑρήσεις, ὅτι ἐκεῖ «πάντα καλά, καὶ καλὰ λίαν»[1]. Οὐ τοίνυν τὸ κακὸν τοῖς καλοῖς συνεκτίσθη. Ἀλλ' οὐδὲ ἡ νοητὴ κτίσις, γενομένη παρὰ τοῦ Δημιουργοῦ, ἀναμεμιγμένη τῇ πονηρίᾳ εἰς τὸ εἶναι παρήχθη. Εἰ γὰρ τὰ σωματικὰ οὐκ ἔσχεν ἐν ἑαυτοῖς τὸ κακὸν συγκτι[344]ζόμενον, πῶς ἂν τὰ νοητά, τοσοῦτον καθαρότητι καὶ ἁγιασμῷ διαφέροντα, κοινὴν ἂν ἔσχε πρὸς τὸ κακὸν τὴν ὑπόστασιν; Ἀλλὰ μήν ἔστι τὸ κακὸν καὶ ἡ ἐνέργεια δείκνυσι πολὺ κατὰ τοῦ βίου παντὸς κεχυμένον. Πόθεν οὖν αὐτῷ τὸ εἶναι, εἰ μήτε ἄναρχόν ἐστι, φησί, μήτε πεποίηται;

6. Ἀντερωτάσθωσαν οἱ τὰ τοιαῦτα ἐπιζητοῦντες· πόθεν νόσοι; πόθεν αἱ πηρώσεις τοῦ σώματος; Οὔτε γὰρ ἀγέννητος ἡ νόσος, οὔτε μὴν δημιούργημα τοῦ Θεοῦ. Ἀλλ' ἐκτίσθη μὲν τὰ ζῶα μετὰ τῆς πρεπούσης αὐτοῖς κατασκευῆς κατὰ φύσιν καὶ παρήχθη πρὸς τὴν ζωὴν ἀπηρτισμένα τοῖς μέλεσιν, ἐνόσησε δὲ τοῦ κατὰ φύσιν παρατραπέντα. Ἐξίσταται γὰρ τῆς ὑγιείας ἢ διὰ πονηρὰν δίαιταν ἢ δι' ἡσδηποτοῦν νοσοποιοῦ αἰτίας. Οὐκοῦν σῶμα μὲν ἔκτισεν ὁ Θεός, οὐχὶ νόσον· καὶ ψυχὴν τοίνυν ἐποίησεν ὁ Θεός, οὐχὶ δὲ ἁμαρτίαν· ἐκακώθη δὲ ἡ ψυχή, παρατραπεῖσα τοῦ κατὰ φύσιν. Τί δὲ ἦν αὐτῇ τὸ προηγούμενον ἀγαθόν; Ἡ προσεδρεία τοῦ Θεοῦ καὶ ἡ διὰ τῆς ἀγάπης συνάφεια· ἧς ἐκπεσοῦσα, τοῖς ποικίλοις καὶ πολυτρόποις ἀρρωστήμασιν ἐκακώθη. Διὰ τί δὲ ὅλως δεκτικὴ τοῦ κακοῦ; Διὰ τὴν αὐτεξούσιον ὁρμήν, μάλιστα πρέπουσαν λογικῇ φύσει. Λελυμένη γὰρ πάσης ἀνάγκης καὶ αὐθαίρετον ζωὴν λαβοῦσα παρὰ τοῦ κτίσαντος, διὰ τὸ κατ' εἰκόνα γεγενῆσθαι Θεοῦ, νοεῖν μὲν τὸ ἀγαθὸν καὶ οἶδεν αὐτοῦ τὴν ἀπόλαυσιν καὶ ἔχει ἐξουσίαν καὶ δύναμιν, ἐπιμένουσα τῇ τοῦ καλοῦ θεωρίᾳ καὶ τῇ ἀπολαύσει τῶν νοητῶν, διαφυλάσσειν αὐτῆς τὴν κατὰ φύσιν ζωήν· ἔχει δὲ ἐξουσίαν καὶ ἀπονεῦσαί ποτε τοῦ καλοῦ. Τοῦτο δὲ συμβαίνει αὐτῇ, ὅταν, κόρον λαβοῦσα τῆς μακαρίας τέρψεως καὶ οἷον νυσταγμῷ τινι βαρυνθεῖσα καὶ ἀπορρυεῖσα τῶν ἄνωθεν, τῇ σαρκὶ διὰ τὰς αἰσχρὰς τῶν ἡδονῶν ἀπολαύσεις ἀναμιχθῇ.

7. Ἦν ποτε ὁ Ἀδὰμ ἄνω, οὐ τόπῳ, ἀλλὰ τῇ προαιρέσει, ὅτε,

1. Πρβλ. Γεν. 1,31.

ἄρτι ψυχωθεὶς καὶ ἀναβλέψας πρὸς οὐρανόν, περιχαρὴς τοῖς ὁρωμένοις γενόμενος, ὑπεραγαπῶν τὸν εὐεργέτην, ζωῆς μὲν αἰωνίου ἀπόλαυσιν χαρισάμενον, τρυφαῖς δὲ παραδείσου ἐναναπαύσαντα, ἀρχὴν δὲ δόντα κατὰ τὴν τῶν ἀγγέλων καὶ ἀρχαγγέλοις αὐτὸν ποιήσαντα ὁμοδίαιτον καὶ φωνῆς θείας ἀκροατήν· ἐπὶ πᾶσι τούτοις ὑπερασπιζόμενος παρὰ Θεοῦ καὶ ἀπολαύων τῶν αὐτοῦ ἀγαθῶν, ταχὺ πάντων ἀναπλησθεὶς καὶ οἷον ἐξυβρίσας τῷ κόρῳ, τὸ τοῖς σαρκίνοις ὀφθαλμοῖς φανὲν τερπνὸν τοῦ νοητοῦ προετίμησε κάλλους καὶ τὴν πλησμονὴν τῆς γαστρὸς τῶν πνευματικῶν ἀπολαύσεων τιμιωτέραν ἔθετο. **[345]** Ἔξω μὲν εὐθὺς ἦν τοῦ παραδείσου, ἔξω δὲ τῆς μακαρίας ἐκείνης διαγωγῆς, οὐκ ἐξ ἀνάγκης κακός, ἀλλ' ἐξ ἀβουλίας, γενόμενος. Διὰ τοῦτο καὶ ἥμαρτε μὲν διὰ μοχθηρὰν προαίρεσιν, ἀπέθανε δὲ διὰ τὴν ἁμαρτίαν· «τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος»[1]. Ὅσον γὰρ ἀφίστατο τῆς ζωῆς, τοσοῦτον προσήγγιζε τῷ θανάτῳ. Ζωὴ γὰρ ὁ Θεός· στέρησις δὲ τῆς ζωῆς θάνατος. Ὥστε ἑαυτῷ τὸν θάνατον ὁ Ἀδὰμ διὰ τῆς ἀναχωρήσεως τοῦ Θεοῦ κατεσκεύασε, κατὰ τὸ γεγραμμένον, «ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται»[2]. Οὕτως οὐχὶ Θεὸς ἔκτισε θάνατον, ἀλλ' ἡμεῖς ἑαυτοῖς ἐκ πονηρᾶς γνώμης ἐπεσπασάμεθα. Οὐ μὴν οὐδὲ ἐκώλυσε τὴν διάλυσιν διὰ τὰς προειρημένας αἰτίας, ἵνα μὴ ἀθάνατον ἡμῖν τὴν ἁρωστίαν διατηρήσῃ. Ὥσπερ ἂν εἴ τις σκεῦος πήλινον διαρρυὲν μὴ καταδέχοιτο παραδοῦναι πυρί, ἕως ἂν τὸ ἐνυπάρχον αὐτῷ πάθος διὰ τῆς ἀναπλάσεως ἐξιάσαιτο. Ἀλλὰ διὰ τί οὐκ ἐν τῇ κατασκευῇ τὸ ἀναμάρτητον ἔσχομεν, φησίν, ὥστε μηδὲ βουλομένοις ἡμῖν ὑπάρχειν τὸ ἁμαρτάνειν; Ὅτι καὶ σὺ τοὺς οἰκέτας, οὐχ ὅταν δεσμίους ἔχῃς, εὔνους ὑπολαμβάνεις, ἀλλ' ὅταν ἑκουσίως ἴδῃς ἀποπληροῦντάς σοι τὰ καθήκοντα. Καὶ Θεῷ τοίνυν οὐ τὸ ἠναγκασμένον φίλον, ἀλλὰ τὸ ἐξ ἀρετῆς κατορθούμενον. Ἀρετὴ δὲ ἐκ προαιρέσεως καὶ οὐκ ἐξ ἀνάγκης γίνεται. Προαίρεσις δὲ τῶν ἐφ' ἡμῖν ἤρτηται. Τὸ δὲ ἐφ' ἡμῖν ἐστι τὸ αὐτεξούσιον. Ὁ τοίνυν μεμφόμενος τὸν ποιητὴν ὡς μὴ φυσικῶς κατασκευάσαντα ἡμᾶς ἀναμαρτήτους, οὐδὲν ἕτερον ἢ τὴν ἄλογον φύσιν τῆς λογικῆς προτιμᾷ καὶ τὴν ἀκίνητον καὶ ἀνόρμητον τῆς προαιρετικῆς καὶ ἐμπράκτου. Ταῦτα εἰ καὶ παρεκβατικῶς, ἀλλ' ἀναγκαίως εἴρηται, ἵνα μή, εἰς βυθὸν διαλογισμῶν ἐμπεσών, πρὸς τῇ στερήσει τῶν περισπουδάστων, ἔτι καὶ Θεοῦ στέρησιν ὑπομείνῃς. Παυσώμεθα οὖν ἐπανορθούμενοι τὸν σοφόν. Παυσώμεθα τὸ βέλτιον τῶν παρ' αὐτοῦ γινομένων ἐπιζητοῦντες. Εἰ γὰρ καὶ τῶν κατὰ μέρος οἰκονομουμένων διαφεύγουσιν ἡμᾶς οἱ λόγοι, ἀλλ' ἕν γε ἐκεῖνο δόγμα ταῖς ψυχαῖς ἡμῶν ἐνυπαρχέτω, τό, μηδὲν κακὸν παρὰ τοῦ ἀγαθοῦ γίνεσθαι.

8. Ἐπεισέρχεται δὲ τούτῳ, κατὰ τὸ ἀκόλουθον τῆς ἐννοίας καὶ τὸ περὶ τοῦ διαβόλου ζήτημα. Πόθεν ὁ διάβολος, εἰ μὴ παρὰ Θεοῦ τὰ κακά; Τί οὖν φαμεν; Ὅτι ὁ αὐτὸς ἡμῖν ἀρκέσει καὶ περὶ τοῦ ζητή-

1. Ρωμ. 6,23. 2. Ψαλ. 72,27.

ματος τούτου λόγος, ὁ καὶ περὶ τῆς ἐν ἀνθρώποις πονηρίας ἀποδοθείς. Πόθεν γὰρ πονηρὸς ὁ ἄνθρωπος; Ἐκ τῆς οἰκείας αὐτοῦ προαιρέσεως. Πόθεν κακὸς ὁ διάβολος; Ἐκ τῆς αὐτῆς αἰτίας, αὐθαίρετον ἔχων καὶ αὐτὸς τὴν ζωὴν καὶ ἐπ' αὐτῷ κειμένην τὴν ἐξουσίαν ἢ παραμένειν τῷ Θεῷ, ἢ ἀλλοτριωθῆναι τοῦ ἀγαθοῦ. Γαβριὴλ ἄγγελος καὶ παρέστηκε τῷ Θεῷ διηνεκῶς. Ὁ Σατανᾶς ἄγγελος καὶ ἐξέπεσε τῆς οἰκείας τάξεως παντελῶς. Κἀκεῖνον ἡ προαίρεσις δι[348]εφύλαξεν ἐν τοῖς ἄνω καὶ τοῦτον, κατέρριψε τῆς γνώμης τὸ αὐτεξούσιον. Ἐδύνατο γὰρ κἀκεῖνος ἀποστατῆσαι καὶ οὗτος μὴ ἐκπεσεῖν. Ἀλλὰ τὸν μὲν διεσώσατο τῆς ἀγάπης τοῦ Θεοῦ τὸ ἀκόρεστον· τὸν δὲ ἀπόβλητον ἔδειξεν ἡ ἐκ Θεοῦ ἀναχώρησις. Τοῦτό ἐστι τὸ κακόν, ἡ τοῦ Θεοῦ ἀλλοτρίωσις. Μικρὰ περιστροφὴ ὀφθαλμοῦ ἡ μετὰ ἡλίου ἡμᾶς εἶναι ποιεῖ, ἢ μετὰ τῆς σκιᾶς τοῦ σώματος ἡμῶν. Κἀκεῖ μὲν ἀναβλέψαντι ἕτοιμον τὸ φωτισθῆναι, ἀπονεύσαντι δὲ πρὸς τὴν σκιὰν ἀναγκαία ἡ σκότωσις. Οὕτω πονηρὸς ὁ διάβολος, ἐκ προαιρέσεως ἔχων τὴν πονηρίαν, οὐ φύσις ἀντικειμένη τῷ ἀγαθῷ. Πόθεν οὖν αὐτῷ ὁ πρὸς ἡμᾶς πόλεμος; Ὅτι, δοχεῖον ὢν πάσης κακίας, ἐδέξατο καὶ τοῦ φθόνου τὴν νόσον καὶ ἐβάσκηνεν ἡμῖν τῆς τιμῆς. Οὐ γὰρ ἤνεγκεν ἡμῶν τὴν ἄλυπον ζωὴν τὴν ἐν τῷ παραδείσῳ· δόλοις δὲ καὶ μηχαναῖς ἐξαπατήσας τὸν ἄνθρωπον καὶ τὴν ἐπιθυμίαν αὐτοῦ, ἣν ἔσχε πρὸς τὸ ὁμοιωθῆναι τῷ Θεῷ, ταύτῃ πρὸς τὴν ἀπάτην ἀποχρησάμενος, ἔδειξε τὸ ξύλον καὶ ἐπηγγείλατο διὰ τῆς βρώσεως αὐτοῦ ὅμοιον τῷ Θεῷ καταστήσειν. «Ἐὰν γὰρ φάγητε», φησίν, «ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν»[1]. Οὐκ ἐχθρὸς τοίνυν ἡμῖν κατεσκευάσθη, ἀλλ' ἐκ ζηλοτυπίας ἡμῖν εἰς ἔχθραν ἀντικατέστη. Ὁρῶν γὰρ ἑαυτὸν ἐκ τῶν ἀγγέλων καταρριφέντα, οὐκ ἔφερε βλέπειν τὸν γήινον ἐπὶ τὴν ἀξίαν τῶν ἀγγέλων διὰ προκοπῆς ἀνυψούμενον.

9. Ἐπειδὴ οὖν γέγονεν ἐχθρός, ἐφύλαξεν ἡμῖν ὁ Θεὸς τὴν πρὸς αὐτὸν ἐναντίωσιν, δι' ὧν τῷ ὑπηρετησαμένῳ αὐτῷ θηρίῳ διελέγετο, πρὸς αὐτὸν ἀναφέρων τὴν ἀπειλήν· ὅτι «ἔχθραν θήσω ἀναμέσον σοῦ» «καὶ ἀναμέσον τοῦ σπέρματος αὐτῆς»[2]. Τῷ ὄντι γὰρ βλαβεραὶ αἱ πρὸς τὴν κακίαν καταλλαγαί· ἐπειδὴ νόμος οὗτος φιλίας δι' ὁμοιότητος πέφυκε τοῖς συναπτομένοις ἐγγίνεσθαι. Ὅθεν ὀρθῶς ἔχει τό, «φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί»[3]. Ὡς γὰρ ἐν τοῖς νοσοποιοῖς χωρίοις ὁ κατὰ μέρος ἀναπνεόμενος ἀὴρ λανθάνουσαν νόσον τοῖς ἐνδιαιτωμένοις ἐναποτίθεται· οὕτως ἡ πρὸς τὰ φαῦλα συνήθεια μεγάλα κακὰ ταῖς ψυχαῖς ἐναφίησι κἂν τὴν παραυτίκα αἴσθησιν τὸ βλαβερὸν διαφεύγῃ. Διὰ τοῦτο ἀδιάλλακτος ἡ πρὸς τὸν ὄφιν ἔχθρα. Εἰ δὲ τὸ ὄργανον τοσούτου μίσους ἄξιον, πόσον ἐχθραίνειν ἡμᾶς τῷ ἐνεργήσαντι προσῆκεν; Ἀλλὰ καὶ διὰ τί ἦν τὸ ξύλον, φησίν, ἐν τῷ παραδείσῳ, δι' οὗ τῷ διαβόλῳ ἔμελλε προχωρήσειν ἡ καθ' ἡμῶν ἐπιχείρησις; Εἰ γὰρ μὴ

1. Γεν. 3,5. 2. Γεν. 3,15. 3. Α' Κορ. 15,33.

εἶχε τῆς ἀπάτης τὸ δέλεαρ, πῶς ἂν ἡμᾶς διὰ τῆς παρακοῆς εἰς τὸν θάνατον ὑπηγάγετο; Ὅτι ἔδει εἶναι ἐντολὴν τὴν δοκιμάζουσαν ἡμῶν τὸ ὑπήκοον. Διὰ τοῦτο ἦν φυτὸν ὡραίων καρπῶν εὔφορον, ἵνα ἐν τῇ ἀποχῇ τοῦ ἡδέος, τὸ τῆς ἐγκρατείας καλὸν ἐπιδειξάμενοι, τῶν τῆς ὑπομονῆς στεφάνων δικαίως ἀξιωθῶμεν. Ἐπηκολούθησε δὲ τῇ βρώσει οὐ παρακοὴ μόνον τῆς ἐντολῆς, ἀλλὰ καὶ ἡ ἐπίγνωσις τῆς γυμνότητος. «Ἔφαγον γάρ, φησί, καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλ[349]μοὶ καὶ ἔγνωσαν, ὅτι γυμνοί εἰσιν»[1]. Ἔδει δὲ μὴ γινώσκειν τὴν γύμνωσιν, ἵνα μὴ ὁ νοῦς τοῦ ἀνθρώπου περιεσπᾶτο πρὸς τὴν τοῦ λείποντος ἀναπλήρωσιν, ἀμφιέσματα ἑαυτῷ καὶ τῆς γυμνότητος παραμυθίαν ἐπινοῶν καὶ ὅλως τῇ τῆς σαρκὸς ἐπιμελείᾳ τῆς πρὸς Θεὸν ἐνατενίσεως ἀφελκόμενος. Διὰ τί δὲ οὐκ εὐθὺς αὐτῷ συγκατεσκευάσθη καὶ τὰ ἐνδύματα; Ὅτι οὔτε φυσικὰ ἔπρεπεν εἶναι ταῦτα, οὔτε ἐκ τέχνης. Τὰ μὲν γὰρ φυσικὰ ἴδια τῶν ἀλόγων ἐστίν· οἷον πτερὰ καὶ τρίχες καὶ δερμάτων παχύτητες, στέγειν μὲν χειμῶνας, φέρειν δὲ καύσωνας δυναμένων. Ἐν οἷς οὐδὲν τὸ ἕτερον τοῦ ἑτέρου διενήνοχεν, ὁμοτίμου πᾶσι τῆς φύσεως ὑπαρχούσης· ἀνθρώπῳ δὲ ἔπρεπε, κατὰ τὴν ἀναλογίαν τῆς πρὸς Θεὸν ἀγάπης, παρηλλαγμένας τῶν ἀγαθῶν τὰς ἀντιδόσεις ὑπάρχειν. Αἱ δὲ ἐκ τέχνης ἐπιτηδεύσεις ἀσχολίαις ἂν ἐγένοντο πρόξενοι· ὃ μάλιστα φευκτὸν ἦν ὡς βλαβερὸν τῷ ἀνθρώπῳ. Διὸ καὶ ὁ Κύριος, εἰς τὴν ἐν τῷ παραδείσῳ ζωὴν ἡμᾶς ἀνακαλούμενος, ἐκβάλλει τὴν μέριμναν τῶν ψυχῶν, λέγων· «μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε»[2]. Οὔτε οὖν ἐκ φύσεως ἔπρεπεν αὐτῷ ἔχειν τὰ σκεπάσματα, οὔτε ἐκ τέχνης· ἀλλ' ἕτερα ἦν ηὐτρεπισμένα, ἐπιδειξαμένῳ τὴν ἀρετήν, τὰ ἐκ τῆς τοῦ Θεοῦ χάριτος ἐπανθεῖν τῷ ἀνθρώπῳ καὶ περιαστράπτειν μέλλοντα φωτειναῖς τισι περιβολαῖς ὁποῖαι αἱ τῶν ἀγγέλων, ὑπὲρ τὴν τῶν ἀνθέων ποικιλίαν, ὑπὲρ τὴν τῶν ἀστέρων φαιδρότητα καὶ στιλβότητα. Διὰ τοῦτο οὖν οὐκ εὐθὺς αὐτῷ τὰ ἐνδύματα, ἐπειδὴ ἄθλα ἦν ἀρετῆς ἀποκείμενα τῷ ἀνθρώπῳ, εἰς ἃ φθάσαι ὑπὸ τῆς ἐπηρείας τοῦ διαβόλου οὐχ ἐπετράπη. Ἀγωνιστὴς τοίνυν ἔστηκεν ἡμῖν ὁ διάβολος διὰ τὸ ἐξ ἐπηρείας πάλαι γενόμενον ἡμῖν πτῶμα, τοῦ Κυρίου οἰκονομήσαντος ἡμῖν τὴν πρὸς αὐτὸν πάλην, ὥστε διὰ τῆς ὑπακοῆς ἀναπαλαῖσαι ἡμᾶς καὶ καταστεφανωθῆναι τοῦ ἀντιδίκου. Εἴθε μὲν γὰρ μὴ ἐγεγόνει διάβολος, ἀλλ' ἔμεινεν ἐν τῇ τάξει, ἐν ᾗ ἐξ ἀρχῆς ἐτάχθη παρὰ τοῦ ταξιάρχου! Ἐπειδὴ δὲ γέγονεν ἀποστάτης, ἐχθρὸς μὲν Θεοῦ, ἐχθρὸς δὲ ἀνθρώπων τῶν κατ' εἰκόνα Θεοῦ γεγενημένων (διὰ τοῦτο γάρ ἐστι μισάνθρωπος, διότι καὶ θεομάχος· καὶ μισεῖ μὲν ἡμᾶς ὡς κτήματα τοῦ Δεσπότου, μισεῖ δὲ ὡς ὁμοιώματα τοῦ Θεοῦ)· συνεχρήσατο οὖν αὐτοῦ τῇ πονηρίᾳ εἰς γυμνάσιον τῶν ἡμετέρων ψυχῶν ὁ σοφῶς καὶ προνοητικῶς οἰκονομῶν τὰ ἀνθρώπινα, ὥσπερ ἰατρὸς τῷ τῆς ἐχίδνης ἰῷ εἰς σωτηρίων φαρμάκων κατασκευὴν

1. Γεν. 3,7. 2. Ματθ. 6,25.

ἀποχρώμενος. Τίς οὖν ἦν ὁ διάβολος; καὶ τίς ἡ τάξις; καὶ τί τὸ ἀξίωμα; καὶ πόθεν ὅλως Σατανᾶς προσηγόρευται; Σατανᾶς μὲν οὖν, διὰ τὸ ἀντικεῖσθαι τῷ ἀγαθῷ οὕτω γὰρ σημαίνει ἡ φωνὴ τῶν Ἑβραίων, ὡς ἐν ταῖς Βασι[352]λείαις μεμαθήκαμεν· ἐξήγειρε γάρ, φησί, Κύριος τῷ Σολομῶντι Σατᾶν, Ἄδερ τὸν βασιλέα τῶν Σύρων[1]· διάβολος δέ, ἐπειδὴ ὁ αὐτὸς καὶ συνεργὸς τῆς ἁμαρτίας ἡμῶν καὶ κατήγορος γίνεται· χαίρων μὲν ἡμῶν ἀπωλείᾳ, παραδειγματίζων δὲ ἡμᾶς ἐπὶ τοῖς πεπραγμένοις. Φύσις δὲ αὐτοῦ ἀσώματος, κατὰ τὸν Ἀπόστολον, τὸν εἰπόντα· «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»[2]. Ἀξίωμα δὲ ἀρχικόν· «πρὸς» γὰρ «τὰς ἀρχάς», φησί, «καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου»[3]. Τόπος δὲ τῆς ἀρχῆς ὁ ἐναέριος, ὥς φησιν ὁ αὐτός· «κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθίας[4]. Διὰ τοῦτο καὶ κόσμου ἄρχων[5] λέγεται, ἐπειδὴ περίγειος αὐτοῦ ἐστιν ἡ ἀρχή. Καὶ οὕτως φησὶν ὁ Κύριος· «νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω»[6]. Καὶ πάλιν· ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν[7].

10. Ἐπειδὴ δὲ εἴρηται περὶ τῆς στρατιᾶς τοῦ διαβόλου, ὅτι «πνευματικά» ἐστι «τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις»[8], εἰδέναι χρή, ὅτι οὐρανὸν συνήθως ἡ Γραφὴ τὸν ἀέρα λέγει, ὡς τό, «τὰ πετεινὰ τοῦ οὐρανοῦ»[9] καὶ τό, «ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν»[10]· τουτέστιν, ἐπὶ πολὺ τοῦ ἀέρος ὑψοῦνται. Διὰ τοῦτο καὶ ὁ Κύριος εἶδε «τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα»[11]· τουτέστι, τῆς οἰκείας ἀρχῆς ἐκπεσόντα καὶ κάτω γενόμενον, ἵνα πατῆται ὑπὸ τῶν εἰς Χριστὸν ἠλπικότων. Ἔδωκε γὰρ δύναμιν τοῖς ἑαυτοῦ μαθηταῖς «τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ»[12]. Ἐπεὶ οὖν ἐξεβλήθη ἡ πονηρὰ αὐτοῦ τυραννὶς καὶ ἐκαθάρθη ὁ περίγειος τόπος διὰ τοῦ σωτηρίου πάθους, τοῦ εἰρηνεύσαντος τὰ ἐπὶ τῆς γῆς καὶ τὰ ἐν τοῖς οὐρανοῖς[13], κηρύσσεται ἡμῖν λοιπὸν ἡ βασιλεία τῶν οὐρανῶν· Ἰωάννου μὲν λέγοντος· «ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν»[14]· τοῦ Κυρίου δὲ πανταχοῦ τὸ Εὐαγγέλιον τῆς βασιλείας κηρύσσοντος· καὶ ἔτι πρότερον τῶν ἀγγέλων βοώντων· «δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη»[15]· καὶ τῶν ἀγαλλιωμένων ἐπὶ τῇ εἰς Ἱερουσαλὴμ εἰσόδῳ τοῦ Κυρίου ἡμῶν καὶ κραζόντων· εἰρήνη ἐν οὐρανοῖς καὶ δόξα ἐν ὑψίστοις[16]. Καὶ ὅλως, μυρίαι εἰσὶ τῶν ἐπινικίων αἱ φωναί, τὴν εἰς τέλος καθαίρεσιν τοῦ ἐχθροῦ παριστῶσαι, ὡς οὐδεμιᾶς πάλης, οὐδὲ ἀγῶνος ἐν τοῖς ἄνω ὑπολειπομένου ἡμῖν, οὐδέ τινος

1. Γ' Βασ. 11,14. 2. Ἐφ. 6,12. 3. Ἔνθ' ἀν. 4. Ἐφ. 2,2. 5. Πρβλ. Ἰω. 12,31. 6. Ἔνθ' ἀν. 7. Πρβλ. Ἰω. 14,30. 8. Ἐφ. 6,12. 9. Ματθ. 6,26. 10. Ψαλ. 106,26. 11. Λουκ. 10,18. 12. Λουκ. 10,19. 13. Πρβλ. Κολ. 1,20. 14. Ματθ. 3,2. 15. Λουκ. 2,14. 16. Πρβλ. Λουκ. 19,38.

ἀνθισταμένου καὶ παρατρέποντος ἡμᾶς τῆς μακαρίας ζωῆς, ἀλλ' **[353]** ἄλυπον ἡμῶν τὴν διαδοχὴν ἐχόντων πρὸς τὸ ἐξῆς καὶ ἀπολαυόντων ἡμῶν τοῦ ξύλου τῆς ζωῆς εἰς τὸ διηνεκές, οὗ μετασχεῖν ἐξ ἀρχῆς διὰ τὴν τοῦ ὄφεως ἐπιβουλὴν ἐκωλύθημεν. «Ἔταξε» γὰρ ὁ Θεὸς «τὴν φλογίνην ῥομφαίαν φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς»[1]· ἣν παρελθόντες ἀκωλύτως, εἶσω γενοίμεθα τῆς ἀπολαύσεως τῶν καλῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

1. Γεν. 3,24.

ΟΜΙΛΙΑ Γ'

ΚΑΤΑ ΟΡΓΙΖΟΜΕΝΩΝ

1. Ὥσπερ ἐπὶ τῶν ἰατρικῶν παραγγελμάτων, ὅταν εὐστόχως καὶ κατὰ τὸν λόγον τῆς τέχνης γίγνηται, μετὰ τὴν πεῖραν μάλιστα τὸ ἀπ' αὐτῶν ὠφέλιμον διαδείκνυται, οὕτως ἐπὶ τῶν πνευματικῶν παραινέσεων, ἐπειδὰν μάλιστα τὴν ἔκβασιν μαρτυροῦσαν λάβῃ τὰ παραγγέλματα, τότε τὸ σοφὸν αὐτῶν καὶ ὠφέλιμον πρὸς τὴν ἐπανόρθωσιν τοῦ βίου καὶ τὴν τῶν πειθομένων τελείωσιν ἀναφαίνεται. Ἀκούοντες μὲν γὰρ τῶν Παροιμιῶν διαρρήδην ἀποφαινομένων, ὅτι «ὀργὴ ἀπόλλυσι καὶ φρονίμους»[1]· ἀκούοντες δὲ καὶ ἀποστολικῶν παραινέσεων· «πᾶσα ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ[2]· καὶ τοῦ Κυρίου λέγοντος τὸν ὀργιζόμενον εἰκῇ τῷ ἀδελφῷ αὐτοῦ ἔνοχον εἶναι τῇ κρίσει[3], νῦν ὅτε εἰς πεῖραν ἤλθομεν τοῦ πάθους, οὐκ ἐν ἡμῖν γενομένου, ἀλλ' ἔξωθεν ἡμῖν προσπεσόντος ὥσπερ καταιγίδος τινὸς ἀδοκήτου, τότε μάλιστα τὸ θαυμαστὸν τῶν θείων παραγγελμάτων ἐπέγνωμεν. Δόντες μὲν αὐτοὶ τῇ ὀργῇ τόπον[4], ὥσπερ ῥεύματι βιαίῳ διέξοδον, καταμανθάνοντες δὲ ἡσυχίᾳ τὴν ἀσχήμονα ταραχὴν τῶν ὑπὸ τοῦ πάθους κατεχομένων, ἐπέγνωμεν ἐπὶ τῶν ἔργων τὴν εὐστοχίαν τοῦ ῥήματος· ὅτι «ἀνὴρ θυμώδης οὐκ εὐσχήμων»[5]. Ἐπειδὰν γὰρ ἅπαξ παρωσάμενον τοὺς λογισμοὺς τὸ πάθος αὐτὸ τὴν δυναστείαν τῆς ψυχῆς παραλάβῃ, ἀποθηριοῖ παντελῶς τὸν ἄνθρωπον καὶ οὐδὲ ἄνθρωπον εἶναι συγχωρεῖ, οὐκέτι ἔχοντα τὴν ἐκ τοῦ λόγου βοήθειαν. Ὅπερ γὰρ τοῖς ἰοβόλοις ἐστὶν ὁ ἰός, τοῦτο τοῖς παροξυνθεῖσιν ὁ θυμὸς γίνεται. Λυσσῶσιν ὥσπερ οἱ κύνες, ἅττουσιν ὥσπερ οἱ σκορπίοι, δάκνουσιν ὥσπερ οἱ ὄφεις. Οἶδε καὶ ἡ Γραφὴ τοὺς ὑπὸ τοῦ πάθους κεκρατημένους ταῖς τῶν θηρίων προσηγορίαις ἀποκαλεῖν, οἷς ἑαυτοὺς διὰ τῆς πονηρίας ὡκείωσαν. Κύνας γὰρ ἐννεοὺς[6] καὶ «ὄφεις, γεννήματα ἐχιδνῶν»[7] καὶ τὰ τοιαῦτα προσαγορεύει. Οἱ γὰρ ἕτοιμοι πρὸς τὴν κατ' ἀλλήλων φθορὰν καὶ τὴν κατὰ τῶν **[356]** ὁμοφύλων βλάβην, εἰκότως ἂν θηρίοις καὶ ἰοβόλοις συναριθμοῖντο, οἷς ἀδιάλλακτον ἐκ φύσεως ἐνυπάρχει πρὸς ἀνθρώπους τὸ μῖσος. Διὰ θυμὸν ἀχάλινοι γλῶσσαι καὶ ἀπύλωτα στόματα· χεῖρες ἀκρατεῖς, ὕβρεις, ὀνείδη, κατηγορίαι, πληγαί, τὰ ἄλλα ὅσα οὐδ' ἂν ἐξαριθμήσαιτό τις, ὀργῆς καὶ θυμοῦ ἔκγονά ἐστι πάθη. Διὰ θυμὸν καὶ ξίφος ἀκονᾶται· θάνατος ἀνθρώπου ἐκ χειρὸς ἀνθρωπείας τολμᾶται. Διὰ τοῦτον ἀδελφοὶ μὲν ἀλλήλους ἠγνόησαν,

---

1. Παρμ. 15,1. 2. Πρβλ. Ἐφ. 4,31. 3. Πρβλ. Ματθ. 5,22. 4. Πρβλ. Ρωμ. 12,19. 5. Παρμ. 11,25. 6. Πρβλ. Ἡσ. 56,10. 7. Ματθ. 23,33.

γονεῖς δὲ καὶ τέκνα τῆς φύσεως ἐπελάθοντο. Ἀγνοοῦσι μὲν γὰρ ἑαυτοὺς πρῶτον οἱ ὀργιζόμενοι, ἔπειτα καὶ πάντας ὁμοῦ τοὺς ἐπιτηδείους. Ὥσπερ γὰρ αἱ χαράδραι, πρὸς τὰ κοῖλα συρρέουσαι, τὸ προστυχὸν παρασύρουσιν, οὕτως αἱ τῶν ὀργιζομένων ὁρμαὶ βίαιοι καὶ ἀκάθεκτοι διὰ πάντων ὁμοίως χωροῦσιν. Οὐ πολιὰ τοῖς θυμουμένοις αἰδέσιμος, οὐκ ἀρετὴ βίου, οὐκ οἰκειότης γένους, οὐ προλαβοῦσαι χάριτες, οὐκ ἄλλο τι τῶν τιμίων. Μανία τίς ἐστιν ὀλιγοχρόνιος ὁ θυμός. Οἵ γε καὶ εἰς προῦπτον κακὸν ἑαυτοὺς πολλάκις ἐμβάλλουσι, τῇ πρὸς τὴν ἄμυναν σπουδῇ τοῦ καθ' ἑαυτοὺς ἀμελοῦντες. Οἱονεὶ γὰρ οἴστρῳ τῇ μνήμῃ, τῶν λελυπηκότων περικεντούμενοι, σφαδάζοντος αὐτοῖς τοῦ θυμοῦ καὶ πηδῶντος, οὐ πρότερον ἀπολήγουσι, πρὶν ἢ κακόν τι δοῦναι τῷ παροξύναντι, ἢ πού τι καὶ προσλαβεῖν ἐὰν τύχῃ· ὥσπερ που πολλάκις τὰ βιαίως καταρρηγνύμενα ἔπαθέ τι πλέον ἢ ἔδρασε τοῖς ἀντιτύποις περιθραυσθέντα.

2. Τίς ἂν ἐφίκοιτο τοῦ κακοῦ; ὅπως οἱ ὀξύρροποι πρὸς θυμὸν ὑπὸ τῆς τυχούσης προφάσεως ἐξαπτόμενον, βοῶντες καὶ ἀγριαίνοντες καὶ τίνος οὐχὶ ἰοβόλων ἀναιδέστερον ἐφορμῶντες, οὐ πρότερον ἴστανται πρὶν ἢ διὰ μεγάλου καὶ ἀνηκέστου κακοῦ, οἷον πομφόλυγος, αὐτοῖς τῆς ὀργῆς ἐκραγείσης, διαπνευσθῇ τὸ φλεγμαῖνον. Οὔτε γὰρ ξίφους ἀκμή, οὔτε πῦρ, οὔτε ἄλλο τι τῶν φοβερῶν ἱκανὸν τὴν ὑπὸ τῆς ὀργῆς ἐκμανεῖσαν ψυχὴν ἐπισχεῖν· οὐ μᾶλλόν γε ἢ τοὺς ὑπὸ δαιμόνων κατασχεθέντας, ὧν οὐδέν, οὔτε κατὰ τὸ σχῆμα, οὔτε κατὰ τὴν τῆς ψυχῆς διάθεσιν, οἱ ὀργιζόμενοι διαφέρουσιν. Ὀρεγομένοις γὰρ τῆς ἀντιλυπήσεως περιζεῖ μὲν τῇ καρδίᾳ τὸ αἷμα, ὥσπερ βίᾳ πυρὸς κυκώμενον καὶ παφλάζον· πρὸς δὲ τὴν ἐπιφάνειαν ἐξανθῆσαν, ἐν ἄλλῃ μορφῇ τὸν ὀργιζόμενον ἔδειξε, τὴν συνήθη πᾶσι καὶ γνωρίμην ὥσπερ τι προσωπεῖον ἐπὶ σκηνῆς ὑπαλλάξαν. Ὀφθαλμοὶ μὲν γὰρ ἐκείνοις οἱ οἰκεῖοί τε καὶ συνήθεις ἠγνόηνται· παράφρον δὲ τὸ ὄμμα καὶ πῦρ ἤδη βλέπει. Καὶ παραθήγει τὸν ὀδόντα, κατὰ τῶν συῶν τοὺς ὁμόσε χωροῦντας. Πρόσωπον πελιδνὸν καὶ ὕφαιμον· ὄγκος τοῦ σώματος ἐξοιδαίνων· φλέβες διαρρηγνύμεναι, ὑπὸ τῆς ἔνδοθεν ζάλης κλονουμένου [357] τοῦ πνεύματος. Φωνὴ τραχεῖα καὶ ὑπερτεινομένη καὶ ὁ λόγος ἄναρθρος καὶ εἰκῇ προεκπίπτων, οὐ κατὰ μέρος, οὐδὲ εὐτάκτως, οὐδὲ εὐσήμως προϊών. Ἐπειδὰν δὲ εἰς τὸ ἀνήκεστον, ὥσπερ φλοξ ὕλης ἀφθονίᾳ, τοῖς παροξύνουσιν ἐξαφθῇ, τότε δὴ τότε τὰ οὔτε λόγῳ ῥητὰ οὔτε ἔργῳ φορητὰ ἐπιδεῖν ἐστι θεάματα· χεῖρας μὲν διηρμένας κατὰ τῶν ὁμοφύλων καὶ πᾶσι μέρεσι τοῦ σώματος ἐπιφερομένας, πόδας δὲ ἀφειδῶς τοῖς καιριωτάτοις ἐναλλομένοις, πᾶν δὲ τὸ φανὲν ὅπλον τῇ μανίᾳ γινόμενον. Ἐὰν δὲ καὶ ἐκ τοῦ ἐναντίου τὸ ἴσον κακὸν ἀντιστρατευόμενον εὕρωσιν, ὀργὴν ἄλλην καὶ μανίαν ὁμότιμον· οὕτω δὴ συμπεσόντες ἔδρασαν ἀλλήλους καὶ ἔπαθον, ὅσα εἰκὸς τοὺς ὑπὸ τοιούτῳ δαίμονι στρατηγουμένους παθεῖν. Πηρώσεις γὰρ μελῶν ἢ καὶ θανάτους πολλάκις ἆθλα τῆς ὀργῆς οἱ μαχόμενοι ἀπηνέγκαντο. Ἦρξε χειρῶν ἀδίκων, ὁ δὲ

ἠμύνατο· ὁ δὲ ἀντεπήνεγκεν, ὁ δὲ οὐχ ὑφίεται. Καὶ τὸ μὲν σῶμα ταῖς πληγαῖς διακόπτεται, ὁ δὲ θυμὸς τοῦ ἀλγεινοῦ τὴν αἴσθησιν παραιρεῖται. Οὐ γὰρ ἄγουσι σχολὴν πρὸς τὴν ὧν πεπόνθασιν αἴσθησιν, ὅλης αὐτοῖς τῆς ψυχῆς πρὸς τὴν ἄμυναν τοῦ λελυπηκότος κεκινημένης.

3. Μὴ δὴ κακῷ τὸ κακὸν ἴασθε, μηδὲ ἐπιχειρεῖτε ἀλλήλους ὑπερβαίνειν ταῖς συμφοραῖς. Ἐν γὰρ ἀμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας, διότι ἀπέρχεται τὸ πλεῖον ἔχων τῆς ἁμαρτίας. Μὴ τοίνυν γένῃ κακοῦ πληρωτὴς ἑράνου, μηδὲ πονηροῦ δανείου πονηρότερος ἐκτιστής. Ὕβρισεν ὀργισθείς; Στῆσον τῇ σιωπῇ τὸ κακόν. Σὺ δὲ ὥσπερ ῥεῦμα τὴν ἐκείνου ὀργὴν εἰς τὴν ἰδίαν καρδίαν ὑποδεξάμενος, τοὺς ἀνέμους μιμῆ, διὰ τῆς ἀντιπνοίας ἀντιδιδόντας τὸ ἐνεχθέν. Μὴ διδασκάλῳ χρήσῃ τῷ ἐχθρῷ, μηδὲ ὁ μισεῖς, τοῦτο ζηλώσῃς. Μηδὲ γένῃ ὥσπερ κάτοπτρον τοῦ ὀργίλου, τὴν ἐκείνου μορφὴν ἐν σεαυτῷ δεικνύς. Ἐρυθρὸς ἐκεῖνος· σὺ δὲ οὐκ ἐφοινίχθης; Ὀφθαλμοὶ ὕφαιμοι· οἱ δὲ σοί, εἰπέ μοι, γαλήνην βλέπουσι; Φωνὴ τραχεῖα· ἡ δὲ σὴ ἡπία; Οὐδὲ ἡ ἐν ταῖς ἐρημίαις ἠχὼ οὕτως ἀνεκλάσθη ἀκεραία πρὸς τὸν φθεγξάμενον, ὡς ἐπὶ τὸν λοίδορον αἱ ὕβρεις ἐπαναστρέφουσι. Μᾶλλον δὲ ὁ μὲν ἦχος ὁ αὐτὸς ἀπεδόθη· ἡ δὲ λοιδορία μετὰ προσθήκης ἐπάνεισιν. Οἷα γὰρ ἀλλήλους ἐφυβρίζοντες ἀντιφθέγγονται; Ὁ μὲν εἶπεν ἀφανῆ καὶ ἐξ ἀφανῶν· ὁ δὲ ἀπεκάλεσεν οἰκοτρίβων οἰκότριβα· οὗτος πένητα, ἐκεῖνος ἀλήτην· οὗτος ἀμαθῆ, ἐκεῖνος παραπλῆγα· ἕως ἂν αὐτοῖς αἱ ὕβρεις, ὥσπερ τοξεύματα, ἐπιλείπωσιν. Εἶτα, ἐπειδὰν πᾶσαν λοιδορίαν διὰ τῆς γλώττης ἐκσφενδονήσωσιν, οὕτω λοιπὸν πρὸς τὴν διὰ τῶν ἔργων χωροῦσιν ἄμυναν. Θυμὸς μὲν γὰρ ἐγείρει μάχην, **[360]** μάχη δὲ γεννᾷ λοιδορίας, αἱ δὲ λοιδορίαι πληγάς, αἱ δὲ πληγαὶ τραύματα, ἐκ δὲ τραυμάτων πολλάκις θάνατοι. Ἀπὸ τῆς πρώτης ἀρχῆς τὸ κακὸν ἐπίσχωμεν, τὴν ὀργὴν πάσῃ μηχανῇ τῶν ψυχῶν ἐξελόντες. Οὕτω γὰρ ἂν δυνηθείημεν τὰ πλεῖστα τῶν κακῶν, ὥσπερ ῥίζῃ τινὶ καὶ ἀρχῇ, τῷ πάθει τούτῳ συνεκτεμεῖν. Ἐλοιδόρησε; Σὺ δὲ εὐλόγησον. Ἐτύπτησε; Σὺ δὲ ὑπόμεινον. Διαπτύει καὶ τὸ μηδὲν ἡγεῖταί σε; Σὺ δὲ ἔννοιαν λάβε σεαυτοῦ, ὅτι ἐκ γῆς ὑφέστηκας καὶ εἰς γῆν πάλιν ἀναλυθήσῃ[1]. Ὁ γὰρ τούτοις τοῖς λόγοις ἑαυτὸν προκατασχὼν πᾶσαν ἀτιμίαν ἐλάττονα εὑρήσει τῆς ἀληθείας. Οὕτω γὰρ καὶ τῷ ἐχθρῷ ἀμήχανον κατασκευάσεις τὴν ἄμυναν, ἄτρωτον σεαυτὸν ταῖς λοιδορίαις δεικνύς· καὶ σεαυτῷ μέγαν τῆς ὑπομονῆς, προξενήσεις τὸν στέφανον, τὴν ἑτέρου μανίαν ἀφορμὴν οἰκείας φιλοσοφίας ποιούμενος. Ὥστε, ἂν ἐμοὶ πείθῃ καὶ ἐπιδαψιλεύσῃ τῶν ὕβρεων. Ἀφανῆ σε εἶπε, καὶ ἄδοξον καὶ μηδένα μηδαμόθεν; Σὺ δὲ γῆν εἰπὲ καὶ σποδὸν σεαυτόν[2]. Οὐκ εἶ σεμνότερος τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὃς ἑαυτὸν ταῦτα ἀπεκάλει. Ἀμαθῆ καὶ πτωχὸν καὶ τοῦ μηδενὸς ἄξιον; Σὺ δὲ σκώληκα σεαυτὸν εἰπὲ καὶ ἀπὸ κοπρίας ἔχειν τὴν γένεσιν, τὰ τοῦ Δαβὶδ λέγων ῥήματα[3]. Τού-

1. Πρβλ. Γεν. 3,19. 2. Πρβλ. Γεν. 18,27. 3. Πρβλ. Ψαλ. 21,7.

τοις πρόσθες καὶ τὸ τοῦ Μωυσέως καλόν. Ἐκεῖνος, ὑπὸ Ἀαρὼν καὶ Μαρίας λοιδορηθείς, οὐ κατενέτυχε τῷ Θεῷ, ἀλλὰ προσηύχετο ὑπὲρ αὐτῶν[1]. Τίνων βούλει μαθητὴς εἶναι μᾶλλον, τῶν θεοφιλῶν καὶ μακαρίων ἀνδρῶν, ἢ τῶν ὑπὸ τοῦ πνεύματος τῆς πονηρίας πεπληρωμένων; Ὅταν σοι κινηθῇ τῆς λοιδορίας πειρασμός, νόμιζε κρίνεσθαι σεαυτόν, πότερον διὰ τῆς μακροθυμίας προσχωρεῖς τῷ Θεῷ, ἢ διὰ τῆς ὀργῆς ἀποτρέχεις πρὸς τὸν ἀντίδικον. Δὸς καιρὸν τοῖς λογισμοῖς σεαυτοῦ τὴν ἀγαθὴν ἐκλέξασθαι μερίδα. Ἡ γὰρ ὠφέλησάς τι κἀκεῖνον τῷ ὑποδείγματι τῆς πραότητος, ἢ χαλεπώτερον ἡμύνω διὰ τῆς ὑπεροψίας. Τί γὰρ ἂν γένοιτο ὀδυνηρότερον τῷ ἐχθρῷ, ἢ τὸν ἐχθρὸν ἑαυτοῦ ὁρᾶν ὕβρεων ὑψηλότερον; Μὴ καταβάλῃς σεαυτοῦ τὴν γνώμην, μηδὲ ἀνάσχῃ γενέσθαι ἐφικτὸς τοῖς ὑβρίζουσιν. Ἔασον αὐτὸν ἄπρακτά σου καθυλακτεῖν· ἐφ' ἑαυτῷ διαρρηγνύσθω. Ὥσπερ γὰρ ὁ τύπτων τὸν μὴ ἀλγοῦντα ἑαυτὸν τιμωρεῖται (οὔτε γὰρ τὸν ἐχθρὸν ἠμύνατο καὶ τὸν θυμὸν οὐκ ἀνέπαυσεν)· οὕτως ὁ τὸν ἀλοιδόρητον ὀνειδίζων παραμυθίαν εὑρεῖν τοῦ πάθους οὐ δύναται. Τοὐναντίον μὲν οὖν, ὅπερ ἔφην καὶ διαπρίεται. Εὐθὺς γὰρ ἐκ τῶν παρόντων οἷα ἑκάτερος ὑμῶν προσαγορεύεται; Ὁ μὲν λοίδορος, σὺ δὲ μεγαλόψυχος· ὁ μὲν ὀργίλος καὶ χαλεπός, σὺ δὲ μακρόθυμος καὶ πρᾶος· ὁ μὲν μεταγνώσεται ἐφ' οἷς ἐφθέγξατο, σὺ δὲ οὐδέποτε μεταμελήσῃ τῆς ἀρετῆς.

4. Τί δεῖ τὰ πολλὰ λέγειν; Τῷ μὲν ἀπέκλεισε τὴν τῶν οὐρανῶν βασιλείαν ἡ λοιδορία· λοίδοροι γὰρ **[361]** βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι[2]· σοὶ δὲ ἡτοίμασε τὴν βασιλείαν ἡ σιωπή. «Ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται»[3]. Ἀμυνόμενος δὲ καὶ εἰς ἴσον ἀντικαθιστάμενος τῷ λοιδόρῳ, τί καὶ ἀπολογήσῃ; Ὅτι παρώξυνε κατάρξας; Καὶ ποίας τοῦτο συγγνώμης ἄξιον; Οὐδὲ γὰρ ὁ πόρνος, ἐπὶ τὴν ἑταίραν τὴν αἰτίαν μετατιθεὶς ὡς πρὸς τὴν ἁμαρτίαν διερεθίσασαν, ἧττον τῆς κατακρίσεως ἀξιοῦται. Οὔτε στέφανοι χωρὶς ἀνταγωνιστῶν, οὔτε πτώματα χωρὶς ἀντιπάλων. Ἄκουε τοῦ Δαβίδ λέγοντος· «ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου», οὐχὶ παρωξύνθην, οὐδὲ ἠμυνάμην, ἀλλ' «ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν»[4]. Σὺ δὲ παροξύνῃ μὲν ὡς ἐπὶ φαύλῃ τῇ λοιδορίᾳ· μιμῇ δὲ πάλιν ὡς ἀγαθόν. Ἰδοὺ γὰρ ἔπαθες ἃ ἐγκαλεῖς. Ἡ τὸ μὲν ἀλλότριον κακὸν ἐπιμελῶς καταβλέπεις; τὸ δὲ σεαυτοῦ αἰσχρὸν οὐδαμοῦ τιθεῖς; Πονηρὸν ἡ ὕβρις; Φεῦγε τὴν μίμησιν. Οὐ γὰρ δὴ τὸ ἕτερον κατάρξαι ἱκανὸν εἰς παραίτησιν. Δικαιότερον μὲν οὖν, ὡς ἐμαυτὸν πείθω καὶ ἐπιτεῖναι τὴν ἀγανάκτησιν, διότι ὁ μὲν οὐκ εἶχε τὸ σωφρονίζον ὑπόδειγμα· σὺ δέ, βλέπων ἀσχημονοῦντα τὸν ὀργιζόμενον, οὐκ ἐφυλάξω αὐτοῦ τὴν ὁμοίωσιν, ἀλλ' ἀγανακτεῖς καὶ χαλεπαίνεις καὶ ἀντοργίζῃ· καὶ γίνεταί σου τὸ πάθος ἀπολογία τοῦ προλαβόντος. Αὐτοῖς γὰρ οἷς ποιεῖς, κά-

1. Πρβλ. Ἀριθ. 12,1 ἑξ. 2. Πρβλ. Α' Κορ. 6,10. 3. Ματθ. 10,22. 4. Ψαλ. 38,2,3.

κεῖνον αἰτίας ἀφίης καὶ σεαυτὸν κατακρίνεις. Εἰ μὲν γὰρ πονηρὸν ὁ θυμός, τί οὐκ ἐξέκλινας τὸ κακόν; εἰ δὲ συγγνώμης ἄξιον, τί χαλεπαίνεις τῷ θυμουμένῳ; Ὥστε, εἰ δεύτερος ἦλθες πρὸς τὴν ἀντίδοσιν, οὐδέν σε τοῦτο ὀνήσει. Οὐδὲ γὰρ ἐν τοῖς στεφανίταις ἀγῶσιν ὁ κατάρξας τῶν παλαισμάτων, ἀλλ' ὁ ὑπερβαλλόμενος στεφανοῦται. Καὶ κατακρίνεται τοίνυν οὐχὶ μόνον ὁ καθηγησάμενος τοῦ δεινοῦ, ἀλλ' ὁ καὶ πονηρῷ ἡγεμόνι πρὸς τὴν ἁμαρτίαν ἐξακολουθήσας. Ἐὰν πένητά σε προσείπῃ, εἰ μὲν ἀληθῆ λέγει, κατάδεξαι τὴν ἀλήθειαν· εἰ δὲ ψεύδεται, τί πρὸς σὲ τὸ λεγόμενον; Μήτε πρὸς ἐπαίνους χαυνωθῆς τοὺς ὑπὲρ τὴν ἀλήθειαν· μήτε πρὸς ὕβρεις ἀγριανῇς τὰς οὐχ ἁπτομένας σου. Οὐκ ὁρᾷς τὰ τοξεύματα, πῶς τῶν μὲν στερρῶν καὶ ἀντιτύπων πέφυκε διεκπίπτειν, ἐν δὲ τοῖς ἁπαλοῖς καὶ ὑπείκουσι τὴν ὁρμὴν ὑπεκλύειν; Τοιοῦτον δή τι νόμιζε εἶναι καὶ τὸ τῆς λοιδορίας. Ὁ μὲν ἀντιβαίνων εἰς ἑαυτὸν καταδέχεται· ὁ δὲ ἐνδιδοὺς καὶ ὑπείκων ἐν τῇ ἁπαλότητι τοῦ τρόπου τὴν ἐπ' αὐτὸν φερομένην πονηρίαν διέλυσε. Τί δέ σε ταράσσει ἡ προσηγορία τοῦ πένητος; Μνήσθητι τῆς φύσεως σεαυτοῦ· ὅτι «γυμνὸς εἰς τὸν κόσμον εἰσῆλθες γυμνὸς καὶ ἀπελεύσῃ»[1]. Τί δὲ γυμνοῦ πενιχρότερον; Οὐδὲν ἤκουσας δεινόν, ἐὰν μὴ σεαυτῷ οἰκειώσῃς **[364]** τὰ εἰρημένα. Τίς ποτε ἀπήχθη διὰ πενίαν εἰς δεσμωτήριον; Οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν. Μνήσθητι τοῦ Δεσπότου· ὅτι «πλούσιος ὤν, ἐπτώχευσε δι' ἡμᾶς»[2]. Ἐὰν ἄφρονά σε καὶ ἀμαθῆ προσαγορεύσῃ, ὑπομνήσθητι τῶν Ἰουδαϊκῶν ὕβρεων, αἷς τὴν ἀληθινὴν σοφίαν ἐλοιδορήσαντο· «Σαμαρείτης εἶ, καὶ δαιμόνιον ἔχεις»[3]. Ἐὰν μὲν οὖν ὀργισθῆς ἐβεβαίωσας τὰ ὀνείδη· τί γὰρ ὀργῆς ἀφρονέστερον; ἐὰν δὲ μείνῃς ἀόργητος, ἡσχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος. Ἐρραπίσθης; Καὶ γὰρ καὶ ὁ Κύριος. Ἐνεπτύσθης; Καὶ γὰρ ὁ Δεσπότης ἡμῶν. «Οὐ γὰρ ἀπέστρεψε τὸ πρόσωπον ἀπὸ αἰσχύνης ἐμπτυσμάτων»[4]. Ἐσυκοφαντήθης; Καὶ γὰρ καὶ ὁ κριτής. Περιέρρηξάν σου τὸν χιτωνίσκον; Ἀπέδυσάν μου καὶ τὸν Κύριον καὶ «διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ» ἑαυτοῖς[5]. Οὕτω κατεκρίθης, οὕτω ἐσταυρώθης. Πολλά σοι λείπει, ἵνα φθάσῃς αὐτοῦ πρὸς τὴν μίμησιν.

5. Τούτων ἕκαστον ὑποτρεχέτω σου τὴν διάνοιαν καὶ καταστελλέτω τὴν φλεγμονήν. Αἱ γὰρ τοιαῦται προπαρασκευαὶ καὶ διαθέσεις, οἷον πηδήματα τῆς καρδίας καὶ σφυγμοὺς ἀφαιροῦσαι, εἰς εὐστάθειαν καὶ γαλήνην τοὺς λογισμοὺς ἐπανάγουσι. Καὶ τοῦτό ἐστιν ἄρα τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· ὅτι «ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην»[6]. Δεῖ τοίνυν τὸ μανικὸν καὶ ἔκπληκτον κίνημα τῆς ψυχῆς καταστέλλειν τῇ μνήμῃ τῶν μακαρίων ἀνδρῶν ὑποδειγμάτων· πῶς ὁ μέγας Δαβὶδ πράως ἠνείχετο τῆς παροινίας τοῦ Σεμεεί. Οὐ γὰρ ἐδίδου καιρὸν τῇ ὀργῇ

1. Πρβλ. Ἰὼβ 1,21. 2. Β' Κορ. 8,9. 3. Ἰω. 8,48. 4. Ἡσ. 50,6. 5. Πρβλ. Ματθ. 27,35. Ψαλ. 21,19. 6. Ψαλ. 118,60.

κινηθῆναι, πρὸς τὸν Θεὸν μεταφέρων τὴν ἔννοιαν· ὅτι «Κύριος, εἶπε, φησί, τῷ Σεμεεὶ καταρᾶσθαι τὸν Δαβίδ»[1]. Διόπερ ἀκούων αἱμάτων ἀνὴρ καὶ ἀνὴρ παράνομος, οὐκ ἐκείνῳ ἐχαλέπαινεν, ἀλλ' ἑαυτὸν ἐταπείνου, ὡς κατὰ τὴν ἀξίαν αὐτῷ τῆς ὕβρεως ἀπαντώσης. Δύο δὴ ταῦτα περίελε σεαυτοῦ, μήτε σεαυτὸν μεγάλων ἄξιον κρίνῃς, μήτε ἀνθρώπων τινὰ παρὰ πολὺ ἐλαττοῦσθαί σου κατὰ τὴν ἀξίαν νομίσῃς. Οὕτω γὰρ οὐδέποτε ὁ θυμὸς ἐν ταῖς ἐπαγομέναις ἡμῖν ἀτιμίαις ἐπαναστήσεται. Δεινὸν μὲν τὸν εὐεργετηθέντα καὶ ταῖς μεγίσταις ὑπόχρεων χάρισι, πρὸς τῷ ἀχαρίστῳ ἔτι καὶ ὕβρεως καὶ ἀτιμίας κατάρξαι. Δεινὸν μέν, ἀλλὰ τῷ ποιοῦντι μεῖζόν ἐστι κακὸν ἢ τῷ πάσχοντι. Ἐκεῖνος ὑβριζέτω· σὺ δὲ μὴ ὑβρίζου. Γυμνάσιόν σοι πρὸς φιλοσοφίαν ἔστω τὰ **[365]** ῥήματα. Ἐὰν μὴ δηχθῇς, ἄτρωτος εἶ. Ἐὰν δὲ καὶ πάθῃς τι τὴν ψυχήν, ἐν σεαυτῷ κάτασχε τὸ λυπηρόν. «Ἐν ἐμοὶ γάρ, φησίν, ἐταράχθη ἡ καρδία μου»[2]· τουτέστιν, οὐ διεδόθη πρὸς τὸ ἔξω τὸ πάθος, ἀλλ' οἷόν τι κῦμα εἴσω τῶν αἰγιαλῶν κατακλασθὲν ἐστορέσθη. Καθησύχασόν μοι τὴν καρδίαν ὑλακτοῦσαν καὶ ἀγριαίνουσαν. Αἰδείσθω τὰ πάθη τοῦ ἐν σοὶ λόγου τὴν ἐπιφάνειαν, ὥσπερ τὸ ἐν παισὶν ἄτακτον ἀνδρὸς αἰδεσίμου παρουσίαν. Πῶς ἂν οὖν ἐκφύγοιμεν τὴν ἐκ τοῦ ὀργίζεσθαι βλάβην; Ἐὰν πείσωμεν τὸν θυμὸν μὴ προλαμβάνειν τοὺς λογισμούς, ἀλλὰ τούτου πρῶτον ἐπιμελώμεθα, ὡς μηδέποτε αὐτὸν προεκτρέχειν τῆς διανοίας· ἔχωμεν δὲ ὥσπερ ἵππον ὑπεζευγμένον ἡμῖν καὶ οἷον χαλινῷ τινι τῷ λόγῳ καταπειθῆ, μηδαμοῦ τῆς τάξεως ἐκβαίνοντα τῆς οἰκείας, ἀγόμενον δὲ ὑπὸ τοῦ λόγου, ἐφ' ὅπερ ἂν καθηγῆται. Ἔτι γὰρ πρὸς πολλὰ τῶν τῆς ἀρετῆς ἔργων ἐπιτήδειον ἡμῶν τῆς ψυχῆς τὸ θυμοειδές, ὅταν, ὥσπερ τις στρατιώτης, παρὰ τῷ στρατηγῷ τὰ ὅπλα θέμενος, ἑτοίμως ἐπὶ τὰ παραγγελλόμενα τὰς βοηθείας παρέχηται καὶ σύμμαχος ᾖ τῷ λόγῳ κατὰ τῆς ἁμαρτίας. Νεῦρον γάρ ἐστι τῆς ψυχῆς ὁ θυμός, τόνον αὐτῇ πρὸς τὴν τῶν καλῶν ἔνστασιν ἐμποιῶν. Εἰ γάρ ποτε λάβοι αὐτὴν ὑφ' ἡδονῆς ἐκλυθεῖσαν, οἱονεὶ βαφῇ σιδήρου στομώσας, αὐστηρὰν αὐτὴν καὶ ἀνδρείαν ἐκ μαλακῆς ἄγαν καὶ ἀνειμένης ἐποίησεν. Οὐ γάρ, εἰ μὴ θυμωθείης κατὰ τοῦ πονηροῦ, δυνατόν σοι μισῆσαι αὐτὸν ὅσον ἄξιον. Δεῖ γάρ, οἶμαι, τὴν ἴσην σπουδὴν ἔχειν περί τε τὴν ἀγάπην τῆς ἀρετῆς καὶ περὶ τὸ μῖσος τῆς ἁμαρτίας. Πρὸς ὅπερ μάλιστα χρήσιμος ὁ θυμός· ἐπειδὰν οἷον κύων ποιμένι, οὕτως ὁ θυμὸς τῷ λογισμῷ παρεπόμενος, πρᾶος μένῃ καὶ χειροήθης τοῖς ὠφελοῦσι καὶ εὐανάκλητος τῷ λογισμῷ, πρὸς μὲν τὴν ἀλλοτρίαν καὶ φωνὴν καὶ ὄψιν ἐξαγριούμενος, κἂν θεραπείαν ἔχειν δοκῇ, τοῦ δὲ συνήθους αὐτῷ καὶ φίλου ἐμβοήσαντος, ὑποπτήσσων. Αὕτη ἀρίστη ἐστὶ καὶ ἔμμετρος τῷ φρονίμῳ τῆς ψυχῆς μέρει παρὰ τοῦ θυμοειδοῦς ἡ συνεργία. Ὁ γὰρ τοιοῦτος ἀδιάλλακτος ἔσται τοῖς ἐπιβούλοις καὶ ἄσπονδος, μηδέποτε τὴν πρὸς τὸ βλάπτον φιλίαν καταδεχόμενος, ἀλλὰ τὴν ἐπίβουλον ἡδο-

1. Πρβλ. Β' Βασ. 16,10. 2. Ψαλ. 142,4.

νὴν ὥσπερ τινὰ λύκον ὑλακτῶν ἀεὶ καὶ σπαράσσων. Τοιοῦτον μὲν δὴ τὸ ἀπὸ θυμοῦ ὠφέλιμον τοῖς εἰδόσι μεταχειρίζεσθαι. Ἐπεὶ καὶ τῶν ἄλλων δυνάμεων ἑκάστη παρὰ τὸν τρόπον τῆς χρήσεως ἢ κακὸν ἢ ἀγαθὸν τῷ κεκτημένῳ γίνεται. Οἷον, τῷ ἐπιθυμητικῷ τῆς ψυχῆς ὁ μὲν εἰς ἀπόλαυσιν σαρκὸς καὶ τῶν ἀκαθάρτων ἡδονῶν ἀποχρησάμενος βδελυκτὸς καὶ ἀκόλαστος, ὁ δὲ ἐπὶ τὴν ἀγάπην τοῦ Θεοῦ τρέψας καὶ τὴν ὄρεξιν τῶν **[368]** αἰωνίων ἀγαθῶν, ζηλωτὸς καὶ μακάριος. Καὶ πάλιν τὸ λογιστικὸν ὁ μὲν καλῶς μεταχειριζόμενος φρόνιμός ἐστι καὶ συνετός· ὁ δὲ ἐπὶ βλάβῃ τῶν πλησίον ἠκονημένος τὸν νοῦν, κακεντρεχής ἐστι καὶ κακοῦργος.

6. Μὴ δὴ οὖν τὰ πρὸς σωτηρίαν ἡμῖν δεδομένα παρὰ τοῦ κτίσαντος ἀφορμὴν ἑαυτοῖς ἁμαρτίας ποιήσωμεν. Οὕτω δὴ καὶ ὁ θυμός, ὅτε δεῖ καὶ ὡς δεῖ κινούμενος, ἀνδρίαν ποιεῖ καὶ ὑπομονὴν καὶ ἐγκράτειαν· παρὰ δὲ τὸν ὀρθὸν λόγον ἐνεργῶν, μανία γίνεται. Διὰ τοῦτο καὶ ἡμᾶς ὁ Ψαλμὸς νουθετεῖ· «ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε»[1]. Καὶ ὁ Κύριος τῷ μὲν ὀργιζομένῳ εἰκῇ τὴν κρίσιν ἐπανατείνεται[2]· τὸ δὲ ἐφ' ἃ δεῖ κεχρῆσθαι τῇ ὀργῇ, ὡς ἐν φαρμάκου εἴδει οὐ παραιτεῖται. Τὸ γάρ, «ἔχθραν θήσω ἀνὰ μέσον σου» καὶ τοῦ ὄφεως[3]· καὶ τό, «ἐχθραίνετε τοῖς Μαδιηναίοις»[4], διδάσκοντός ἐστι κεχρῆσθαι τῷ θυμῷ ὥσπερ ὅπλῳ. Διὰ τοῦτο Μωυσῆς ὁ πάντων ἀνθρώπων πραότατος[5], ἐκδικῶν τὴν εἰδωλολατρίαν, τὰς τῶν Λευϊτῶν χεῖρας πρὸς τὸν τῶν ἀδελφῶν φόνον ἐξώπλισε. «Θέσθω, φησί, τὴν ῥομφαίαν ἕκαστος ἐπὶ τὸν μηρὸν αὐτοῦ, καὶ διέλθετε ἀπὸ πύλης εἰς πύλην, καὶ ἀνακάμψατε διὰ τῆς παρεμβολῆς· καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἔγγιστα αὐτοῦ»[6]. Καὶ μετ' ὀλίγα· «καὶ εἶπε, φησί, Μωυσῆς· ἐπληρώσατε τὰς χεῖρας ὑμῶν σήμερον τῷ Κυρίῳ, ἕκαστος ἐν τῷ υἱῷ αὐτοῦ, καὶ ἐν τῷ ἀδελφῷ αὐτοῦ, δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν»[7]. Τί δὲ τὸν Φινεὲς ἐδικαίωσεν; Οὐχ ἡ δικαία ὀργὴ κατὰ τῶν πορνευσάντων; ὅς, τὰ πολλὰ ἐπιεικὴς ὢν καὶ πρᾶος, ἐπειδὴ εἶδε τὴν πορνείαν τοῦ Ζαμβρὶ καὶ τῆς Μαδιανίτιδος ἀναφανδὸν καὶ ἀπηρυθριασμένως γινομένην, οὐδὲ συγκαλυπτόντων αὐτῶν τῆς αἰσχύνης τὴν ἀσχήμονα θέαν, οὐκ ἀνασχόμενος, εἰς δέον ἐχρήσατο τῷ θυμῷ, δι' ἀμφοῖν ἐλάσας τὸν σειρομάστην[8]. Σαμουὴλ δὲ τὸν Ἀγὰγ τὸν βασιλέα τοῦ Ἀμαλὴκ ὑπὸ τοῦ Σαοὺλ παρὰ τὸ πρόσταγμα τοῦ Θεοῦ περισωθέντα οὐχ ὑπὸ δικαίας ὀργῆς εἰς μέσον ἀγαγὼν κατεφόνευσεν[9]; Οὕτω γίνεται πολλάκις ὁ θυμὸς ἀγαθῶν πράξεων ὑπηρέτης. Ἠλίας δὲ ὁ ζηλωτής, πεντήκοντα καὶ τετρακοσίους ἄνδρας ἱερεῖς τῆς αἰσχύνης καὶ τετρακοσίους ἄνδρας ἱερεῖς τῶν ἀλσῶν, ἐσθίοντας τράπεζαν Ἰεζάβελ[10], λελογισμένῳ θυμῷ καὶ σώφρονι εἰς ὄφελος

1. Ψαλ. 4,5. 2. Πρβλ. Ματθ. 5,22. 3. Πρβλ. Γεν. 3,15. 4. Ἀριθ. 25,17. 5. Πρβλ. Ἀριθ. 12,3. 6. Πρβλ. Ἐξ. 32,27. 7. Ἐξ. 32,29. 8. Πρβλ. Ἀριθ. 25,7-8. 9. Πρβλ. Α' Βασ. 15,33. 10. Πρβλ. Γ' Βασ. 18,22-40.

παντὸς τοῦ Ἰσραὴλ ἐθανάτωσε. Σὺ δὲ ὀργίζῃ τῷ ἀδελφῷ σου εἰκῇ. Πῶς γὰρ οὐκ εἰκῇ, ἄλλου ἐνεργοῦντος, ἄλλῳ χαλεπαίνων αὐτός; Καὶ ποιεῖς τὸ **[369]** τῶν κυνῶν· οἱ τοὺς λίθους δάκνουσι, τοῦ βάλλοντος οὐ προσαπτόμενοι. Ὁ ἐνεργούμενος ἐλεεινός· ὁ δὲ ἐνεργῶν μισητός. Ἐκεῖ τὸν θυμὸν μετάθες ἐπὶ τὸν ἀνθρωποκτόνον, τὸν τοῦ ψεύδους πατέρα, τὸν ἐργάτην τῆς ἁμαρτίας· τῷ δὲ ἀδελφῷ καὶ συμπάθησον, ὅτι, ἐὰν ἐπιμείνῃ τῇ ἁμαρτίᾳ, μετὰ τοῦ διαβόλου παραδοθήσεται τῷ αἰωνίῳ πυρί. Ὥσπερ δὲ τὰ ὀνόματα διάφορα θυμοῦ καὶ ὀργῆς, οὕτω καὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα πλεῖστον ἀλλήλων διαφέρει. Ἔστι γὰρ θυμὸς μὲν οἷον ἔξαψίς τις καὶ ἀναθυμίασις ὀξεῖα τοῦ πάθους· ὀργὴ δὲ ἔμμονος λύπη καὶ ὁρμὴ διαρκὴς πρὸς τὴν τῶν ἠδικηκότων ἀντίδοσιν, ὥσπερ ὀργώσης τῆς ψυχῆς πρὸς τὴν ἄμυναν. Εἰδέναι οὖν χρή, ὅτι κατ' ἀμφοτέρας τὰς διαθέσεις πλημμελοῦσιν οἱ ἄνθρωποι· ἢ μανικῶς καὶ ἐμπλήκτως κατὰ τῶν παροξυνόντων κινούμενοι, ἢ δολερῶς καὶ ἐπιβούλως τοὺς λυπήσαντας ἐνεδρεύοντες· ἅπερ ἀμφότερα φυλακτέον ἡμῖν.

7. Πῶς ἂν οὖν μὴ κινοῖτο πρὸς ἃ μὴ δεῖ τὸ πάθος; Πῶς; Εἰ προπαιδευθείης τὴν ταπεινοφροσύνην, ἣν ὁ Κύριος καὶ λόγῳ διετάξατο καὶ ἔργῳ ὑπέδειξε· νῦν μὲν λέγων· «ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος ἔστω πάντων ἔσχατος»[1], νῦν δὲ πράως καὶ ἀκινήτως τοῦ τύπτοντος ἀνεχόμενος[2]. Ὁ γὰρ οὐρανοῦ καὶ γῆς ποιητὴς καὶ δεσπότης, ὁ παρὰ πάσης τῆς νοητῆς καὶ αἰσθητῆς κτίσεως προσκυνούμενος, ὁ «φέρων τὰ σύμπαντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ»[3], οὐχὶ ζῶντα ἔπεμψεν αὐτὸν εἰς τὸν ᾅδην, τῆς γῆς ὑπορραγείσης δυσσεβεῖ, ἀλλὰ νουθετεῖ καὶ διδάσκει· «εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;»[4]. Ἐὰν γὰρ ἐθισθῇς πάντων ἔσχατος εἶναι κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, πότε ἀγανακτήσεις ὡς παρὰ τὴν ἀξίαν καθυβρισμένος; Ὅταν σε παιδίον νήπιον λοιδορήσῃ, γέλωτος ἀφορμὴν ποιῇ τὰ λοιδορήματα· καὶ ὅταν ὑπὸ φρενίτιδος ἐξεστηκὼς τὴν διάνοιαν φθέγγηται ῥήματα ἀτιμίας, ἐλεεινὸν ἡγοῦ μᾶλλον ἢ μίσους ἄξιον. Οὐ τοίνυν τὰ ῥήματα πέφυκε τὰς λύπας κινεῖν, ἀλλ' ἡ κατὰ τοῦ λοιδορήσαντος ἡμᾶς ὑπεροψία καὶ ἡ ἑκάστου περὶ ἑαυτὸν φαντασία. Ὥστε ἂν ἀφέλῃς τῆς ἑαυτοῦ διανοίας τούτων ἑκάτερον, ψόφος ἐστὶν ἄλλως διακενῆς ἠχῶν τὰ φερόμενα. «Παῦσαι» οὖν «ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν»[5], ἵνα φύγῃς τῆς ὀργῆς τὴν πεῖραν, τῆς ἀποκαλυπτομένης «ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων»[6]. Ἐὰν γὰρ λογισμῷ σώφρονι ἐκτεμεῖν δυνηθῇς τὴν πικρὰν ῥίζαν τοῦ θυμοῦ, πολλὰ τῶν παθῶν τῇ ἀρχῇ ταύτῃ συναναιρήσεις. Καὶ γὰρ τὸ δολερὸν καὶ ὕποπτον καὶ ἄπιστον καὶ κακόηθες καὶ ἐπίβουλον καὶ θρασὺ καὶ πᾶν τὸ τῶν τοιούτων **[372]** πονηρῶν σμῆνος ταύτης τῆς κακίας ἐστὶν ἀποβλαστήματα. Μὴ δὴ οὖν ἐπεισάγωμεν ἑαυτοῖς κακὸν

1. Πρβλ. Μάρκ. 9,35. 2. Πρβλ. Ἰω. 18,22,23. 3. Πρβλ. Ἑβρ. 1,3. 4. Ἰω. 18,23. 5. Ψαλ. 36,8. 6. Ρωμ. 1,18.

τοσοῦτον· ἀρρωστίαν ψυχῆς, σκότωσιν λογισμῶν, ἀπὸ Θεοῦ ἀλλοτρίωσιν, οἰκειότητος ἄγνοιαν, ἀρχὴν πολέμου, συμφορῶν πλήρωμα, δαίμονα πονηρὸν αὐταῖς ἡμῶν ταῖς ψυχαῖς ἐντικτόμενον καὶ ὥσπερ τινὰ ἔνοικον ἀναιδῆ προκατέχοντα ἡμῶν τὰ ἔνδον καὶ τῷ Ἁγίῳ Πνεύματι τὴν πάροδον ἀποκλείοντα. Ὅπου γὰρ ἔχθραι, ἔρεις, θυμοί, ἐριθεῖαι, φιλονεικίαι, θορύβους ἀσιγήτους ταῖς ψυχαῖς ἐμποιοῦντα, ἐκεῖ τὸ πνεῦμα τῆς πραότητος οὐκ ἀναπαύεται. Πεισθέντες δὲ τῇ παραινέσει τοῦ μακαρίου Παύλου, «πᾶσαν ὀργὴν καὶ θυμὸν καὶ κραυγὴν ἄρωμεν ἀφ' ἡμῶν σὺν πάσῃ κακίᾳ καὶ γενώμεθα εἰς ἀλλήλους χρηστοὶ καὶ εὔσπλαγχνοι»[1], ἀναμένοντες τὴν μακαρίαν ἐλπίδα τὴν τοῖς πραέσιν ἐπηγγελμένην («μακάριοι» γὰρ «οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν»[2]), ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

1. Πρβλ. Ἐφ. 4,31-32. 2. Ματθ. 5,5. Πρβλ. Ψαλ. 36,11.

ΟΜΙΛΙΑ ΙΑ'

ΠΕΡΙ ΦΘΟΝΟΥ

1. Ἀγαθὸς ὁ Θεὸς καὶ ἀγαθῶν τοῖς ἀξίοις παρεκτικός· πονηρὸς ὁ διάβολος καὶ κακίας παντοίας δημιουργός. Καὶ ὥσπερ ἕπεται τῷ ἀγαθῷ ἡ ἀφθονία, οὕτως ἀκολουθεῖ τῷ διαβόλῳ ἡ βασκανία. Φυλαξώμεθα οὖν, ἀδελφοί, τὸ πάθος τοῦ φθόνου, μὴ κοινωνοὶ τῶν ἔργων τοῦ ἀντικειμένου γενώμεθα καὶ εὑρεθῶμεν τῷ αὐτῷ συγκαταδικαζόμενοι κρίματι. Εἰ γὰρ ὁ τυφωθεὶς εἰς κρῖμα ἐμπίπτει τοῦ διαβόλου, πῶς ὁ φθονερὸς τὴν ἡτοιμασμένην τῷ διαβόλῳ τιμωρίαν ἐκφεύξεται; Φθόνου γὰρ πάθος οὐδὲν ὀλεθριώτερον ψυχαῖς ἀνθρώπων ἐμφύεται· ὃς, ἐλάχιστα λυπῶν τοὺς ἔξωθεν, πρῶτον κακὸν καὶ **[373]** οἰκεῖόν ἐστι τῷ κεκτημένῳ. Ὥσπερ γὰρ ἰὸς σίδηρον, οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν ἐξαναλίσκει. Μᾶλλον δὲ ὥσπερ τὰς ἐχίδνας φασὶ τὴν κυήσασαν αὐτὰς γαστέρα διεσθιούσας ἀπογεννᾶσθαι, οὕτω καὶ ὁ φθόνος τὴν ὠδίνουσαν αὐτὸν ψυχὴν πέφυκε δαπανᾶν. Λύπη γάρ ἐστι τῆς τοῦ πλησίον εὐπραγίας ὁ φθόνος. Διόπερ οὐδέποτε ἀνίαι, οὐδέποτε δυσθυμίαι τὸν βάσκανον ἐπιλείπουσιν. Εὐφόρησεν ἡ χώρα τοῦ πλησίον; εὐθηνεῖται πᾶσι τοῖς κατὰ τὸν βίον ὁ οἶκος; θυμηδίαι τὸν ἄνδρα οὐκ ἐπιλείπουσι; ταῦτα πάντα τροφὴ τῆς νόσου καὶ προσθήκη τῆς ἀλγηδόνος ἐστὶ τῷ βασκάνῳ. Ὥστε οὐδὲν διαφέρει ἀνθρώπου γυμνοῦ παρὰ πάντων τιτρωσκομένου. Ἀνδρεῖός τίς ἐστιν; εὐεκτεῖ; ταῦτα πλήττει τὸν βάσκανον. Ἕτερος χαριέστερος τὴν μορφήν; ἄλλη πληγὴ τῷ βασκάνῳ. Ὁ δεῖνα τοῖς τῆς ψυχῆς προτερήμασι τῶν πολλῶν ὑπερέχει; ἐπὶ φρονήσει καὶ δυνάμει λόγων ἀποβλέπεται καὶ ζηλοῦται; ἄλλος πλουτεῖ καὶ φιλοτιμεῖται λαμπρῶς ἐν ἐπιδόσεσι καὶ κοινωνίᾳ τῇ πρὸς τοὺς ἐνδεεῖς καὶ πολὺς αὐτῷ παρὰ τῶν εὐεργετουμένων ὁ ἔπαινος; Ταῦτα πάντα πληγαὶ καὶ τραύματα, μέσην αὐτοῦ τύπτοντα τὴν καρδίαν. Καὶ τὸ χαλεπὸν τῆς νόσου, ὅτι οὐδὲ ἐξειπεῖν αὐτὴν δύναται· ἀλλὰ κύπτει μὲν καὶ κατηφής ἐστι καὶ συγκέχυται καὶ ποτνιᾶται καὶ ἀπόλωλεν ὑπὸ τοῦ κακοῦ. Ἐρωτώμενος δὲ τὸ πάθος, ἐρυθριᾷ δημοσιεῦσαι τὴν συμφοράν, ὅτι βάσκανός εἰμι καὶ πικρὸς καὶ ἐπιτρίβει με τὰ τοῦ φίλου καλὰ καὶ τοῦ ἀδελφοῦ τὴν εὐθυμίαν ὀδύρομαι καὶ οὐ φέρω τὴν θέαν τῶν ἀλλοτρίων καλῶν, ἀλλὰ συμφορὰν ποιοῦμαι τὴν τῶν πλησίον εὐημερίαν. Ταῦτα γὰρ ἂν εἴποι, εἰ τὰ ἀληθῆ λέγειν βούλοιτο. Ὧν οὐδὲν ἐξειπεῖν αἱρούμενος, ἐν τῷ βάθει κατέχει τὴν νόσον ὑποσμύχουσαν αὐτοῦ τὰ σπλάγχα καὶ κατεσθίουσαν.

2. Οὐκοῦν οὔτε ἰατρὸν τῆς νόσου παραλαμβάνει, οὔτε τι φάρμακον ἐξευρεῖν δύναται τοῦ πάθους ἀλεξητήριον, καίτοι πλήρεις αἱ Γρα-

φαι τῶν ἰαμάτων τούτων· ἀλλὰ μίαν ἀναμένει τοῦ κακοῦ ῥαστώνην, εἴ πού τινα ἴδοι καταπεσόντα τῶν φθονουμένων. Οὗτος ὅρος τοῦ μίσους, ἄθλιον ἰδεῖν ἐκ μακαρίου τὸν βασκαινόμενον, ἐλεεινὸν γενέσθαι τὸν ζηλωτόν. Τότε σπένδεται καὶ φίλος ἐστίν, ὅταν δακρύοντα ἴδῃ, ὅταν πενθοῦντα θεάσηται. Καὶ εὐθυμοῦντι μὲν οὐ συνευφραίνεται· ὀδυρομένῳ δὲ συνδακρύει. Καὶ τὴν μεταβολὴν τοῦ βίου, ἐξ οἵων εἰς οἷα μεταπέπτωκε, κατοικτίζεται, οὐχ ὑπὸ φιλανθρωπίας καὶ τοῦ συμπαθὴς εἶναι, ἐξαίρων τῷ λόγῳ τὰ πρότερα, ἀλλ' ἵνα βαρυτέραν αὐτῷ κατασκευάσῃ τὴν συμφοράν. Τὸ παιδίον μετὰ τὸν θάνατον ἐπαινεῖ καὶ μυρίοις ἐγκωμίοις ἀποσεμνύει, ὡς μὲν καλὸν ἰδεῖν, ὡς δὲ εὐμαθές, ὡς δὲ πρὸς πάντα εὐάρμοστον· οὐκ ἂν αὐτῷ περιόντι γλῶσσαν εὔφημον χαρισάμενος. Ἐὰν μέντοι πολλοὺς ἴδῃ συντρέχοντας τῷ ἐπαίνῳ, μεταβαλὼν πάλιν, βασκαίνει τῷ τεθνεῶτι. Τὸν πλοῦτον θαυμάζει μετὰ τὴν ἔκπτωσιν. Τὴν ὥραν τοῦ σώματος, ἢ τὴν **[376]** ῥώμην καὶ τὴν εὐεξίαν μετὰ τὰς νόσους ἐπαινεῖ καὶ ἐξαίρει. Καὶ ὅλως, ἐχθρὸς μέν ἐστι τῶν παρόντων, φίλος δὲ τῶν ἀπολλυμένων.

3. Τί ἂν οὖν γένοιτο τῆς νόσου ταύτης ὀλεθριώτερον; Φθορὰ τῆς ζωῆς, λύπη τῆς φύσεως, ἔχθρα τῶν παρὰ Θεοῦ δεδομένων ἡμῖν, ἐναντίωσις πρὸς Θεόν. Τί τὸν ἀρχέκακον δαίμονα εἰς τὸν κατὰ ἀνθρώπων ἐξέμηνε πόλεμον; Οὐχ ὁ φθόνος; δι' οὗ καὶ θεομάχος φανερῶς ἀπηλέγχθη, ἀχθόμενος μὲν Θεῷ ἐπὶ τῇ μεγαλοδωρεᾷ τῇ εἰς τὸν ἄνθρωπον, τὸν ἄνθρωπον δὲ ἀμυνόμενος, ἐπειδὴ Θεὸν οὐκ ἠδύνατο. Τὰ αὐτὰ δὲ ταῦτα ποιῶν καὶ ὁ Κάιν δείκνυται, ὁ πρῶτος μαθητὴς τοῦ διαβόλου καὶ φθόνον καὶ φόνον παρ' αὐτοῦ διδαχθείς, τὰς ἀδελφὰς ἀνομίας, ἃς καὶ Παῦλος συνέζευξεν, εἰπών· «μεστοὺς φθόνου, φόνου»[1]. Τί οὖν ἦν ὃ ἐποίησεν; Εἶδε τὴν παρὰ Θεοῦ τιμὴν καὶ ἐξεκαύθη πρὸς ζῆλον καὶ ἀνεῖλε τὸν τιμηθέντα, ἵνα καθάψηται τοῦ τιμήσαντος. Πρὸς γὰρ τὴν θεομαχίαν ἀδυνατῶν, εἰς ἀδελφοκτονίαν μετέπεσε. Φύγωμεν, ἀδελφοί, νόσον θεομαχίας διδάσκαλον, ἀνδροφονίας μητέρα, σύγχυσιν φύσεως, οἰκειότητος ἄγνοιαν, συμφορὰν ἀλογωτάτην. Τί λυπῇ, ἄνθρωπε, μηδὲν δεινὸν πεπονθώς; τί πολεμεῖς τῷ ἐν ἀγαθοῖς τισιν ὄντι, μηδὲν τῶν σῶν ἐλαττώσαντι; Ἐὰν δὲ δὴ καὶ εὐεργετούμενος ἀγανακτῇς οὐκ ἄντικρυς τῆς ἑαυτοῦ ὠφελείας βασκαίνεις; Ὁποῖος ἦν ὁ Σαοὺλ, ὃς τῶν εὐεργεσιῶν τὰς ὑπερβολὰς ἀφορμὴν τοῦ πολέμου τοῦ πρὸς τὸν Δαβὶδ ἐποιήσατο. Πρῶτον μὲν γάρ, τῇ παναρμονίῳ ἐκείνῃ καὶ θείᾳ μουσικῇ τῆς μανίας ἀπαλλαγείς, ἐπειρᾶτο δόρατι διαπεῖραι τὸν εὐεργέτην· ἔπειτα σὺν αὐτῷ τῷ στρατῷ ἐκ τῶν πολεμίων περισωθεὶς καὶ τῆς ἐπὶ τῷ Γολιάθ αἰσχύνης ἀπαλλαγείς, ὅμως ἐπειδὴ ἐν τοῖς ἐπινικίοις τὸ δεκαπλάσιον τῆς τῶν συμβάντων αἰτίας τῷ Δαβὶδ ἀνέθεσαν αἱ χορεύουσαι· «ἐπάταξε Δαβὶδ ἐν μυριάσι, καὶ Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ»[2]· διὰ μίαν ταύτην φωνὴν καὶ τὴν ἐξ αὐτῆς τῆς ἀληθείας ὑπάρ-

1. Ρωμ. 1,29. 2. Α' Βασ. 18,7.

ξασαν μαρτυρίαν, πρῶτον αὐτόχειρ γενέσθαι καὶ ἐξ ἐνέδρας ἀνελεῖν ἐπεχείρησεν· εἶτα φυγάδα καταστήσας, οὐδὲ οὕτω τὴν ἔχθραν ἔστησεν, ἀλλὰ τὸ τελευταῖον ἐκστρατεύσας ἐπ' αὐτὸν τρισχιλίοις λογάσι, τὰς ἐρημίας διηρευνᾶτο[1]. Εἰ δὲ ἠρωτήθη τοῦ πολέμου τὴν πρόφασιν, εἶπεν ἂν πάντως τὰς τοῦ ἀνδρὸς εὐποιίας. Ὅς γε παρ' αὐτὸν τὸν καιρὸν τῆς διώξεως καθεύδων καταληφθείς, ἕτοιμος εἰς σφαγὴν προκείμενος τῷ ἐχθρῷ καὶ πάλιν περισωθεὶς ὑπὸ τοῦ δικαίου[2], ἐπαγαγεῖν αὐτῷ τὰς χεῖρας φυλαξαμένου, οὐδ' ὑπὸ ταύτης τῆς εὐεργεσίας ἐκάμφθη· ἀλλὰ καὶ πάλιν ἐστρατολόγει καὶ πάλιν ἐδίωκεν· ἕως καὶ δεύτερον ἁλοὺς ὑπὸ τοῦ αὐτοῦ ἐν τῷ σπηλαίῳ, τοῦ μὲν τὴν ἀρετὴν λαμπροτέραν ἀπέδειξεν, ἑαυτοῦ δὲ τὴν πονηρίαν καταφανεστέραν ἐποίησε. Δυσμεταχειριστότατον ἔχθρας εἶδος ὁ φθόνος. Τοὺς μὲν γὰρ ἄλλως δυσμενεῖς ἡμερωτέρους ποιοῦσιν αἱ εὐποιίαι, **[377]** τὸν βάσκανον δὲ καὶ κακοήθη τὸ καλῶς παθεῖν πλέον προσερεθίζει· καὶ ὅσῳπερ ἂν μειζόνων τύχῃ, μειζόνως ἀγανακτεῖ καὶ ἀνιᾶται καὶ δυσχεραίνει. Πλεῖον γὰρ ἄχθεται τῇ δυνάμει τοῦ εὐεργέτου, ἢ χάριν ἔχει τοῖς εἰς αὐτὸν γινομένοις. Ποῖον οὐ νικῶσι θηρίον τῇ χαλεπότητι τῶν τρόπων; Τί τῶν ἀνημέρων οὐχ ὑπερβάλλουσιν ἀγριότητι; Οἱ κύνες τρεφόμενοι ἡμεροῦνται· οἱ λέοντες χειροήθεις γίνονται θεραπευόμενοι· οἱ δὲ βάσκανοι ταῖς θεραπείαις πλέον ἐξαγριαίνονται.

4. Τί τὸν γενναῖον Ἰωσὴφ δοῦλον ἐποίησεν[3]; Οὐχ ὁ φθόνος τῶν ἀδελφῶν; Ἔνθα καὶ θαυμάσαι ἄξιον τὴν ἀλογίαν τῆς νόσου. Φοβηθέντες γὰρ τῶν ὀνειράτων τὴν ἔκβασιν, δοῦλον ἐποίουν τὸν ἀδελφόν, ὡς οὐκ ἄν ποτε δούλου προσκυνηθέντος. Καίτοι εἰ μὲν ἀληθῆ τὰ ἐνύπνια, τίς μηχανὴ μὴ οὐχὶ πάντως ἐκβῆναι τὰ προρρηθέντα; εἰ δὲ ψευδεῖς αἱ τῶν ὀνειράτων ὄψεις, ἀντὶ τίνος βασκαίνετε τῷ σφαλλομένῳ; Νυνὶ δὲ ὑπὸ τῆς τοῦ Θεοῦ οἰκονομίας περιτρέπεται αὐτοῖς τὸ σοφόν. Δι' ὧν γὰρ ἐνόμιζον ἐμποδίζειν τῇ προρρήσει, διὰ τούτων ἐφάνησαν ὁδοποιοῦντες τὴν ἔκβασιν. Εἰ γὰρ μὴ ἐπράθη, οὐκ ἂν ἦλθεν εἰς Αἴγυπτον, οὐκ ἂν διὰ σωφροσύνην ταῖς ἐπιβουλαῖς τῆς ἀκολάστου γυναικὸς περιέπεσεν, οὐκ ἂν ἐβλήθη εἰς δεσμωτήριον, οὐκ ἂν ἐγένετο συνήθης τοῖς ὑπηρέταις τοῦ Φαραώ, οὐδ' ἂν συνέβαλε τὰ ὀνείρατα, ὅθεν τὴν ἀρχὴν ἐδέξατο τῆς Αἰγύπτου καὶ διὰ τὴν σιτοδείαν ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ πρὸς αὐτὸν ἐλθόντων προσεκυνήθη. Μετάβα τῷ λόγῳ ἐπὶ τὸν μέγιστον φθόνον καὶ ἐπὶ μεγίστοις συστάντα, ὃς ἐκ τῆς Ἰουδαίων μανίας κατὰ τοῦ Σωτῆρος ἐγένετο. Διὰ τί ἐφθονεῖτο; Διὰ τὰ θαύματα. Τίνες δὲ ἦσαν αἱ θαυματοποιίαι; Σωτηρία τῶν δεομένων· ἐτρέφοντο οἱ πεινῶντες καὶ ὁ τρέφων ἐπολεμεῖτο· ἠγείροντο οἱ νεκροὶ καὶ ὁ ζωοποιῶν ἐβασκαίνετο· δαίμονες ἀπηλαύνοντο καὶ ὁ ἐπιτάσσων ἐπεβουλεύετο· λεπροὶ ἐκαθαρίζοντο καὶ χωλοὶ περιεπάτουν, κωφοὶ ἤκουον καὶ τυφλοὶ ἀνέβλεπον καὶ ὁ εὐεργέτης ἐφυγαδεύετο. Καὶ τὸ τελευταῖον θανάτῳ

1. Πρβλ. Α' Βασ. 24,3. 2. Πρβλ. Α' Βασ. 26,7. 3. Πρβλ. Γεν. 37,28.

παρέδωκαν τὸν τὴν ζωὴν χαρισάμενον καὶ ἐμαστίγουν τὸν ἐλευθερωτὴν τῶν ἀνθρώπων καὶ κατεδίκαζον τὸν κριτὴν τοῦ κόσμου. Οὕτω μέχρι πάντων διεξῆλθε τὰ τοῦ φθόνου κακά. Καὶ ἐνὶ τούτῳ ὅπλῳ ἀπὸ καταβολῆς ἀρξάμενος κόσμου μέχρι συντελείας αἰῶνος πάντας τιτρώσκει καὶ καταβάλλει ὁ λυμεὼν τῆς ζωῆς ἡμῶν διάβολος, ὁ χαίρων ἡμῶν τῇ ἀπωλείᾳ, ὁ καταπεσὼν διὰ τοῦ φθόνου καὶ ἡμᾶς ἑαυτῷ διὰ τοῦ ἴσου πάθους συγκαταβάλλων. Σοφὸς ἄρα ἦν ὁ τῷ βασκάνῳ ἀνδρὶ μηδὲ συνδειπνεῖν ἐπιτρέπων[1]· ἀπὸ τῆς ἐν τῷ δείπνῳ συνουσίας περὶ πάσης ὁμοῦ τῆς κατὰ τὸν βίον κοινωνίας διαλεγόμενος. Ὥσπερ γὰρ τὴν εὐκατάπρηστον ὕλην ἐπιμελὲς ἡμῖν ὅτι πορρωτάτω τοῦ πυρὸς ἀποτίθεσθαι, οὕτω **[380]** χρή, καθ' ὅσον οἷόν τε, τῆς τῶν βασκάνων ὁμιλίας τὰς φιλίας ἀπάγειν, ἔξω τῶν τοῦ φθόνου βελῶν ἑαυτοὺς ποιοῦντας. Οὐδὲ γὰρ ἄλλως δυνατὸν συμπλακῆναι τῷ φθόνῳ, μὴ δι' οἰκειότητος αὐτῷ προσεγγίσαντα. Ἐπείπερ κατὰ τὸν Σολομῶντος λόγον, «τῷ ἀνδρὶ ὁ ζῆλος παρὰ τοῦ ἑταίρου αὐτοῦ»[2]. Καὶ γὰρ οὕτως ἔχει. Οὐχὶ τῷ Αἰγυπτίῳ βασκαίνει ὁ Σκύθης, ἀλλὰ τῷ ὁμοεθνεῖ ἕκαστος· καὶ ἐν τῷ ὁμοεθνεῖ μέντοι οὐ τοῖς ἀγνοουμένοις φθονεῖ, ἀλλὰ τοῖς συνηθεστάτοις· καὶ τῶν συνήθων τοῖς γείτοσι καὶ ὁμοτέχνοις καὶ τοῖς ἄλλως οἰκείοις· κἂν τούτοις πάλιν, ἡλικιώταις καὶ συγγενέσι καὶ ἀδελφοῖς. Καὶ ὅλως ὥσπερ ἡ ἐρυσύβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα, οὕτως ὁ φθόνος φιλίας ἐστὶν ἀρρώστημα. Ἐκεῖνό γε μὴν κἂν καὶ ἐπαινέσειέ τις τοῦ κακοῦ, ὅτι ὅσῳπερ ἂν σφοδρότερος κινηθῇ, τοσούτῳ χαλεπώτερός ἐστι τῷ κεκτημένῳ. Ὥσπερ γὰρ τῶν βελῶν τὰ βιαίως φερόμενα, ἐπειδὰν καρτερῷ τινι καὶ ἀντιτύπῳ προσπέσῃ, ἐπὶ τὸν προέμενον ἐπανέρχεται, οὕτω καὶ τὰ τοῦ φθόνου κινήματα, οὐδὲν λυποῦντα τὸν βασκαινόμενον, αὐτοῦ πληγαὶ γίνονται τοῦ βασκάνου. Τίς γὰρ λυπούμενος ἠλάττωσέ ποτε τὰ τοῦ πλησίον καλά; Ἑαυτὸν μέντοι προσανάλωσε ταῖς λύπαις κατατηκόμενος. Ἤδη δὲ καὶ τῶν ἰοβόλων αὐτῶν ὀλεθριώτεροι εἶναι οἱ νοσοῦντες τὴν βασκανίαν ὑπονενόηνται· εἴπερ τὰ μὲν διὰ πληγῆς ἐνίησι τὸν ἰὸν καὶ κατὰ μικρὸν σηπεδόνι τὸ δηχθὲν ἐπινέμεται, τοὺς δὲ φθονερούς τινες οἴονται καὶ δι' ὀφθαλμῶν μόνων τὴν βλάβην ἐπιβάλλειν, ὥστε τὰ εὐεκτικὰ σώματα καὶ ἐκ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς εἰς τὴν ἄκραν ὥραν ὑπεραθήσαντα, τήκεσθαι παρ' αὐτῶν καταβασκαινόμενα καὶ ὅλον ἀθρόως συναναιρεῖσθαι τὸν ὄγκον, οἷον ῥεύματός τινος ὀλεθρίου ἐκ τῶν φθονερῶν ὀφθαλμῶν ἀπορρέοντος καὶ λυμαινομένου καὶ διαφθείροντος. Ἐγὼ δὲ τούτων μὲν τὸν λόγον ἀποπέμπομαι, ὡς δημώδη καὶ τῇ γυναικωνίτιδι παρεισαχθέντα ὑπὸ γραϊδίων, ἐκεῖνο δέ φημι, ὅτι οἱ μισόκαλοι δαίμονες, ἐπειδὰν οἰκείας ἑαυτοῖς εὕρωσι προαιρέσεις, παντοίως αὐταῖς πρὸς τὸ ἴδιον ἀποκέχρηνται βούλημα, ὥστε καὶ τοῖς ὀφθαλμοῖς τῶν βασκάνων εἰς ὑπηρεσίαν χρῆσθαι τοῦ ἰδίου θελήματος. Εἶτα οὐ φρίσσεις ὑπηρέτην σεαυτὸν ποιῶν δαί-

1. Πρβλ. Παρμ. 23,6. 2. Ἐκκλ. 4,4.

μονος ὀλεθρίου, ἀλλ' ὑποδέχῃ κακόν, δι' οὗ ἐχθρὸς μὲν γενήσῃ τῶν μηδὲν ἀδικούντων, ἐχθρὸς δὲ Θεοῦ τοῦ ἀγαθοῦ καὶ ἀφθόνου;

5. Φύγωμεν κακὸν ἀφόρητον. Ὄφεώς ἐστι δίδαγμα, δαιμόνων εὕρημα, ἐχθροῦ ἐπισπορά, ἀρραβὼν κολάσεως, ἐμπόδιον εὐσεβείας, ὁδὸς ἐπὶ γέενναν, στέρησις βασιλείας. Δῆλοι δέ πως καὶ αὐτῷ τῷ προσώπῳ τυγχάνουσιν οἱ φθονοῦντες. Ὄμμα τούτοις ξηρὸν καὶ ἀλαμπές, παρειὰ κατηφής, ὀφρὺς συμπε[381]πτωκυῖα, ἡ ψυχὴ τῷ πάθει συγκεχυμένη, τὸ τῆς ἀληθείας κριτήριον ἐπὶ τῶν πραγμάτων οὐκ ἔχουσα. Οὐ πρᾶξις κατ' ἀρετὴν ἐπαινετὴ παρ' ἐκείνοις, οὐ λόγου δύναμις σεμνότητι κεκοσμημένη καὶ χάρισιν, οὐκ ἄλλο τι τῶν ζηλωτῶν καὶ περιβλέπτων οὐδέν. Ὥσπερ δὲ οἱ γῦπες πρὸς τὰ δυσώδη φέρονται, πολλοὺς μὲν λειμῶνας, πολλοὺς δὲ ἡδεῖς καὶ εὐώδεις τόπους ὑπεριπτάμενοι· καὶ αἱ μυῖαι τὸ μὲν ὑγιαῖνον παρατρέχουσι, πρὸς δὲ τὸ ἕλκος ἐπείγονται· οὕτως οἱ βάσκανοι τὰς μὲν τοῦ βίου λαμπρότητας καὶ τὰ μεγέθη τῶν κατορθουμένων οὐδὲ προσβλέπουσι, τοῖς δὲ σαθροῖς ἐπιτίθενται· κἂν τι προσπταῖσαι συμβῇ, οἷα πολλὰ τὰ ἀνθρώπινα, τοῦτο δημοσιεύουσι καὶ ἀπὸ τούτων τοὺς ἄνδρας γνωρίζειν βούλονται· ὥσπερ οἱ πονηροὶ τῶν ζωγράφων ἀπὸ τῆς ἐνδιαστρόφου ῥινός, ἢ ἀπό τινος οὐλῆς ἢ κολοβώματος, ἐκ φύσεως ἢ ἐκ πάθους ἐπισυμβάντος, τὰς μορφὰς τῶν γραφομένων ἀποσημαίνοντες. Δεινοὶ δὲ ταῖς εἰς τὸ χεῖρον παρατροπαῖς τὸ ἐπαινετὸν διαπτύσαι καὶ ἐκ τῆς γείτονος κακίας τὴν ἀρετὴν διαβαλεῖν. Θρασὺν μὲν γὰρ λέγουσι τὸν ἀνδρεῖον, ἀνάλγητον δὲ τὸν σώφρονα, τὸν δίκαιον ἀπηνῆ, κακοῦργον τὸν φρόνιμον. Καὶ τὸν μεγαλοπρεπῆ μὲν ὡς βάναυσον διαβάλλουσι, τὸν ἐλεύθεριον δὲ ὡς ἄσωτον· πάλιν τὸν οἰκονομικὸν φειδωλόν. Καὶ ὅλως, πάντα τὰ τῆς ἀρετῆς εἴδη οὐκ ἀπορεῖ παρ' αὐτοῖς ὀνόματος ἐκ τῆς ἀντικειμένης κακίας μετενεχθέντος. Τί οὖν; ἐν τῇ κατηγορίᾳ τοῦ κακοῦ τὸν λόγον στήσομεν; Ἀλλὰ τοῦτο ὥσπερ ἥμισύ τί ἐστι τῆς ἰατρείας. Τὸ μὲν γὰρ δεῖξαι τῷ κάμνοντι τῆς νόσου τὸ μέγεθος, ὥστε ἀξίαν ἐμποιῆσαι αὐτῷ τοῦ κακοῦ τὴν φροντίδα, οὐκ ἄχρηστον· τὸ δὲ ἄχρι τούτου καταλιπεῖν, μὴ πρὸς τὴν ὑγείαν χειραγωγήσαντα, οὐδὲν ἕτερόν ἐστιν ἢ ἔκδοτον ἀφεῖναι τῇ ἀρρωστίᾳ τὸν κάμνοντα. Τί οὖν; πῶς ἂν μὴ πάθοιμεν ἐξ ἀρχῆς τὴν νόσον, ἢ ὑπαχθέντες ἐκφύγοιμεν; Εἰ πρῶτον μὲν μηδὲν μέγα, μηδὲ ὑπερφυὲς τῶν ἀνθρωπίνων κρίνοιμεν· μὴ εὐπορίαν τὴν ἐν ἀνθρώποις, μὴ δόξαν τὴν ἀπανθοῦσαν, μὴ σώματος εὐεξίαν. Οὐ γὰρ ἐν τοῖς παρερχομένοις ὁριζόμεθα εἶναι τὸ ἀγαθόν, ἀλλ' ἐπὶ αἰωνίων ἀγαθῶν καὶ ἀληθινῶν μετουσίαν κεκλήμεθα. Ὥστε ὁ πλουτῶν οὔπω ζηλωτός ἐστι διὰ τὸν πλοῦτον· οὐχ ὁ δυνάστης διὰ τὸν ὄγκον τοῦ ἀξιώματος, οὐχ ὁ ἰσχυρὸς διὰ τὴν ῥώμην τοῦ σώματος, οὐχ ὁ σοφὸς διὰ τὴν τοῦ λόγου περιουσίαν. Ὄργανα γάρ ἐστι ταῦτα τῆς ἀρετῆς τοῖς καλῶς κεχρημένοις, οὐκ αὐτὰ ἐν ἑαυτοῖς ἔχοντα τὸ μακάριον. Ὁ μὲν οὖν κακῶς αὐτοῖς κεχρημένος, ἐλεεινός, ὡς ὁ τῷ ξίφει, ὃ ἔλαβε πρὸς τὴν τῶν πολεμίων ἄμυναν, τούτῳ ἑκουσίως ἑαυτὸν κατα-

τιτρώσκων· εἰ [384] δὲ καλῶς καὶ κατὰ τὸν ὀρθὸν λόγον τὰ παρόντα μεταχειρίζεται καὶ οἰκονόμος ἐστὶ τῶν παρὰ Θεοῦ, οὐχὶ δὲ πρὸς ἰδίαν ἀπόλαυσιν θησαυρίζει, ἐπαινεῖσθαι καὶ ἀγαπᾶσθαι δίκαιός ἐστι διὰ τὸ φιλάδελφον καὶ κοινωνικὸν τοῦ τρόπου. Πάλιν φρονήσει τις διαφέρει καὶ λόγῳ Θεοῦ τετίμηται καὶ ἐξηγητής ἐστιν ἱερῶν λογίων· μὴ φθονήσῃς τῷ τοιούτῳ, μηδὲ βουληθῇς ποτε σιωπῆσαι τὸν τῶν ἱερῶν ὑποφήτην, εἰ τῇ τοῦ Πνεύματος χάριτι ἀποδοχή τις καὶ ἔπαινος ἐκ τῶν ἀκουόντων ἀκολουθεῖ. Σὸν γάρ ἐστι τὸ ἀγαθὸν καὶ σοὶ ἐπέμφθη διὰ τοῦ ἀδελφοῦ τῆς διδασκαλίας τὸ δῶρον, ἐὰν ὑποδέξασθαι θέλῃς. Εἶτα, πηγὴν μὲν βρύουσαν οὐδεὶς ἐμφράσσει· καὶ ἡλίου λάμποντος οὐδεὶς τὰς ὄψεις ἐπικαλύπτει, οὐδὲ βασκαίνει ἐκείνοις, ἀλλ' ἑαυτῷ συνεύχεται τὴν ἀπόλαυσιν· λόγου δὲ πνευματικοῦ ἐν Ἐκκλησίᾳ βρύοντος καὶ καρδίας εὐσεβοῦς ἐκ τῶν χαρισμάτων τοῦ Πνεύματος πηγαζούσης, οὐχ ὑπέχεις τὰς ἀκοὰς μετ' εὐφροσύνης; οὐκ εὐχαρίστως ὑποδέχῃ τὴν ὠφέλειαν; Ἀλλὰ δάκνει σε ὁ κρότος τῶν ἀκουόντων καὶ ἐβουλήθης ἂν μήτε τὸν ὠφελούμενον εἶναι, μήτε τὸν ἐπαινοῦντα. Τίνα ταῦτα ἀπολογίαν ἕξει ἐπὶ τοῦ κριτοῦ τῶν καρδιῶν ἡμῶν; Φύσει μὲν οὖν εἶναι καλὸν ἡγεῖσθαι χρὴ τὸ τῆς ψυχῆς ἀγαθόν· τὸν δὲ ὑπεραυθοῦντα τῷ πλούτῳ καὶ δυναστείᾳ μέγα φρονοῦντα καὶ εὐεξίᾳ σώματος καὶ καλῶς μὲν κεχρημένον οἷς ἔχει, ἀγαπᾶν καὶ περιέπειν, ὡς κοινὰ τὰ τοῦ βίου ὄργανα κεκτημένον, εἴπερ δὴ ταῦτα κατὰ τὸν ὀρθὸν λόγον μεταχειρίζοιτο· ὡς τῇ μὲν τῶν χρημάτων χορηγίᾳ ἄφθονος εἶναι τοῖς δεομένοις, τῷ σώματι δὲ ὑπηρεσίαν παρέχειν τοῖς ἀσθενοῦσι, πᾶσαν δὲ τὴν λοιπὴν περιουσίαν οὐ μᾶλλον ἑαυτοῦ νομίζειν, ἢ καὶ οὐτινοσοῦν τῶν ἐπιδεομένων· τὸν δὲ μὴ οὕτω πρὸς ταῦτα διακείμενον ἄθλιον τίθεσθαι μᾶλλον ἢ ἐπίφθονον, εἰ μείζονας ἔχει πρὸς τὸ κακὸς εἶναι τὰς ἀφορμάς. Τοῦτο γάρ ἐστιν ἐκ πλείονος τῆς παρασκευῆς καὶ πραγματείας ἀπόλλυσθαι. Εἰ μὲν γὰρ ἐφόδιον πρὸς ἀδικίαν ὁ πλοῦτος, ἐλεεινὸς ὁ πλουτῶν· εἰ δὲ ὑπηρεσία πρὸς ἀρετήν, οὐκ ἔχει χώραν ἡ βασκανία, κοινῆς τῆς ἀπ' αὐτῶν ὠφελείας ἅπασι προκειμένης· πλὴν εἰ μή τις ἄρα τῇ περιουσίᾳ τῆς πονηρίας καὶ ἑαυτῷ βασκαίνοι τῶν ἀγαθῶν. Ὅλως δέ, ὑπερκύψας τῷ λογισμῷ τὰ ἀνθρώπινα καὶ πρὸς τὸ ὄντως καλὸν καὶ ἐπαινετὸν ἀπιδών, πολλοῦ ἄν τι δέοις τῶν φθαρτῶν καὶ γηίνων μακαριστὸν κρῖναι καὶ ζηλωτόν. Οὕτω δὲ ἔχοντι καὶ μὴ ὡς ἐπὶ μεγάλοις ἐκπεπληγμένῳ τοῖς κοσμικοῖς, ἀμήχανόν ποτε παραγενέσθαι τὸν φθόνον. Εἰ δὲ πάντως δόξης ἐπιθυμεῖς καὶ βούλει τῶν πολλῶν ὑπερφαίνεσθαι καὶ διὰ τοῦτο οὐκ ἀνέχῃ δεύτερος [385] εἶναι (ἔστι γὰρ οὖν δὴ καὶ τοῦτο πρὸς τὸ φθονεῖν ἀφορμή), σὺ δὲ ἐπὶ τὴν κτῆσιν τῆς ἀρετῆς, ὥσπερ τι ῥεῦμα, μετάθες σεαυτοῦ τὸ φιλότιμον. Μὴ γὰρ πάντως πλουτεῖν ἐκ παντὸς τρόπου βούλου, μηδὲ εὐδόκιμος εἶναι ἐκ τῶν τοῦ κόσμου πραγμάτων. Οὐ γὰρ ἐπὶ σοὶ ταῦτα· ἀλλὰ δίκαιος ἔσο καὶ σώφρων καὶ φρόνιμος καὶ ἀνδρεῖος καὶ ὑπομονητικὸς ἐν τοῖς ὑπὲρ εὐσεβείας παθήμασιν. Οὕτω γὰρ καὶ σεαυ-

τὸν σώσεις καὶ ἐπὶ μείζοσιν ἀγαθοῖς μείζονα ἕξεις τὴν περιφάνειαν. Ἡ μὲν γὰρ ἀρετὴ ἐφ' ἡμῖν καὶ δυνατὴ κτηθῆναι τῷ φιλοπόνῳ· ἡ δὲ τῶν χρημάτων περιβολὴ καὶ ὥρα σώματος καὶ ὄγκος ἀξιωμάτων, οὐκ ἐφ' ἡμῖν. Εἰ τοίνυν καὶ μεῖζον ἀγαθὸν ἡ ἀρετὴ καὶ διαρκέστερον καὶ ὁμολογουμένην παρὰ πάντων ἔχουσα τὴν προτίμησιν, ταύτην ἡμῖν διωκτέον· ἣν ἐγγενέσθαι τῇ ψυχῇ, ἀπό τε τῶν ἄλλων παθῶν καὶ μάλιστα δὴ πάντων ἀπὸ τῆς βασκανίας μὴ καθαρευούσῃ, ἀμήχανον.

6. Οὐχ ὁρᾷς ἡλίκον κακὸν ἡ ὑπόκρισις; Καὶ αὕτη καρπός ἐστι τοῦ φθόνου. Τὸ γὰρ διπλοῦν τοῦ ἤθους ἐκ φθόνου μάλιστα τοῖς ἀνθρώποις ἐγγίνεται, ὅταν, τὸ μῖσος ἐν τῷ βάθει κατέχοντες, ἀγάπῃ δεικνύωσι κατακεχρωσμένην τὴν ἐπιφάνειαν· κατὰ τὰς ὑφάλους πέτρας, αἳ, βραχεῖ ὕδατι καλυπτόμεναι, κακὸν ἀπροόρατον τοῖς ἀφυλάκτοις γίνονται. Εἰ τοίνυν καὶ θάνατος ἡμῖν ἐκεῖθεν ὥσπερ ἐκ πηγῆς ἐπερρύη, ἀγαθῶν ἔκπτωσις, Θεοῦ ἀλλοτρίωσις, θεσμῶν σύγχυσις καὶ ἀνατροπὴ πάντων ὁμοῦ τῶν κατὰ τὸν βίον καλῶν· πεισθῶμεν τῷ Ἀποστόλῳ καὶ «μὴ γενώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες»[1], ἀλλὰ μᾶλλον «χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, ὡς καὶ ὁ Θεὸς ἐχαρίσατο ἡμῖν, ἐν Χριστῷ Ἰησοῦ»[2] τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ ἡ δόξα τῷ Πατρὶ σὺν τῷ Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Γαλ. 5,26. 2. Ἐφ. 4,32.

ΟΜΙΛΙΑ ΙΒ'

ΕΙΣ ΤΗΝ ΑΡΧΗΝ ΤΩΝ ΠΑΡΟΙΜΙΩΝ

1. Ἀγαθὸς ὁ τῆς εὐπειθείας μισθός· Ὑπακούσωμεν τοίνυν χρηστῷ Πατρί, προβάλλοντι ἡμῖν ἀγωνίσματα ἐκ τῶν λογίων τοῦ Πνεύματος· ὃς κατὰ τοὺς ἐμπείρους τῶν θηρευτῶν ἐν δυσβάτοις χωρίοις, οἷον σκύλακός τινος, τὴν πεῖραν τοῦ δρόμου λαμβάνειν βούλεται. Προέβαλε δὲ ἡμῖν εἰς ἐξήγησιν τὸ προοίμιον τῶν Παροιμιῶν. Ὅπως δὲ δυσθήρατος τῆς λέ[388]ξεως ταύτης ὁ νοῦς, παντὶ γνώριμον τῷ καὶ μικρὸν ἐπιστήσαντι. Πλὴν οὐκ ἀποκνητέον πρὸς τὴν ἐγχείρησιν, τὴν ἐλπίδα θεμένους ἐπὶ τὸν Κύριον, ὃς, διὰ τῶν προσευχῶν τοῦ ποιμένος, δώσει λόγον ἡμῖν «ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν»[1]. Τρεῖς τὰς πάσας ἔγνωμεν πραγματείας τοῦ σοφωτάτου Σολομῶντος· τήν τε τῶν Παροιμιῶν τούτων καὶ τὴν τοῦ Ἐκκλησιαστοῦ καὶ τὴν τοῦ Ἄσματος τῶν ᾀσμάτων· ἑκάστην πρὸς ἴδιον σκοπὸν συντεταγμένην· πᾶσαι μέντοι ἐπ' ὠφελείᾳ τῶν ἀνθρώπων ἐγράφησαν. Ἡ μὲν γὰρ Παροιμία παίδευσίς ἐστιν ἠθῶν καὶ παθῶν ἐπανόρθωσις καὶ ὅλως διδασκαλία βίου, πυκνὰς τὰς ὑποθήκας περιέχουσα τῶν πρακτέων· ὁ δὲ Ἐκκλησιαστὴς φυσιολογίας ἅπτεται καὶ ἀποκαλύπτει ἡμῖν τῶν ἐν τῷ κόσμῳ τούτῳ τὴν ματαιότητα· ὥστε μὴ ἡγεῖσθαι περισπούδαστα εἶναι τὰ παρερχόμενα, μηδὲ τοῖς ματαίοις προσαναλίσκειν τῆς ψυχῆς τὰς φροντίδας. Τὸ δὲ Ἆσμα τῶν ᾀσμάτων τὸν τρόπον ὑποδείκνυσι τῆς τελειώσεως τῶν ψυχῶν. Περιέχει γὰρ συμφωνίαν νύμφης καὶ νυμφίου, τουτέστι, ψυχῆς οἰκείωσιν πρὸς τὸν Θεὸν Λόγον. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

2. «Παροιμίαι Σολομῶντος υἱοῦ Δαβίδ, ὃς ἐβασίλευσεν ἐν Ἰσραήλ»[2]. Τὸ τῶν παροιμιῶν ὄνομα ἐπὶ τῶν δημωδεστέρων λόγων παρὰ τοῖς ἔξωθεν τέτακται καὶ ἐπὶ τῶν ἐν ταῖς ὁδοῖς λαλουμένων, ὡς τὰ πολλά· οἷμος γὰρ παρ' αὐτοῖς ἡ ὁδὸς ὀνομάζεται, ὅθεν καὶ τὴν παροιμίαν ὡρίζοντο, ῥῆμα παρόδιον τετριμμένον ἐν τῇ χρήσει τῶν πολλῶν καὶ ἀπὸ ὀλίγων ἐπὶ πλείονα ὅμοια μεταληφθῆναι δυνάμενον. Παρὰ δὲ ἡμῖν παροιμία ἐστὶ λόγος ὠφέλιμος, μετ' ἐπικρύψεως μετρίας ἐκδεδομένος πολὺ μὲν τὸ αὐτόθεν χρήσιμον περιέχων, πολλὴν δὲ καὶ ἐν τῷ βάθει τὴν διάνοιαν συγκαλύπτων. Ὅθεν καὶ ὁ Κύριος, «ταῦτα», φησίν, «ἐν παροιμίαις ὑμῖν λελάληκα. Ἔρχεται ὥρα, ὅτε οὐκέτι ἐν παροιμίαις, ἀλλὰ παρρησίᾳ λαλήσω ὑμῖν»[3]· ὡς τοῦ παροιμιακοῦ λόγου τὸ πεπαρρησιασμένον καὶ δεδημοσιευμένον τῆς διανοίας μὴ ἔχοντος, ἀλλὰ πλα-

1. Ἐφ. 6,19. 2. Παρμ. 1,1. 3. Ἰω. 16,25.

γίως ἑαυτοῦ τὸ βούλημα τοῖς ἐντρεχεστέροις παραδηλοῦντος. Παροιμίαι τοίνυν Σολομῶντος· τουτέστι, λόγοι προτρεπτικοί, παρὰ πᾶσαν τοῦ βίου τὴν ὁδὸν χρησιμεύοντες. Προσέθηκε δὲ τὸ ὄνομα τοῦ συγγραφέως, ἵνα τῇ τοῦ προσώπου περιφανείᾳ τὸν ἀκροατὴν ἐφελκύσηται. Ἀξιοπιστία γὰρ τοῦ διδάσκαντος εὐπαράδεκτον μὲν τὸν λόγον καθίστησι, προσεχεστέρους δὲ τοὺς διδασκομένους παρασκευάζει. Παροιμίαι οὖν Σολομῶντος, Σολομῶντος ἐκείνου πρὸς ὃν εἶπεν ὁ Κύριος· «ἰδοὺ δέδωκά σοι καρ[389]δίαν φρονίμην καὶ σοφήν, ὡς σὺ οὐ γέγονεν ἔμπροσθέν σου καὶ μετὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι»[1]· καὶ πάλιν· «ἔδωκεν ὁ Κύριος σοφίαν καὶ φρόνησιν τῷ Σαλωμὼν πολλὴν σφόδρα καὶ χύμα καρδίας ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν. Καὶ ἐπληθύνθη ἡ σοφία Σαλωμὼν ὑπὲρ τὴν φρόνησιν πάντων ἀρχαίων ἀνθρώπων καὶ ὑπὲρ πάντας φρονίμους Αἰγύπτου»[2]. Οὕτως ἀναγκαία ἡ τοῦ ὀνόματος προσθήκη· «Παροιμίαι Σολομῶντος υἱοῦ Δαβίδ»[3]. Πρόσκειται καὶ ὁ πατήρ, ὥστε σε γνῶναι, ὅτι σοφὸς ἦν ὁ Σολομὼν ἐκ σοφοῦ καὶ προφήτου πατρός, ἐκ βρέφους τὰ ἱερὰ γράμματα πεπαιδευμένος καὶ οὐχὶ κλήρῳ τὴν ἀρχὴν λαχών, οὐδ' εἰς οὐδὲν αὐτῷ προσήκουσαν τὴν βασιλείαν εἰσβιασάμενος, ἀλλὰ κρίσει δικαίᾳ πατρὸς καὶ ψήφῳ Θεοῦ τὰ πατρῷα σκῆπτρα παραλαβών. Οὕτος βασιλεὺς ἐγένετο τῆς Ἱερουσαλήμ. Οὐδὲ τοῦτο ἀργόν· μάλιστα μὲν πρὸς τὴν τῶν ὁμωνυμιῶν διάκρισιν, ἔπειτα δὲ καὶ διὰ τὴν κατασκευὴν τοῦ πολυθρυλλήτου ναοῦ· ἵνα γνωρίσῃς αὐτοῦ τὸν δημιουργὸν καὶ πάσης τῆς κατὰ τὴν πόλιν οἰκονομίας καὶ τῶν θεσμῶν καὶ τῆς εὐταξίας τὸν αἴτιον. Μέγα δὲ συμβάλλεται πρὸς τὴν τῶν παραινέσεων παραδοχὴν καὶ τὸ βασιλέα εἶναι τὸν συγγραφέα τοῦ λόγου. Εἰ γὰρ βασιλεία ἐστὶν ἔννομος ἐπιστασία, δῆλον ὅτι αἱ παρὰ βασιλέως διδόμεναι ὑποθῆκαι, τοῦ γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίου, πολὺ τὸ νόμιμον ἔχουσι, τὸ κοινῇ πᾶσι λυσιτελὲς σκοποῦσαι καὶ οὐχὶ πρὸς τὸν σκοπὸν τῆς ἰδίας ὠφελείας συντεταγμέναι. Τοῦτο γὰρ διαφέρει τύραννος βασιλέως, ὅτι ὁ μὲν τὸ ἑαυτοῦ πανταχόθεν σκοπεῖ, ὁ δὲ τὸ τοῖς ἀρχομένοις ὠφέλιμον ἐκπορίζει. Ἀπαριθμεῖται δὲ καὶ τὰ ἐκ τῆς βίβλου χρήσιμα τίνα καὶ πόσα τοῖς διδασκομένοις προσγίνεται.

3. Καὶ πρῶτον ἐκ τῶν Παροιμιῶν ἐστι «γνῶναι σοφίαν καὶ παιδείαν»[4]. Ἔστι δὲ σοφία ἐπιστήμη θείων τε καὶ ἀνθρωπίνων πραγμάτων καὶ τῶν τούτοις αἰτιῶν. Ὁ οὖν ἐπιτετευγμένως θεολογῶν ἔγνω σοφίαν, ὡς καὶ ὁ μακάριος Παῦλος λέγει· «σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων»[5]. Καὶ ὁ ἐκ τῆς τοῦ κόσμου δὲ κατασκευῆς τὸν δημιουργὸν ἐννοῶν, [392] ἔγνω καὶ αὐτὸς διὰ τῆς τοῦ κόσμου σοφίας τὸν Θεόν. «Τὰ γὰρ ἀόρα-

1. Γ' Βασ. 3,12. 2. Πρβλ. Γ' Βασ. 5,9-10. 3. Παρμ. 1,1. 4. Παρμ. 1,2. 5. Α' Κορ. 2,6-7.

τα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται»[1]. Προσβιβάζει δὲ ἡμᾶς τῇ περὶ Θεοῦ ἐννοίᾳ, δι' ὧν φησιν· «ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν»[2]· καὶ τό, «ἡνίκα ἡτοίμαζε τὸν οὐρανόν, συμπαρήμην, αὐτῷ»[3]· καὶ τό, «ἤμην παρ' αὐτῷ ἁρμόζουσα· κἀγὼ ἤμην, ᾗ προσέχαιρε»[4]. Ταῦτα γὰρ πάντα, προσωποποιήσας ἡμῖν τὴν σοφίαν, ὑπὲρ τοῦ ἐναργῶς αὐτῆς παραστῆσαι τὴν γνῶσιν, ἀπ' αὐτῆς διαλέγεται. Καὶ ὅλως τό, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ»[5], περὶ τῆς ἐμφαινομένης σοφίας τῷ κόσμῳ φησί, μονονουχὶ φωνὴν ἀφιείσης διὰ τῶν ὁρωμένων, ὅτι παρὰ Θεοῦ γέγονε καὶ οὐκ αὐτομάτως ἡ τοσαύτη σοφία τοῖς ἀποτελεσθεῖσιν ἐμπρέπει. Ὡς γὰρ «οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ ποίησιν τῶν χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα»[6] (διηγοῦνται δὲ ἄνευ φωνῆς)· «οὐ» γάρ «εἰσι λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν»[7]· οὕτως εἰσί τινες καὶ σοφίας λόγοι τῆς ἀρχεγόνου, τῆς πρὸ τῶν ἄλλων ἐν τῇ δημιουργίᾳ συγκαταβληθείσης τῇ κτίσει. Αὕτη σιωπῶσα βοᾷ τὸν ἑαυτῆς κτίστην καὶ Κύριον, ἵνα δι' αὐτῆς ἀναδράμῃς ἐπὶ τὴν ἔννοιαν τοῦ μόνου σοφοῦ.

4. Ἔστι δέ τις καὶ ἀνθρωπίνη σοφία· ἡ ἐμπειρία τῶν κατὰ τὸν βίον πραγμάτων, καθ' ἣν σοφοὺς λέγομεν τοὺς καθ' ἑκάστην τῶν ὠφελίμων τεχνῶν ἐπιστήμονας. Διόπερ καὶ τὸ πολὺ τῆς βίβλου ἐν τῇ περὶ τῆς σοφίας προτροπῇ τῷ συγγραφεῖ κατηνάλωται. «Σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει· ἐπ' ἄκρων δὲ τειχέων κηρύσσεται»[8]. Ὁρῶν γὰρ τὸ φιλότιμον τῶν ἀνθρώπων καὶ ὅτι πάντες φυσικῶς τὸ περιφανὲς αὐτῆς ἀσπαζόμεθα, διὰ τῶν ἐπαίνων τῆς σοφίας ἐπεγείρει τὰς ψυχὰς πρὸς τὸ μὴ νωθρῶς μηδὲ παρέργως αὐτῆς ἀντιποιεῖσθαι. Πανταχοῦ αὐτῆς πολὺν εἶναι τὸν λόγον φησίν, ἐν ὁδοῖς, ἐν ἀγοραῖς, ἐν τοῖς ὀχυρώμασι τῆς πόλεως. Διὰ τοῦτο πύλας λέγει καὶ πλατείας καὶ τείχη, διὰ μὲν τῶν ἐξόδων καὶ τῶν πλατειῶν τὸ περιφανὲς αὐτῆς ὑποφαίνων, διὰ δὲ τῶν τειχῶν τὸ ἀπ' αὐτῆς ὠφέλιμον καὶ πρὸς πᾶσαν ἀσφάλειαν τοῦ βίου αὔταρκες. Καὶ βουλόμενος ἡμᾶς αὐτῇ προσοικειῶσαι· «εἶπον», φησί, «τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι»[9]· καὶ πάλιν· «ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε»[10]. Εἶτα τὸ κοινωφελὲς αὐτῆς ἐνδεικνύμενος καὶ ὅτι πᾶσιν ὁμοίως ἀνεῖται τὸ ἀπ' αὐτῆς ὠφέλιμον· «ἔσφαξε», φησί, «τὰ **[393]** ἑαυτοῖς θύματα»[11], τουτέστι, στερεὰν τροφὴν ἡτοίμασε τοῖς διὰ τὴν ἕξιν γεγυμνασμένοις τὰ αἰσθητήρια τῆς ψυχῆς[12]. «Ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον»[13], «τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου»[14]. Κρατῆρα δὲ λέγει τὴν κοινὴν καὶ πάνδημον τῶν ἀγαθῶν μετουσίαν· ὅθεν ὁμοτίμως πᾶσιν ἔξεστι τὸ ἑκάστῳ δυνατὸν καὶ σύμμετρον ἀπαρύεσθαι. «Καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν»[15]. Πάντα δι' ἐμφάσεως λέγει, διὰ τῶν σωματικῶν τὰ πνευματικὰ ἡμῖν

1. Ρωμ. 1,20. 2. Παρμ. 3,19. 3. Παρμ. 8,27. 4. Παρμ. 8,30. 5. Παρμ. 8,22. 6. Ψαλ. 18,2. 7. Ψαλ. 18,4. 8. Παρμ. 1,20-21. 9. Παρμ. 7,4. 10. Παρμ. 4,6. 11. Παρμ. 9,2. 12. Πρβλ. Ἑβρ. 5,14. 13. Παρμ. 9,2. 14. Πρβλ. Ψαλ. 103,15. 15. Παρμ. 9,2.

παραδεικνύς. Τὴν γὰρ λογικὴν τροφὴν τῆς ψυχῆς τράπεζαν ὀνομάζει, πρὸς ἣν συγκαλεῖ μετὰ ὑψηλοῦ κηρύγματος, τουτέστι, μετὰ δογμάτων οὐδὲν ταπεινὸν οὐδὲ καταβεβλημένον ἐχόντων. «Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με»[1]. Ὡς γὰρ οἱ ἀσθενοῦντες χρῄζουσιν ἰατρικῆς, οὕτω σοφίας οἱ ἄφρονες ἐπιδέονται. Καὶ τό· «κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς»[2]· καὶ τό· «τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν»[3]· «πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστι»[4]· καὶ τό· «υἱέ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον» σου[5]· καὶ τό· «υἱῷ δὲ σοφῷ εὔοδοι ἔσονται πράξεις»[6]. Καὶ ὅλως ἔξεστί σοι γνῶναι τοῦ λόγου τὴν ἀλήθειαν, ἀναλεξαμένῳ κατὰ σχολὴν τὰ περὶ τῆς σοφίας εἰρημένα τῷ Σολομῶντι. Ἐπειδὴ δὲ «εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία»[7], καθαίρει πρότερον διὰ τοῦ θείου φόβου τὰς ψυχὰς τῶν μελλόντων τῇ σοφίᾳ προσομιλεῖν. Τὸ γὰρ εἰς τοὺς τυχόντας ῥίπτειν τὰ τῆς σωτηρίας μυστήρια καὶ πάντας ὁμοίως παραδέχεσθαι, τοὺς μήτε βίῳ καθαρῷ, μήτε λόγῳ ἐξητασμένῳ καὶ ἀκριβεῖ κεχρημένους, ὁμοιόν ἐστιν ὥσπερ ἂν εἰ καὶ ἐν ἀγγείῳ τις ῥυπαρῷ τὸ πολυτίμητον μύρον ἐμβάλλοι. Διὰ τοῦτο, «ἀρχὴ σοφίας, φόβος Κυρίου»[8]. Φόβος δὲ καθάρσιον ψυχῆς κατὰ τὴν εὐχὴν τοῦ προφήτου λέγοντος· «καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου»[9]. Ὡς ὅπου φόβος ἐνοικεῖ, ἐκεῖ ψυχῆς ἅπασα καθαρότης ἐνίδρυται, πάσης πονηρίας καὶ ἀνοσίου πράξεως ὑποφευγούσης, τῶν τοῦ σώματος μελῶν κινηθῆναι πρὸς ἀτόπους ἐνεργείας, διὰ τὸ τῷ φόβῳ καθηλῶσθαι, μὴ δυναμένων. Ὥσπερ γὰρ ὁ ἐμπεπηγότας ἔχων ἐν αὐτῷ τοὺς σωματικοὺς ἥλους ἀνενέργητός ἐστιν ὑπὸ τῶν ὀδυνῶν κατεχόμενος, οὕτως ὁ τῷ φόβῳ τοῦ Θεοῦ κατειλημμένος, οὐκ ὀφθαλμῷ χρήσασθαι πρὸς ἃ μὴ δεῖ, οὐ χεῖρας κινῆσαι πρὸς ἀπηγορευμένας πράξεις, οὐχ ὅλως μικρὸν ἢ μεῖζον ἐνεργῆσαι παρὰ τὸ καθῆκον δύναται, οἷον ὀδύνῃ τινὶ τῇ προσδοκίᾳ τῶν ἀπειληθέντων συμπεπαρμένος.

5. Τοὺς δὲ βεβήλους καὶ συρφετώδεις ἀποπέμπεται τῶν θείων διδασκαλιῶν, λέγων· «ἄφοβοι δὲ ἐν πύλαις αὐλισθήσονται»[10]· καὶ τό· «ζητήσετε παρὰ κακοῖς σοφίαν, καὶ οὐχ εὑρήσετε»[11]· καὶ πάλιν· **[396]** «ζητήσουσί με κακοὶ καὶ οὐχ εὑρήσουσι»[12], διὰ τὸ μὴ ἐκκαθαρθῆναι τῷ θείῳ φόβῳ. Ὥστε, μέλλων προσιέναι τῇ ἀναλήψει τῆς σοφίας, τῷ σωτηρίῳ φόβῳ τὰ ἀπὸ κακίας αἴσχη καθηράμενος προσερχέσθω. Ἀνεφάνη οὖν ἡμῖν καὶ ἕτερον ἀγαθὸν ἐκ τῆς τῶν Παροιμιῶν διδασκαλίας, ἡ τοῦ φόβου ἀνάληψις, διὰ τῆς σοφίας ἡμῖν ἐπεισαχθεῖσα. Δεύτερον ἦν ἐν τοῖς ἐπαγγέλμασι, «γνῶναι παιδείαν»[13]. Ἔστι δὲ ἡ παιδεία ἀγωγή τις ὠφέλιμος τῇ ψυχῇ, ἐπιπόνως πολλάκις τῶν ἀπὸ κακίας κηλίδων αὐτὴν ἐκκαθαίρουσα, ἥτις «πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χα-

1. Παρμ. 9,4. 2. Παρμ. 3,14. 3. Παρμ. 3,15. 4. Ἐνθ' ἀν. 5. Παρμ. θ,12. 6. Πρβλ. Παρμ. 13,13α. 7. Σ. Σολ. 1,4. 8. Παρμ. 1,7. 9. Ψαλ. 118,120. 10. Πρβλ. Παρμ. 19,23. 11. Πρβλ. Παρμ. 14,6. 12. Παρμ. 1,28. 13. Παρμ. 1,2.

ρᾶς εἶναι ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν»[1] εἰς σωτηρίαν. Ταύτην τοίνυν τὴν παιδείαν γνῶναι οὐ τῆς τυχούσης ἐστὶ διανοίας· διότι πολλοὶ πρὸ τὸ τῶν γινομένων ἐπίπονον ἀπαγορεύοντες, τὸ τῆς ἐκβάσεως ὠφέλιμον ὑπὸ ἀμαθίας οὐκ ἀναμένουσιν, ἀλλὰ δυσανασχετοῦντες πρὸς τὸ τῆς ἐπιμελείας αὐστηρόν, τοῖς τῆς ἀμαθίας ἀρρωστήμασιν ἐναπέμειναν. Διὰ τοῦτο θαύματος ἄξιαι τῶν δικαίων αἱ φωναί, τῶν λεγόντων· «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με»[2]. Οὐ γὰρ τὴν παιδείαν παραιτοῦνται, ἀλλὰ τὴν ὀργήν. Τούτῳ παραπλήσιόν ἐστι καὶ τό· «παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ»[3]· καὶ τό· «ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα»[4]. Ὥσπερ γὰρ τῶν παίδων οἱ νήπιοι, κατολιγωροῦντες τῶν μαθημάτων, μετὰ τὰς μάστιγας ἃς οἱ διδάσκαλοι αὐτοῖς ἢ παιδαγωγοὶ προσάγουσι, προσεχέστεροι γενόμενοι, δέχονται τὰ διδάγματα καὶ ὁ αὐτὸς λόγος πρὸ μὲν τῶν πληγῶν οὐκ ἠκούετο, μετὰ δὲ τὰς ἐκ τῶν μαστίγων ὀδύνας, ὡς ἄρτι τῶν ὤτων διανοιγέντων καὶ παρεδέχθη τῇ ἀκοῇ καὶ διεφυλάχθη τῇ μνήμῃ, οὕτω καὶ ἐπὶ τῶν παρακουόντων τῆς θείας διδασκαλίας καὶ καταφρονητικῶς πρὸς τὰς ἐντολὰς διακειμένων συμβαίνει. Ἐπειδὰν γὰρ ἐπαχθῇ αὐτοῖς παρὰ τοῦ Θεοῦ ἡ παιδεία, τότε δὴ μάλιστα τὰ ἀεὶ λαλούμενα καὶ ἀεὶ παρακουόμενα τῶν τοῦ Θεοῦ προσταγμάτων, ὡς πρῶτον ἐμπεσόντα αὐτῶν ταῖς ἀκοαῖς, παρεδέχθη. Διὰ τοῦτο, «ἡ παιδεία Κυρίου», φησίν, «ἀνοίγει μου τὰ ὦτα»[5]. Ἐπεὶ οὖν ἡ παιδεία νουθετεῖ τὸν ἄτακτον, ὡς ἐποίει ὁ Παῦλος παραδιδοὺς τῷ Σατανᾷ, οἷον δημίῳ τινὶ στρεβλοῦντι καὶ μαστίζοντι, «ἵνα παιδευθῶσι μὴ βλασφημεῖν»[6]· τὸν δὲ ἀφηνιαστὴν ἐπανάγει, ὡς περὶ οὗ εἴρηται, ὅτι «ὕστερον αἰχμαλωσίας αὐτοῦ μετενόησεν»[7]· ἀναγκαῖον γνῶναι τῆς παιδείας τὴν δύναμιν πρὸς ὅσα ἐστὶ λυσιτελής. Εἰδὼς οὖν τὸ ἀπ' αὐτῆς ὠφέλιμον ὁ Σολομών, παραινεῖ· «μὴ ἀπόσχῃ νήπιον παιδεύειν, ὅτι, ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐκ ἀποθανεῖται. Σὺ μὲν γὰρ ῥάβδῳ πατάξεις αὐτόν, τὴν δὲ ψυχὴν αὐτοῦ ῥύσῃ ἐκ θανάτου»[8]. «Τίς γὰρ Υἱός, ὃν οὐ παιδεύει πατήρ;»[9]. Αὕτη ἡ παιδεία πολλῶν χρημάτων ἐστὶ τοῖς ὀρθῶς λογιζομένοις τιμιωτέρα. Διό φησιν ὁ Σολομών· **[397]** «λάβετε παιδείαν, καὶ μὴ ἀργύριον»[10], ἵνα ἐν καιρῷ περιστάσεων, ἢ τοῦ σώματος κάμνοντος ἢ τῶν κατὰ τὸν οἶκον πεπονηκότων, μή ποτε πονηρὰν ἔννοιαν λάβῃς περὶ Θεοῦ, ἀλλ' ἐν ὑπομονῇ πολλῇ δέχῃ αὐτοῦ τὰς πληγάς, παιδευόμενος ἐφ' οἷς ἥμαρτες, καὶ λέγῃς καὶ σὺ διὰ τὸ γνῶναι παιδείαν, τό· «ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ»[11]· καὶ τό· «ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με»[12]. Οἷος ἦν ὁ Παῦλος λέγων· «παιδευόμενοι καὶ μὴ θανατούμενοι»[13]· καὶ

1. Ἑβρ. 12,11. 2. Ψαλ. 6,2. 3. Ἱερ. 10,24. 4. Ἡσ. 50,5. 5. Ἔνθ' ἀν. 6. Α' Τιμ. 1,20. 7. Πρβλ. Ἱερ. 38,19. 8. Παρμ. 23,13-14. 9. Ἑβρ. 12,7. 10. Παρμ. 8,10. 11. Μιχ. 7,9. 12. Ψαλ. 118,71. 13. Β' Κορ. 6,9.

τό· «ἐλεγχόμενοι, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν»[1].

6. Ἐπειδὴ δὲ καὶ ἡ τῶν μαθημάτων ἀνάληψις παιδεία λέγεται, κατὰ τὸ γεγραμμένον περὶ τοῦ Μωυσέως, ὅτι «ἐπαιδεύθη ἐν πάσῃ σοφίᾳ Αἰγυπτίων»[2], τὸ μὴ τοῖς τυχοῦσιν ἑαυτὸν μαθήμασιν ἐπιβάλλειν, ἀλλὰ γνῶναι τὴν χρησιμωτάτην παιδείαν, οὐ μικρὸν πρὸς σωτηρίαν. Ἤδη γάρ τινες, ἢ γεωμετρίᾳ σχολάζοντες, ἣν ἐξεῦρον Αἰγύπτιοι, ἢ ἀστρολογίᾳ τῇ παρὰ τῶν Χαλδαίων τετιμημένῃ, ἢ ὅλως περὶ σχήματα καὶ σκιὰς τὴν μετεωρολογίαν ἔχοντες, τῆς ἐκ τῶν θείων λογίων παιδεύσεως ὑπερεῖδον. Ἀλλὰ καὶ ποιητικὴ καὶ ῥητορικὴ καὶ ἡ τῶν σοφισμάτων εὕρεσις πολλοὺς ἀπησχόλησεν· ὧν ὕλη τὸ ψεῦδός ἐστιν. Οὔτε γὰρ ποιητικὴ συστῆναι δύναται ἄνευ τοῦ μύθου· οὔτε ῥητορικὴ ἄνευ τῆς ἐν τῷ λέγειν τέχνης· οὔτε σοφιστικὴ ἄνευ τῶν παραλογισμῶν. Ἐπεὶ οὖν πολλοὶ τῇ περὶ ταῦτα σπουδῇ τῆς περὶ Θεοῦ γνώσεως κατημέλησαν, ἐν τῇ τῶν ματαίων ἐρεύνῃ καταγηράσαντες, ἀναγκαία ἡ τῆς παιδείας ἐπίγνωσις, πρός τε τὴν αἵρεσιν τῆς ὠφελίμου παιδείας καὶ πρὸς τὴν ἀποφυγὴν τῆς ἀνονήτου καὶ βλαβερᾶς. Ἔστι καὶ νοῆσαι λόγους φρονήσεως τῷ προσέχοντι ταῖς Παροιμίαις καὶ τὸ ἀπ' αὐτῶν ὠφέλιμον μὴ ἀργῶς δεχομένῳ. Τὴν φρόνησιν τοίνυν ἐπιστάμεθα οὖσαν μίαν τῶν γενικῶν ἀρετῶν, καθ' ἣν ἐπιστήμονες γινόμεθα ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων οἱ ἄνθρωποι. Ὁ δὲ φρόνιμος δηλονότι παρωνύμως ἐκ τῆς φρονήσεως προσηγόρευται. Πῶς οὖν φρονιμώτατος ὁ ὄφις πάντων τῶν θηρίων μεμαρτύρηται γεγενῆσθαι[3]; **[400]** Καὶ πάλιν ὁ Κύριος· «γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις»[4]. Καὶ φρόνιμος ὁ οἰκονόμος τῆς ἀδικίας[5]. Ἡ δῆλον, ὅτι διπλοῦν ἐστι τὸ τῆς φρονήσεως ὄνομα; Ἡ μὲν γάρ τίς ἐστι φυλακὴ τοῦ οἰκείου συμφέροντος μετὰ τῆς τοῦ πλησίον ἐπιβουλῆς, οἵα ἡ τοῦ ὄφεως, τὴν κεφαλὴν ἑαυτοῦ συντηροῦντος. Ἤδε τις ἔοικεν εἶναι κακεντρέχεια τρόπων, ὀξέως τὸ ἴδιον λυσιτελὲς ἐξευρίσκουσα καὶ συναρπάζουσα τοὺς ἀκεραιοτέρους· ὁποία ἡ τοῦ οἰκονόμου τῆς ἀδικίας. Ἡ δὲ ἀληθὴς φρόνησις διάγνωσίς ἐστι τῶν ποιητέων καὶ οὐ ποιητέων, ᾗ ὁ κατακολουθῶν οὐδέποτε μὲν τῶν τῆς ἀρετῆς ἔργων ἐκστήσεται, οὐδέποτε δὲ τῷ ὁλέθρῳ τῆς κακίας περιπαρήσεται. Ὁ τοίνυν νοῶν λόγους φρονήσεως οἵδε μὲν τίνες σοφισματώδεις καὶ ἀπατηλοί τίνες δὲ οἱ περὶ τῶν κατὰ τὸν βίον πρακτέων τὰ βέλτιστα ἡμῖν ὑποτιθέμενοι· καὶ ὡς δόκιμος τραπεζίτης, τὸ μὲν δόκιμον καθέξει, ἀπὸ δὲ παντὸς εἴδους πονηροῦ ἀφέξεται[6]. Αὕτη ἡ φρόνησις χαρίζεται τῷ οἰκοδομοῦντι τὴν ἑαυτοῦ οἰκίαν, τὸν θεμέλιον αὐτοῦ τιθέναι ἐπὶ τὴν πέτραν[7], τουτέστι τῇ πίστει τῇ εἰς Χριστὸν ἐπερείδεσθαι, ὥστε ἄσειστον διαμένειν ἐν βροχαῖς καὶ ἀνέ-

---

1. Πρβλ. Α' Κορ. 11,32. 2. Πράξ. 7,22. 3. Πρβλ. Γεν. 3,1. 4. Ματθ. 10,16. 5. Πρβλ. Λουκ. 16,8. 6. Πρβλ. Α' Θεσ. 5,21-22. 7. Πρβλ. Ματθ. 7,24.

μοις καὶ ποταμῶν προσβολαῖς[1]. Τὸ γὰρ ἐν πειρασμοῖς ἀσάλευτον, τοῖς τε ἀνθρωπίνοις καὶ τοῖς ἄνωθεν ἡμῖν ἐπαγομένοις, διὰ τῶν τοιούτων τῆς παραβολῆς λόγων ὁ Κύριος ἡμῖν ἐνεδείξατο. Διδάσκει δὲ καὶ μὴ καταμελεῖν τῶν ἀναγκαίων, ἀλλὰ πρὸ καιροῦ παρεσκευασμένους τῆς ζωῆς τὰ ἐφόδια, ἐν τῇ ἑτοιμασίᾳ τῆς καρδίας ἀναμένειν τοῦ νυμφίου τὴν παρουσίαν. Αἱ φρόνιμοι γάρ, φησίν, παρθένοι, διὰ τὸ ἔχειν ἐν ταῖς λαμπάσι τὸ ἔλαιον, συνεισῆλθον τῷ νυμφίῳ· αἱ δὲ μωραὶ διὰ τὸ ἀνέτοιμον ἑαυτῶν, τῆς χαρᾶς τοῦ νυμφῶνος ἀπηλλοτριώθησαν[2].

7. Μετὰ τοῦτο, ἴδωμεν τί ἐστι «δέξασθαι στροφὰς λόγων»[3]. Ὁ μὲν ἀληθὴς λόγος καὶ ἀπὸ ὑγιοῦς διανοίας προϊών, ἁπλοῦς ἐστι καὶ μονότροπος, τὰ αὐτὰ λέγων πάντοτε περὶ τῶν αὐτῶν· ὁ δὲ ποικίλος καὶ ἔντεχνος πολὺ τὸ ἐπίπλοκον καὶ ἐγκατάσκευον ἔχων, μυρία κατασχηματίζεται καὶ στρέφεται στροφὰς ἀμυθήτους, πρὸς τὸ τῶν ἐντυγχανόντων ἀρέσκον μεταμορφούμενος. Πρὸς οὖν τὸ δύνασθαι ἡμᾶς ἰσχυρῶς ἀντέχειν τῇ ἀπὸ τῶν τεχνικῶν λόγων προσβολῇ μέγα ὄφελος αἱ Παροιμίαι χαρίζονται. Διότι ὁ προσέχων αὐταῖς καὶ τὰς ἀπ' αὐτῶν παραινέσεις μὴ ἀργῶς προσιέμενος οἱονεὶ καθωπλισμένος τῇ ἐμπειρίᾳ, δέχεται ἀβλαβῶς τὰς στροφὰς τῶν λόγων, μήτε περιτρεπόμενος ὑπ' αὐτῶν, μήτε ἐξανιστάμενός που τῆς ἀληθείας. Ὅταν γὰρ ἄλλως μὲν φύσεως ἔχῃ τὰ πράγματα, ἄλλως δὲ οἱ λόγοι περὶ αὐτῶν ἀναπείθωσι, στροφή τίς ἐστι, μᾶλλον δὲ διαστροφή, ὑπὸ τοῦ λόγου περὶ τὴν ἀλήθειαν γινομένη. Καὶ ἄλλος μὲν φαινόμενος, ἄλλος δὲ ὢν κατὰ ἀλήθειαν, στροφαῖς κέχρηται λόγων, ἀπατῶν τοὺς συνόντας, ὥσπερ τοὺς κύνας λαγωοὶ καὶ ἀλώπεκες, ἑτέραν δεικνύντες καὶ ἑτέραν τρεπόμενοι. Ἡ στροφαί τινές εἰσι λόγων αἱ ἐκ τῆς ψευδωνύμου γνώσεως ἀντιθέσεις. Οὐ καταδεχόμενοι γὰρ τὸ ἁπλοῦν τῆς πνευματικῆς διδασκαλίας, οἱ ἐκ τῆς διαλεκτικῆς πρὸς τὰς ἀντιλογίας ἠκονημένοι, περιτρέπουσι πολλάκις τὴν ἰσχὺν τῆς ἀληθείας τῇ πιθανολογίᾳ τῶν σοφισμάτων. Δέχεται οὖν ταύτας τὰς στροφὰς τῶν λόγων ὁ ταῖς Παροιμίαις ὠχυρωμένος. Κἂν εὕρῃ ποτὲ προβλήματα, ἰσοπαλεῖς τὰς ἐφ' ἑκάτερον ἐπιχειρήσεις ἔχοντα, ἐν οἷς δυσδιάκριτος τοῦ πιθανωτέρου ἡ εὕρεσις, ὅμως διὰ τὸ ἐγγεγυμνάσθαι ταῖς Παροιμίαις, οὐ συγχυθήσεται τὸν νοῦν, κἂν ὅτι μάλιστα δοκῶσιν οἱ προσδιαλεγόμενοι ἐξ ἴσου τὰς ἐκ τῶν ἐπιχειρημάτων πληγὰς ἀλλήλοις ἀντεπιφέρειν.

8. Χαρίζεται ἡ Παροιμία καὶ τὸ νοῆσαι δικαιοσύνην ἀληθῆ. Ἐπεὶ οὖν ἐστι δικαιοσύνη ἕξις ἀπονεμητικὴ τοῦ κατ' ἀξίαν· δυσθήρατον δὲ τοῦτο, τῶν μὲν διὰ τὸ περὶ τὴν φρόνησιν ἐλλειπές, οὐκ ἐξευρισκόντων ἑκάστῳ διανεῖμαι τὸ ἴσον, τῶν δέ, διὰ τὸ προκατέχεσθαι ὑπὸ παθῶν ἀνθρωπίνων, ἀφανιζόντων τὸ δίκαιον ὅταν πενήτων μὲν καταφρονῶσι, δυνάστας δὲ ἀδικοῦντας μὴ διελέγχωσι, δώσειν ὑπισχνεῖται τοῖς ἑαυτῆς μαθηταῖς ἡ βίβλος τῶν Παροιμιῶν τῆς ἀληθοῦς δι-

1. Πρβλ. Ματθ. 7,25. 2. Πρβλ. Ματθ. 25,10-13. 3. Παρμ. 1,3.

καιοσύνης τὴν γνῶσιν. Καὶ ἐπειδὴ πολλοὶ τὸν παρὰ τῶν πολλῶν ἔπαινον θηρώμενοι, ἔργῳ μὲν τὴν ἀδικίαν καὶ τὸ πλεονεκτικὸν ὡς ὠφέλιμον προτιμῶσι, σχήματι δὲ καὶ λόγῳ τὴν ἰσότητα καὶ τὴν δικαιοσύνην, ὑπερθαυμάζουσιν, οὐδὲ τούτους ἀγνοήσει ὁ τὰς Παροιμίας πεπαιδευμένος, ἀλλὰ γνώσεται τίς ἡ κίβδηλος καὶ νενοθευμένη καὶ τίς ἡ ἀληθινὴ καὶ ἄδολος δικαιοσύνη. Ἐπεὶ μέντοι πολλοὺς καὶ οἱ ἔξωθεν σοφοὶ κατεβάλοντο λόγους περὶ δικαιοσύνης καὶ πιθανῶς παρακρούονται τοὺς μὴ δυναμένους τῷ ἀληθεῖ λόγῳ περὶ τοῦ σκέμματος τούτου ἐπακολουθῆσαι, ἐπαγγέλλεται γνωρίσειν ἡ βίβλος τὴν ἀληθῆ δικαιοσύνην ὥστε τὸ ἐκ τῶν σοφισμάτων ἡμᾶς βλαβερὸν διαδρᾶναι. Ἤδη δὲ καὶ τὰ νόμιμα τῶν ἐθνῶν, πολλὴν πρὸς ἄλληλα ἔχοντα τὴν διαφοράν, σύγχυσιν ἐμποιεῖ ταῖς διανοίαις τῶν μὴ τὸν ἀκριβῆ τῆς δικαιοσύνης λόγον κατειληφότων. Ἕνια μὲν γὰρ τῶν ἐθνῶν τὴν πατροφονίαν δικαίαν τίθενται· ἄλλα δὲ τῶν ἐθνῶν πάντα φόνον ὡς ἀνόσιον ἀποτρέπεται. Καὶ τὰ μὲν σωφροσύνην ὑπερτιμᾷ· τὰ δὲ μητράσι καὶ θυγατράσι καὶ ἀδελφαῖς ἐπιμαίνεται. Καὶ ὅλως πολλοί, ἀρχαίῳ ἔθει κεκρατημένοι, τὸ μυσαρὸν τῶν γενομένων οὐ διακρίνουσιν. Ἡ δὲ βίβλος αὕτη, διδάσκουσα τὰ περὶ τῆς ἀληθοῦς δικαιοσύνης, ῥύεται τῶν ἐξ ἀλογίας παθῶν τοὺς ἀνθρώπους. Ἔστι δὲ δικαιο[404]σύνη, ἡ μέν τις ἐν ἡμῖν στρεφομένη, ἡ τοῦ ἴσου διανομή. Ἐὰν γὰρ καὶ μὴ τυγχάνωμεν αὐτοῦ κατὰ ἀκρίβειαν, ἀλλὰ γνώμῃ τῇ δικαιοτάτῃ ποιοῦντες, οὐκ ἀποπίπτομεν τοῦ σκοποῦ. Ἡ δὲ τις οὐρανόθεν ἐπαγομένη παρὰ τοῦ δικαίου κριτοῦ, ἥ τε ἐπανορθωτικὴ καὶ ἡ ἀνταποδοτική, ἧς πολὺ τὸ δυσθεώρητον διὰ τὸ ὕψος τῶν ἐναποκειμένων αὐτῇ δογμάτων. Τοῦτο γὰρ οἶμαι λέγειν τὸν Ψαλμῳδόν· «ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ»[1]. Ἐπαγγέλλεται οὖν ταύτην τὴν ὄντως ἀληθῆ καὶ θείαν δικαιοσύνην φανερὰν καταστήσειν τοῖς ἐγγεγυμνασμένοις τῇ παροιμιώδει διδασκαλίᾳ.

9. Πάλιν ἐπειδὴ τῶν ἁμαρτανομένων τὰ μὲν ἀκούσιά ἐστι, τὰ δὲ ἀπὸ γνώμης πονηρᾶς ἁμαρτάνεται καὶ ὁ τοῦ δικαίου ὅρος οὐχ ὁ αὐτὸς ἐπὶ τούτοις. Ὑποθώμεθα γὰρ πορνείαν εἶναι τὸ κρινόμενον καὶ πόρνας δύο. Ἀλλ' ἡ μέν, πορνοβοσκῷ πραθεῖσα, πρὸς ἀνάγκην ἐστὶν ἐν τῷ κακῷ, τὴν ἐκ τοῦ σώματος ἐργασίαν τῷ πονηρῷ δεσπότῃ παρεχομένη· ἡ δὲ διὰ τὴν ἡδονὴν ἑκουσίως ἑαυτὴν ἐπιδοῦσα τῇ ἁμαρτίᾳ. Ἄλλως οὖν τὰ ἀκούσια τυγχάνει συγγνώμης καὶ ἄλλως τὰ ἐκ μοχθηρᾶς προαιρέσεως κατακρίνεται. Πάλιν ὁ μέν τις ἥμαρτε, πονηρῶς τὸ ἐξ ἀρχῆς τεθραμμένος· καὶ γὰρ καὶ ὑπὸ γονέων ἀδίκων εἰς τὸν βίον παρήχθη καὶ συνετράφη καὶ ῥήμασι καὶ πράξεσι παρανόμοις· ἄλλος δὲ πολλὰ ἔχων τὰ προκαλούμενα αὐτὸν εἰς ἀρετήν, ἀνατροπὴν σεμνοτάτην, νουθέτησιν γονέων, διδασκάλων ἀκρίβειαν, ἀκρόασιν λόγων θειοτέρων, δίαιταν κατεσταλμένην, τὰ ἄλλα οἷς ψυχὴ παιδαγωγεῖται

1. Ψαλ. 35,7.

πρὸς ἀρετήν, εἶτα καὶ αὐτὸς εἰς τὴν ὁμοίαν ἁμαρτίαν ὑπώλισθε· πῶς οὐχὶ βαρυτέρας δικαίως ὁ τοιοῦτος τῆς τιμωρίας ἀξιωθήσεται; Ὁ μὲν γὰρ ἐπὶ μόναις ταῖς κατεσπαρμέναις ἐν ταῖς ἐννοίαις ἡμῶν σωτηρίοις ἀφορμαῖς ἐγκληθήσεται, ὡς οὐ χρησάμενος αὐταῖς ὑγιῶς· ὁ δὲ πρὸς τούτῳ καὶ ὡς προδεδωκὼς πᾶσαν τὴν δεδομένην αὐτῷ συνέργειαν καὶ δι' ἀπροσεξίαν εἰς τὸν πονηρὸν βίον κατασυρείς. Τὸ οὖν νοῆσαι τὴν ἀληθῆ δικαιοσύνην μεγάλης ὄντως διανοίας καὶ φρενὸς τελειοτάτης. Μήποτε δὲ καὶ ἐπαγγελίαν ἔχει, τὸν τὰ παροιμιακὰ παιδευθέντα δυνήσεται λοιπὸν ἐπιβαλεῖν τῇ ἀκριβείᾳ τῆς θεολογίας. Ἡ γὰρ ἀληθὴς δικαιοσύνη ἐστὶν ὁ Χριστός, «ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις»[1]. Συνέζευκται τῷ γνῶναι δικαιοσύνην ἀληθῆ τὸ κρῖμα κατευθῦναι. Ἀμήχανον γὰρ τὸν μὴ προπαιδευθέντα περὶ τοῦ δικαίου δύνασθαι τὰς ἀμφισβητήσεις ὀρθῶς διακρῖναι[2]. Οὐδὲ γὰρ αὐτὸς Σολομών, εἰ μὴ εἶχε τοὺς περὶ τοῦ δικαίου λόγους ἀκριβεῖς ἐν ἑαυτῷ, ἠδύνατο τὴν πολυθρύλλητον ἐκείνην κρίσιν, οὕτως ὀρθῶς καὶ εὐθυβόλως ἐξενεγκεῖν, ἣν ἔκρινε ταῖς πόρναις περὶ τοῦ παιδίου. Ἐπειδὴ γὰρ ἀμάρτυρα ἦν τὰ παρ' ἑκατέρας λεγόμενα, ἐπὶ τὴν φύσιν ἐχώρησε καὶ δι' αὐτῆς εὗρε τὰ ἀγνοούμενα· τῆς μὲν ἀλλοτρίας **[405]** ἀπαθῶς καταδεξαμένης τοῦ παιδίου τὴν ἀναίρεσιν, τῆς δὲ ἀληθοῦς μητρὸς διὰ τὴν φυσικὴν φιλοστοργίαν οὐδὲ τὴν ἀκοὴν ἀνασχομένης τοῦ πάθους[3]. Ὁ οὖν εἰδὼς τὴν ἀληθῆ δικαιοσύνην καὶ δι' αὐτῆς διδαχθεὶς τὸ οἰκεῖον ἀπονέμειν ἑκάστῳ, οὗτος δύναται κατευθύνειν τὸ κρῖμα. Ὥσπερ γὰρ ὁ τοξότης πρὸς τὸν σκοπὸν ἀπευθύνει τὸ βέλος, οὔτε ὑπερβολαῖς, οὔτε ἐλλείψεσιν, οὔτε ταῖς ἐφ' ἑκάτερα παρατροπαῖς ἀποπλανῶν τὴν τοξείαν· οὕτως ὁ κριτὴς τοῦ δικαίου καταστοχάζεται, οὔτε πρόσωπα λαμβάνων (γνωρίζειν γὰρ «πρόσωπον ἐν κρίσει οὐ καλὸν»[4]), οὔτε ποιῶν καὶ πρόσκλισιν, ἀλλ' εὐθείας καὶ ἀδιαστρόφους, ἐκφέρων τὰς κρίσεις. Καὶ δύο κρινομένων παρ' αὐτῷ, τοῦ τε πλεονεκτοῦντος καὶ τοῦ τὸ ἔλαττον ἔχοντος, ἔστηκεν ὁ κριτὴς ἐπανισῶν αὐτοὺς πρὸς ἀλλήλους καὶ τοσοῦτον ἀφαιρῶν τοῦ ὑπερέχοντος, ὅσον ἐλαττούμενον εὑρίσκει τὸν ἀδικούμενον. Ὁ δὲ τὴν ἀληθῆ δικαιοσύνην μὴ ἔχων προεναποκειμένην αὐτοῦ τῇ ψυχῇ, ἀλλ' ἢ χρήμασι διεφθαρμένος, ἢ φιλίᾳ χαριζόμενος, ἢ ἔχθραν ἀμυνόμενος, ἢ δυναστείαν δυσωπούμενος, τὸ κρῖμα κατευθύνειν οὐ δύναται. Πρὸς ὃν ἐρεῖ ὁ ψαλμὸς τό· «εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε, υἱοὶ τῶν ἀνθρώπων»[5]. Ἔλεγχος γὰρ τῆς τοῦ δικαίου διαθέσεως ἡ περὶ τὸ κρίνειν ὀρθότης. Ὅθεν καὶ αὐτὸς προϊὼν ἀπαγορεύει λέγων· «στάθμιον μέγα καὶ μικρόν»[6], βδελυκτὰ παρὰ Κυρίῳ»[7], τὸ περὶ τὴν κρίσιν ἄνισον τῇ τῶν σταθμίων προσηγορίᾳ παροιμιακῶς αἰνισσόμενος. Οὐ μόνον δὲ τοῖς δικάζουσι τοῦτο χρήσιμον, ἀλλὰ καὶ ταῖς

1. Α' Κορ. 1,30. 2. Πρβλ. Παρμ. 1,3. 3. Πρβλ. Γ' Βασ. 3,25 ἑξ. 4. Παρμ. 24,23. 5. Πρβλ. Ψαλ. 57,2. 6. Πρβλ. Παρμ. 20,10. 7. Πρβλ. Παρμ. 20,23.

περὶ ἑκάστου τῶν κατὰ τὸν βίον ἐκλογαῖς. Ἐπειδή τι ἔχομεν παρ' ἑαυτοῖς κριτήριον φυσικόν, δι' οὗ τὰ καλὰ τῶν πονηρῶν διακρίνομεν, ἀναγκαῖον ἡμῖν ἐν τῇ ἐκλογῇ τῶν πρακτέων ὀρθὰς ποιεῖσθαι τῶν πραγμάτων τὰς διακρίσεις· καί, οἷόν τινα δικαστὴν ἴσῃ καὶ δικαιοτάτῃ γνώμῃ τοῖς ἐναντίοις βραβεύοντα, πείθεσθαι μὲν τῇ ἀρετῇ, κατα- 5
δικάζειν δὲ τὴν κακίαν. Οἷον πορνεία καὶ σωφροσύνη παρὰ σοὶ κρίνεται καὶ ὑψηλὸς προκαθέζεταί σου ὁ νοῦς πεπιστευμένος τὸ δικαστήριον· καὶ ἡ μὲν ἡδονὴ συνηγορεῖ τῇ πορνείᾳ, ὁ δὲ φόβος τοῦ Θεοῦ τῇ σωφροσύνῃ συνίσταται. Ἐὰν μὲν οὖν καταδικάσῃς τὴν ἁμαρτίαν, δῷς δὲ νικῆσαι τὴν σωφροσύνην, εὐθεῖαν ἐποιήσω τὴν κρίσιν τοῦ πράγ- 10
ματος· ἐὰν δέ, τῇ ἡδονῇ δοὺς τὴν ῥοπήν, προτιμοτέραν ἀποφήνῃς τὴν ἁμαρτίαν, σκολιὸν ἐποιήσω τὸ κρῖμα, ὑπόδικος γενόμενος τῇ ἀρᾷ τοῦ εἰπόντος· «οὐαὶ οἱ λέγοντες **[408]** τὸ πικρὸν γλυκὺ καὶ τὸ γλυκὺ πικρόν· οἱ λέγοντες τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς»[1].

10. Ἐπεὶ οὖν, κατ' αὐτὸν τὸν Σολομῶντα, «λογισμοὶ δικαίων 15
κρίματα»[2], ἔνδον ἐν τῷ κεκρυμμένῳ τῶν λογισμῶν κριτηρίῳ σπουδάζειν χρὴ τὰς περὶ τοῦ πράγματος κρίσεις ἀπαρατρέπτους ποιεῖσθαι καὶ τὸν νοῦν τρυτάνῃ ἔχειν προσεοικότα, ἀκλινῶς ἕκαστον τῶν πρακτέων ζυγοστατοῦντα. Ὅταν ἑκάστῃ ἐντολῇ παρὰ σοὶ πρὸς τὴν ἀντικειμένην αὐτῇ κακίαν διαδικάζηται, δὸς τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τῆς 20
ἁμαρτίας τὰ νικητήρια. Πλεονασμὸς καὶ ἰσότης κρίνονται; Ἀπόφηνε κατὰ τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας, δὸς τὴν βελτίονα ψῆφον τῇ ἀρετῇ. Λοιδορία καὶ μακροθυμία ἀλλήλαις ἀντικαθίστανται; Καταίσχυνον τὴν λοιδορίαν, καὶ προτίμησον τὸ μακρόθυμον. Ἔχθρα καὶ ἀγάπη; Τὴν μὲν ἄτιμον ποιήσας, ὑπερόρισον ὡς πορρωτάτω· τὴν δὲ ἀγάπην 25
σεμνύνας, οἰκείαν ποίησον σεαυτῷ. Ὑπόκρισις καὶ ἁπλότης, ἀνδρία καὶ δειλία, φρόνησις καὶ ἀφροσύνη, δικαιοσύνη καὶ ἀδικία, σωφροσύνη καὶ ἀκολασία καὶ συνελόντι φῆσαι, πᾶσα ἀρετὴ πρὸς πᾶσαν κακίαν διαδικάζεται; Τότε δὴ οὖν ἐπίδειξαι τὴν εὐθύτητα τῶν κριμάτων, ἐν τῷ κρυπτῷ σου τῆς ψυχῆς κριτηρίῳ καὶ οἱονεὶ πάρεδρον σεαυτῷ τὴν 30
ἐντολὴν ποιησάμενος, δεῖξον τὸ μισοπόνηρον· ἀποστρεφόμενος μὲν τὰς ἁμαρτίας, ὑπερτιμῶν δὲ τὰς ἀρετάς. Ἐὰν γὰρ ἐφ' ἑκάστης πράξεως νικᾷν ποιήσῃς παρὰ σοὶ τὰ βελτίονα, μακάριος ἔσῃ «ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ Εὐαγγέλιον ἡμῶν»[3], «καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγο- 35
ρούντων ἢ καὶ ἀπολογουμένων»[4], οὐκ ἀπέρχῃ καταδεδικασμένος διὰ τὴν πρὸς τὰ φαῦλα ῥοπήν, ἀλλὰ τοῖς τῆς δικαιοσύνης τιμηθήσῃ στεφάνοις, οἷς παρὰ πάντα σου τὸν βίον τὴν ἀρετὴν ἐστεφάνωσας. Πηλίκων σοι πρόξενος ἀγαθῶν γενήσεται ἡ βίβλος τῶν Παροιμιῶν, διδάσκουσαι τὴν τε ἀληθῆ δικαιοσύνην καὶ κρῖμα κατευθύνειν; 40

11. Τί οὖν πρὸς τούτοις ἔτι; «Ἵνα δῷ, φησίν, ἀκάκοις πανουρ-

1. Ἡσ. 5,20. 2. Παρμ. 12,5. 3. Πρβλ. Ρωμ. 2,16. 4. Ρωμ. 2,15.

γίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν»[1]. Διττῶς νοοῦμεν τὴν ἀκακίαν. Ἡ γὰρ τὴν ἀπὸ τῆς ἁμαρτίας ἀλλοτρίωσιν λογισμῷ κατορθουμένην καὶ διὰ μακρᾶς προσοχῆς καὶ μελέτης τῶν ἀγαθῶν οἱόν τινα ῥίζαν τῆς κακίας ἐκτεμόντες, κατὰ στέρησιν αὐτῆς παντελῆ, τὴν τοῦ ἀκάκου προσηγορίαν δεχόμεθα· ἢ ἀκακία ἐστὶν ἡ μήπω τοῦ κακοῦ ἐμπειρία, διὰ νεότητα πολλάκις ἢ βίου τινὸς ἐπιτήδευσιν ἀπείρως τινῶν πρός τινας κακίας διακειμένων. Οἷον ὁ παῖς οὐκ οἶδεν ὑπερηφανίαν, οὐκ οἶδε δόλον καὶ ῥαδιουργίαν. Πάλιν εἰσί τινες τῶν τὴν ἀγροικίαν οἰκούντων, οὐκ εἰδότες τὰς ἐμπορικὰς κακουργίας, οὐδὲ τὰς ἐν δικαστηρίῳ διαπλοκάς. Τοὺς τοιούτους ἀκάκους λέγομεν, οὐχ ὡς ἐκ προαιρέσεως **[409]** τῆς κακίας κεχωρισμένους, ἀλλ' ὡς μήπω εἰς πεῖραν τῆς πονηρᾶς ἕξεως ἀφιγμένους. Ἄκακος δὲ κυρίως, ὁποῖος ἦν Δαβίδ, λέγων· «ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην»[2]· ὁ πᾶσαν πονηρίαν διὰ τῆς κατ' ἀρετὴν ἀσκήσεως τῆς ἑαυτοῦ ψυχῆς ἀποστήσας, ὃς καὶ τῆς κληρονομίας τῶν ἀγαθῶν ἀξιοῦται. Διότι· «Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοὺς πορευομένους ἐν ἀκακίᾳ»[3]. Ὁ τοιοῦτος πεποιθὼς ἐρεῖ; «Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην»[4]· καὶ πάλιν· «κρῖνον με κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί»[5]. Χαρακτηρίζει δὲ τὸν ἄκακον ἡ ἁπλότης τοῦ ἤθους, τὸ γενναῖον, τὸ ἀκατάσκευον. Ὁποῖος ἦν Ἰακώβ· «ἄπλαστος», φησίν, «οἰκῶν οἰκίαν»[6]· τουτέστι, τῇ ἐκ τῆς φύσεως ἁπλότητι κεχρημένος, οὐδὲν ἐκ τέχνης ἐπίπλαστον σχῆμα, οἷον προσωπεῖον, ἑαυτῷ πρὸς τὴν τῶν ἐντυχανόντων ἀπάτην περιτιθείς. Ἐνταῦθα μέντοι ἄκακον ἔοικε λέγειν τὸν ἀπειρόκακον, ὃν καὶ χρείαν ἔχειν φησὶ τῆς ἐπαινετῆς πανουργίας, ἵνα πρὸς τῇ ἐκ φύσεως ἀκεραιότητι καὶ τὸ ἐξ ἐμπειρίας συνετὸν ἐπικτήσηται καὶ οἷον ὅπλῳ τινὶ τῇ καλῇ πανουργίᾳ πεφραγμένος, δυσάλωτος ᾖ ταῖς ἐπιβουλαῖς τῶν ὑπεναντίων. Δεῖ γάρ, οἶμαι, τὸν τέλειον φρόνιμον μὲν εἶναι πρὸς τὸ ἀγαθόν, ἀκέραιον δὲ πρὸς τὸ κακόν. Ἐντεῦθεν ὥσπερ ἐκ πηγῆς τινος ἀρυέσθωσαν οἱ ἄκακοι τὴν σώζουσαν πανουργίαν. «Ἀνὴρ γὰρ πανοῦργος θρόνος αἰσθήσεως»[7]· καὶ «πανοῦργος δὲ κακῶν ἐπερχομένων ἀπεκρύβη»[8]· καί, «ὁ δὲ φυλάσσων ἐλέγχους πανουργότερος»[9]. Ἔστιν οὖν ἡ πανουργία ἐνέργεια πάντων κατ' ἐπιτήδευσιν τεχνικήν· ὥσπερ ἡ κακουργία ἡ μόνου ἐστὶ τοῦ κακοῦ ἐργασία. Ἐπεὶ οὖν πᾶσαν ἐργασίαν παραδέχεται ὁ πανοῦργος, ἐν τοῖς πᾶσι δὲ καὶ τὰ φαῦλά ἐστι, δύο σημαίνει ἡ τοῦ πανούργου προσηγορία. Καὶ ὁ μὲν ἐπὶ βλάβῃ ἑτέρων τῇ ἐπινοίᾳ χρώμενος τῶν ἔργων, πονηρός· ὁ δὲ ἐπαινετὸς πανοῦργος ὁ ὀξέως καὶ συνετῶς τὸ οἰκεῖον ἀγαθὸν ἐξευρίσκων καὶ τὰς δολίως καὶ ἐπιβούλως παρ' ἑτέρων αὐτῷ βλάβας σκευωρουμένας ἀποδιδράσκων. Πρό-

1. Παρμ. 1,4. 2. Ψαλ. 25,1,11. 3. Ψαλ. 83,12. 4. Ψαλ. 25,1. 5. Ψαλ. 7,9. 6. Γεν. 25,27. 7. Πρβλ. Παρμ. 12,23. 8. Παρμ. 27,12. 9. Πρβλ. Παρμ. 15,5.

σεχε οὖν ἀκριβῶς τῷ τῆς πανουργίας ὀνόματι· καὶ γίνωσκε, ὅτι μέση τις ἕξις ἐστί, καθ' ἣν ὁ μὲν ἐκ προθέσεως ὑγιοῦς ἐπ' ὠφελείᾳ ἑαυτοῦ καὶ τῶν πλησίον αὐτῇ κεχρημένος ἀποδεκτός, ὁ δὲ ἐπὶ βλάβῃ τῶν πέλας μεταχειριζόμενος αὐτὴν κατεγνωσμένος, ἀφορμῇ πρὸς ἀπώλειαν τῷ ἐπιτηδεύματι χρώμενος.

12. Πλήρης δὲ ἡ ἱστορία τῆς ἑφ' ἑκάτερα χρήσεως **[412]** τοῦ ἐπιτηδεύματος. Καλὴ πανουργία τῶν Ἑβραίων κατασοφισαμένων τοὺς Αἰγυπτίους καὶ τόν τε μισθὸν τῆς ἐργασίας τῶν πόλεων ἀπολαβόντων[1] καὶ ὕλας ἑαυτοῖς πρὸς τὴν σκηνὴν συμπορισαμένων. Ἐπαινετῶς ἐπανουργεύσαντο αἱ μαῖαι περιποιούμεναι τὰ ἄρρενα τῶν Ἑβραίων[2]. Καλὴ πανουργία Ῥεβέκκας τὴν μεγάλην εὐλογίαν τῷ υἱῷ προξενούσης[3]. Καλῶς ἐπανουργεύσατο Ῥαάβ[4]· καλῶς Ῥαχήλ[5]· ἡ μὲν τοὺς κατασκόπους περισωσαμένη, ἡ δὲ τὸν πατέρα κατασοφισαμένη καὶ τῆς εἰδωλολατρίας ἐλευθερώσασα. Πονηρῶς κατεπανουργεύσαντο τοὺς Ἰσραηλίτας οἱ Γαβαωνῖται[6]. Πονηρὰ πανουργία τοῦ Ἀβεσσαλὼμ ἐν σχήματι ἐπιεικείας ὑπαγομένου τοὺς ὑπηκόους καὶ πλῆθος ἀποστατῶν συναθροίσαντος εἰς ἐπιβουλὴν τοῦ πατρός[7]. Ἐγκαλοῦνται δέ τινες ὡς καὶ ἐπὶ τὸν λαὸν τοῦ Θεοῦ καταπανουργευσάμενοι γνώμην[8]. Ἐνταῦθα μέντοι τὴν ἐπ' ὠφελείᾳ παραλαμβανομένην πανουργίαν ὁ λόγος ἐγκρίνει, οἱονεὶ ὅπλον οὖσαν πρὸς τὰ τοῦ βίου πράγματα καὶ ὀχυροῦσαν δι' ἑαυτῆς τὰς ψυχὰς τῶν ἁπλουστέρων. Εἰ γὰρ εἶχε τὴν πανουργίαν ταύτην ἡ Εὔα, οὐκ ἂν εὐάλωτος ἐγεγόνει ταῖς ἀπάταις τοῦ ὄφεως. Τὸν οὖν ἄκακον, τὸν διὰ τὸ πιστεύειν παντὶ λόγῳ εὔκολον εἰς τὸ φθαρῆναι τὰ νοήματα, ὀχυροῖ ἡ προκειμένη διδασκαλία, οἷον συμμαχίαν αὐτῷ πρὸς τὰ τοῦ βίου πράγματα τὴν ἐκ τῆς πανουργίας ὠφέλειαν παρεχομένη.

13. Ἐξῆς ἐστιν ἐπισκέψασθαι, πῶς «παιδὶ νέῳ δίδωσιν αἴσθησιν καὶ ἔννοιαν»[9]. Ἐπειδὴ διπλοῦς ὁ ἄνθρωπος, ὥς φησιν ὁ Ἀπόστολος[10]· ὁ μέν τις ἔξωθεν ὤν, ὁ δὲ ἔνδοθεν, κατά τε τὸν ὁρώμενον καὶ κατὰ τὸν ἐν τῷ κρυπτῷ νοούμενον, ἀνάγκη ἡμᾶς καὶ τὰ τῆς ἡλικίας ἑφ' ἑκατέρων παραπλησίως λαμβάνειν. Τὸ μὲν οὖν λέγειν τὸν ἀρτιγενῆ παῖδα αἴσθησιν λαμβάνειν σωματικὴν οὐ πόρρω ἐστὶ τοῦ γελοίου. Ποίαν γὰρ τῶν αἰσθήσεων ἡ βίβλος χαρίσασθαι δύναται καὶ ὄψεως καὶ ἀκοῆς καὶ ὀσφρήσεως καὶ γεύσεως καὶ ἁφῆς εὐθὺς συναπογεννωμένων ἡμῖν καὶ οὐκ ἐκ διδασκαλίας προσγινομένων, ἀλλὰ τῆς φύσεως διὰ τούτων ἀπαρτιζούσης τὸ ζῷον; Οὔτε οὖν παῖδα σωματικῶς νοητέον, οὔτε αἴσθησιν μίαν τούτων τῶν ἀπηριθμημένων, ἀλλ' ἐπὶ τὸν ἔσω ἄνθρωπον τὰς ἡλικίας μεταληπτέον. Ἐδιδάχθημεν γὰρ πολλαχοῦ τῆς Γραφῆς καὶ παιδικὴν κατάστασιν τῆς ψυχῆς καὶ ἄλλην ἀκμαστικὴν καὶ ἄλλην

1. Πρβλ. Ἐξ. 12,35. 2. Πρβλ. Ἐξ. 1,17. 3. Πρβλ. Γεν. 27,15. 4. Πρβλ. Ἰησ. Ν. 2,1 ἑξ. 5. Πρβλ. Γεν. 31,34 ἑξ. 6. Πρβλ. Ἰησ. Ν. 9,4 ἑξ. 7. Πρβλ. Β' Βασ. 15,4 ἑξ. 8. Πρβλ. Ψαλ. 82,4. 9. Πρβλ. Παρμ. 1,4. 10. Πρβλ. Β' Κορ. 4,16.

ἤδη πρεσβύτου. Οἷον, ὡς παρὰ Παύλου μεμαθήκαμεν, οἱ ἐν Κορίνθῳ νήπιοι ἦσαν· διόπερ καὶ γάλακτος ἔτι ἐδέοντο, τῆς εἰσαγωγικῆς καὶ ἁπλουστέρας τοῦ Εὐαγγελίου διδασκαλίας, μήπω δυνάμενοι περικρατεῖν στερεᾶς τροφῆς τῆς ἐν δόγμασι[1]. Νεανίσκος δὲ κατὰ ψυχήν ἐστιν ὁ πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς κατηρτισμένος **[413]** πρὸς τὸ τέλειον, ὁ τῷ πνεύματι ζέων, ὁ σφριγῶν πρὸς τὰς πράξεις τῆς εὐσεβείας καὶ ἀκμάζων πρὸς πᾶσαν εὐτονίαν ἀγαθῶν ἔργων· ὃν καὶ βιαστὴν τὸ Εὐαγγέλιον λέγει, δυνάμενον διαρπάσαι τὴν βασιλείαν τῶν οὐρανῶν[2]· ὃν καὶ εἰς τοὺς ὕμνους, ὡς ἐπιτήδειον, τὸ Ἅγιον Πνεῦμα παραλαμβάνει· «νεανίσκοι» γάρ, φησί, «καὶ παρθένοι», «αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου»[3]. Καὶ ἐν τῷ Ἰωὴλ ἐπαγγελίας ἔχουσι «οἱ νεανίσκοι �ράσεις ὄψεσθαι»[4]. Πρεσβύτερος δὲ κατὰ ψυχὴν ὁ τετελειωμένος κατὰ τὴν φρόνησιν· ὁποῖος ἦν Δανιήλ, ἐν νεαρῷ τῷ σώματι τὸ ἐκ τῆς συνέσεως σεμνὸν πολιᾶς πάσης αἰδεσιμώτερον ὑποφαίνων. Διό φασι πρὸς αὐτὸν ἐκεῖνοι οἱ πλήρεις ἡμερῶν πονηρῶν· «δεῦρο, κάθισον ἐν μέσῳ ἡμῶν, καὶ ἀπάγγειλον ἡμῖν, ὅτι σοι ἔδωκεν ὁ Θεὸς τὸ πρεσβυτέριον»[5]. Οὐκοῦν καὶ ἐνταῦθα παῖδα νέον φησὶ τὸν διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἀναγεννηθέντα καὶ τραφέντα καὶ γενόμενον ὡς παιδίον καὶ διὰ τῆς τοιαύτης καταστάσεως εὔθετον ὄντα τῇ βασιλείᾳ τῶν οὐρανῶν. Τῷ δὴ οὕτως ἀρτιγενεῖ βρέφει, τὸ λογικὸν καὶ ἄδολον γάλα ἐπιποθήσαντι, δίδωσιν ἡ βίβλος τῶν Παροιμιῶν δι' αὐτῆς γεγυμνασμένῳ αἴσθησιν καὶ ἔννοιαν· αἴσθησιν μὲν τῶν παρόντων ἔννοιαν δὲ τῶν μελλόντων. Παιδεύει μὲν γὰρ τὰ ἀνθρώπινα καὶ αἰσθητικοὺς ποιεῖ τῶν πραγμάτων, ὡς μήτε ἀτόποις ἡδοναῖς δουλεύειν, μήτε περὶ τὰς ματαίας τοῦ κόσμου τούτου δόξας διεπτοῆσθαι. Ἐμποιεῖ δὲ καὶ τοῦ μέλλοντος αἰῶνος ἔννοιαν καὶ προσβιβάζει, δι' ὧν λέγει τῇ πίστει τῶν ἐπηγγελμένων.

14. Ἐπειδὴ δὲ τὰς τῶν ἡλικιῶν διαφορὰς ἐπὶ τὸν ἔσω ἄνθρωπον μετελάβομεν, ἀκόλουθόν ἐστι καὶ τὰ τῶν αἰσθήσεων ὀνόματα ἐπὶ τὰς δυνάμεις τῆς ψυχῆς μεταφέρειν. Ὥστε ὅταν λέγῃ, ὅτι «ἐμοῖς λόγοις παράβαλε σὸν οὖς»[6], εἰδέναι ἡμᾶς χρή, ὅτι τὸ εὐήκοον τῆς ψυχῆς ἐπιζητεῖ, ὡς ὁ Κύριος· «ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω»[7]· καὶ τό, «λόγος σοφὸς εἰς οὖς εὐήκοον»[8]. Διὰ τούτων οὖν καὶ τῶν τοιούτων δίδωσι τῷ νέῳ παιδὶ τὴν τῆς ἀκοῆς αἴσθησιν ὑγιαίνουσαν. Ὅταν δὲ λέγῃ, «μὴ πρόσεχε φαύλῃ γυναικί»[9]· καὶ πάλιν, «μὴ ἐρείσῃς σὸν ὄμμα πρὸς αὐτήν»[10]· καί, «οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν»[11]· δῆλός ἐστι τὴν οἱονεὶ ὅρασιν τῆς ψυχῆς τῷ παιδὶ χαριζόμενος. Καὶ ὅταν παραινῇ, «ὅτι φάγε μέλι, υἱέ, ἵνα γλυκανθῇ ὁ φάρυγξ σου»[12] (μέλι τροπικῶς ὀνομάζων τὴν θείαν διδασκαλίαν· «ὡς γλυκέα γάρ, φησί, τῷ λάρυγγί

1. Πρβλ. Α' Κορ. 3,1-2. 2. Πρβλ. Ματθ. 11,12. 3. Ψαλ. 148,12,13. 4. Πρβλ. Ἰωὴλ 3,1. 5. Δαν. Σωσ. (Θδτ.) 50. 6. Πρβλ. Παρμ. 22,17. 7. Ματθ. 13,9. 8. Παρμ. 25,12. 9. Παρμ. 5,3. 10. Παρμ. 9,18α. 11. Παρμ. 4,25. 12. Παρμ. 24,13.

μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου»[1]). διὰ τῆς παραινέσεως ταύτης τὴν πνευματικὴν γεῦσιν τῆς ψυχῆς καταρτίζει, περὶ ἧς εἴρηται· **[416]** «γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος»[2]. Ἔστι δέ τις καὶ ἀφὴ τῆς ψυχῆς, καθ' ἣν ἐφάπτεται αὐτῆς ἡ σοφία, οἱονεὶ περιπτυσσομένη τὴν ἑαυτῆς ἀρετήν. «Ἐράσθητι» γάρ, φησίν, «αὐτῆς, ἵνα σε περιλάβῃ»[3]· καὶ πάλιν ὁ Ἐκκλησιαστής· «καιρὸς τοῦ περιλαβεῖν καὶ καιρὸς τοῦ μακρυνθῆναι ἀπὸ περιλήψεως»[4]. Σώματα μὲν γὰρ περιπλοκαῖς ἀκαθάρτοις καταμιαίνεται· ψυχὴ δέ, τῇ τῆς σοφίας περιπλοκῇ ὅλη δι' ὅλης πρὸς αὐτὴν ἑνωθεῖσα, ἁγιασμοῦ πληροῦται καὶ καθαρότητος. Οὕτω μὲν οὖν αἴσθησιν παιδὶ χαρίζεται νέῳ. Ἔννοιαν δὲ πῶς ἐμποιεῖ; Ὅταν λέγῃ· «οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ κακῇ»[5]. Ἐμβάλλει γὰρ ἐνθύμιον τῇ καρδίᾳ σου περὶ τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ σοι τὸ πλῆθος τῶν χρημάτων οὐκ ἐπαρκέσει, οὐδὲ ἐξαιρήσεταί σε τῆς αἰωνίου κολάσεως. Ἢ ὅταν λέγῃ· «ἄκακοι δὲ κληρονομήσουσι γῆν»[6]· γῆν ἐκείνην, ἧς καὶ οἱ πραεῖς εἰσι κληρονόμοι, κατά τε τὸν Ψαλμῳδὸν τὸν λέγοντα· «οἱ δὲ πραεῖς κληρονομήσουσι τὴν γῆν»[7]· καὶ κατὰ τὸν μακαρισμὸν τοῦ Κυρίου, «μακάριοι» γάρ, φησίν, «οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν»[8]· καὶ πάλιν· «δόξαν σοφοὶ κληρονομήσουσι»[9]. Πρὸς τὴν ἐπιθυμίαν τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν τὴν ψυχὴν διανίστησι. Ταύτην δίδωσι τῷ παιδὶ τῷ νέῳ τὴν ἔννοιαν, φόβον μὲν τῶν τοῖς ἁμαρτωλοῖς ἀπειληθέντων, ἐπιθυμίαν δὲ τῶν τοῖς δικαίοις ἡτοιμασμένων. «Τῶνδε γὰρ ἀκούσας σοφὸς σοφώτερος ἔσται»[10]. Μεγάλην μαρτυρεῖ δύναμιν ταῖς Παροιμίαις ὁ λόγος, ὅτι ὑπερβαίνει τῶν σοφῶν τὴν σοφίαν καὶ τῶν ἐναποκειμένων αὐτοῖς παιδευμάτων μείζονά ἐστι τὰ ἐκ τῆς βίβλου ταύτης παραδιδόμενα. Ὥστε τῶν μὲν ἄλλων διδασκάλων οἱ ἄπειροί εἰσι μαθηταί· τῆς δὲ βίβλου ταύτης ἀκροαταί εἰσιν οἱ σοφοί. Ἐπειδὴ δὲ ὁμώνυμόν ἐστι τὸ τῶν σοφῶν ὄνομα (σοφοὶ γὰρ καὶ οἱ τοῦ κόσμου τούτου λέγονται, σοφοί[11] καὶ οἱ τὴν ἀληθινὴν σοφίαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ τῆς εἰς αὐτὸν πίστεως ὑποδεξάμενοι[12]), τοὺς ἔξωθεν ὄντας τοῦ καθ' ἡμᾶς λόγου, ἐπειδὰν προσέλθωσι τῇ ὑγιαινούσῃ τῶν Παροιμιῶν διδασκαλίᾳ σοφωτέρους ἔσεσθαι ὁ λόγος κατεπαγγέλλεται· ἀτιμάζοντας μὲν τὴν τῶν ματαίων γνῶσιν, μετατιθέντας δὲ τὸ θαῦμα πρὸς τὴν ἀλήθειαν. Ἡ ἐπειδὴ πολλαχῶς λέγεται ὁ σοφὸς (ὅ τε γὰρ ἐπιθυμῶν σοφίας καὶ ὁ ἐν προκοπῇ ἤδη ὢν τῶν τῆς σοφίας θεωρημάτων καὶ ὁ τετελειωμένος κατὰ τὴν ἕξιν, ὁμοίως προσαγορεύονται), τούτων ἀκούσας ὁ σοφός, εἴτε ὁ ἐραστὴς τῆς σοφίας, εἴτε καὶ ὁ ἤδη διαβεβηκὼς ἐν αὐτῇ, σοφώτεροι ἔσονται, πολλὰ μὲν περὶ τῶν θείων παιδευθέντες δογμάτων, πολλὰ δὲ καὶ περὶ τῶν ἀνθρωπίνων ἐκδιδασκόμενοι, ποικίλως μὲν τὴν κακίαν ἐξοριζούσης τῆς βί-

1. Ψαλ. 118,103. 2. Ψαλ. 33,9. 3. Πρβλ. Παρμ. 4,6,8. 4. Ἐκκλ. 3,5. 5. Πρβλ. Παρμ. 11,4. 6. Πρβλ. Παρμ. 2,21. 7. Ψαλ. 36,11. 8. Ματθ. 5,4. 9. Παρμ. 3,35. 10. Παρμ. 1,5. 11. Πρβλ. Α' Κορ. 1,20. 12. Πρβλ. Α' Κορ. 1,30.

βλου, πολυτρόπως δὲ [417] πάλιν ἀντεισαγούσης τὴν ἀρετήν. Γλῶσσαν ἄδικον χαλινοῖ, ὀφθαλμὸν παιδεύει πονηρὰ βλέποντα, χειρῶν ἀδίκων ἄρχειν οὐκ ἐπιτρέπει· ἀργίαν ἀποδιώκει, ἐπιθυμίας ἀτόπους κολάζει, διδάσκει φρόνησιν, διδάσκει ἀνδρίαν, σωφροσύνην ἀποσεμνύνει. Ὁ οὖν ταῦτα παιδευθεὶς καὶ τήν τε πρὸς τὰ χείρονα διαβολὴν ἰσχυρὰν ἔχων παρ' ἑαυτῷ καὶ τὴν τοῦ ἀγαθοῦ ἔφεσιν μείζονι τῇ ὁρμῇ, οἷον διά τινος ὑποφωνήσεως, προσκτησάμενος, σοφὸς ὢν διὰ τὴν οἰκείαν ὁρμήν, σοφώτερος γέγονε διὰ τὴν ἐκ τῆς διδασκαλίας τελείωσιν.

15. «Ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται»[1]. Χρὴ τὸν μέλλοντα προσιέναι τέχνης τινὸς ἀναλήψει τὰς ἐκ τῆς φύσεως ἐπιτηδειότητας ηὐτρεπισμένας ἔχειν· τὸν παλαιστὴν τὴν τοῦ σώματος διάπλασιν καὶ τὴν ἰσχύν· τὸν δρομικὸν τὴν εὐαρμοστίαν τῶν μελῶν καὶ τὴν κουφότητα· οὕτω καὶ τὸν κυβερνήτην τὸ τῆς διανοίας ὀξὺ καὶ εὐπαρακολούθητον. Διὰ τοῦτο οὐ τὸν τυχόντα καλεῖ πρὸς τὴν κυβέρνησιν ὁ λόγος, ἀλλὰ τὸν νοήμονα. Τί δέ ἐστιν ἡ κυβέρνησις, ἢ πάντως ἐπιστήμη ψυχῆς περὶ τὴν ἄστατον φύσιν τῶν ἀνθρωπίνων πραγμάτων, ὅπως αὐτὴν διαπεραιοῦσθαι προσήκει; Πολλαχοῦ γὰρ ὕδατα καὶ θάλασσαν τὸν βίον τοῦτον εὑρίσκομεν ὑπὸ τῆς Γραφῆς ὠνομασμένον, ὡς ἐν τῷ ψαλμῷ· «ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με· προσελάβετό με ἐξ ὑδάτων πολλῶν»[2]. Πρόδηλον γὰρ ὅτι τὴν ταραχὴν τοῦ βίου ὕδατα λέγει. Οὔτε γὰρ τὰ δεξιὰ καὶ περισπούδαστα τοῖς πολλοῖς τὸ ἑστὼς καὶ μόνιμον ἔχει, οὔτε τὰ περιστατικὰ τῶν πραγμάτων καὶ κατηφῆ παγίως ἥδρασται· ἀλλὰ πάντα σάλῳ τινὶ καὶ κλόνῳ καὶ μεταβολαῖς ἀδοκήτοις ὑπόκειται. Ὥσπερ οὖν θάλασσαν ἀμήχανον τὴν αὐτὴν ἐπὶ πολὺ διαρκέσαι (τὴν γὰρ νῦν λείαν καὶ σταθερὰν μικρὸν ὕστερον ὄψῃ βίαις ἀνέμων τραχυνομένην καὶ μέντοι καὶ τὴν ἀγριαίνουσαν καὶ βρασσομένην τῷ κλύδωνι, βαθεῖα γαλήνη ταχὺ κατεστόρεσεν)· οὕτω καὶ τὰ τοῦ βίου πράγματα ῥᾳδίως λαμβάνει τὰς περιστροφὰς ἐφ' ἑκάτερα. Διὰ τοῦτο κυβερνήτου χρεία, ἵνα καὶ ἐν γαλήνῃ τοῦ βίου πάντων αὐτῷ κατὰ ῥοῦν προϊόντων, τὰς μεταβολὰς ἐκδέχηται καὶ μὴ ὡς ἀθανάτοις ἐπαναπαύηται τοῖς παροῦσι καὶ ἐν τῇ σκυθρωποτέρᾳ καταστάσει μὴ ἀπελπίζῃ ἑαυτόν, μηδὲ τῇ περισσοτέρᾳ λύπῃ καταποθεὶς ὑποβρύχιος φέρηται[3]. Οὔτε γὰρ ὑγεία σώματος, οὔτε νεότητος ἄνθος, οὐκ εὐθηνία οἴκου, οὐχ ἡ λοιπὴ τοῦ βίου εὐημερία ἐπὶ πολὺ διαμένει· ἀλλ' ἐν τῇ εὐδίᾳ ταύτῃ τοῦ βίου ὤν, ἐκδέχου ποτὲ καὶ χειμῶνα πραγμάτων. Ἦξει γὰρ νόσος καὶ ἥξει πενία· οὐκ ἀεὶ κατὰ πρύμναν ἰσταμένου τοῦ πνεύματος, ἀλλὰ καὶ τὸν περίβλεπτον ἐν πᾶσι καὶ ζηλωτὸν ἀδόκητοι πολλάκις ἀδοξίαι καταλαμβάνουσι· καὶ πᾶσαν τὴν εὐημερίαν τοῦ βίου, οἷον σπιλάδες τινές, περιστάσεις ἀβούλητοι συνετάραξαν. Καὶ ἡ συνέχεια τῶν κακῶν [420] ὥσπερ κύματά σοί ἐστιν, ἄλλα ἐπ' ἄλλοις ἐπεγειρόμενα, τραχύνοντά σοι τὸν βίον καὶ περιιστῶντα

1. Παρμ. 1,5. 2. Ψαλ. 17,17. 3. Πρβλ. Β' Κορ. 2,7.

φοβερὸν τῆς ζωῆς σοι τὸν κλύδωνα. Ὄψει ποτὲ καὶ ταῦτα παραδραμόντα καὶ πρὸς ἱλαρότητα καὶ λευκὴν ὄντως γαλήνην τὸν βίον μεταβληθέντα. Οὗτος οὖν ἐστιν ὁ νοήμων κυβερνήτης, ὁ ἐστοχασμένως τῆς ὑποκειμένης φύσεως μεταχειριζόμενος τὰ συμπίπτοντα καὶ ὅμοιος ἀεὶ αὐτὸς ἑαυτῷ διαμένων, μήτε ἐπαιρόμενος ἐν ταῖς εὐθυμίαις, μήτε καταπίπτων ἐν ταῖς συμφοραῖς. Πάλιν καὶ πρὸς ἕτερα χρήσιμον ἡμῖν ἐστι τὸ ἐκ τῆς κυβερνήσεως ἀγαθόν. Οἶδα γὰρ καὶ ἄλλα κύματα καὶ κλύδωνα φοβερὸν ἐπανιστάμενον τῇ ψυχῇ, τὸν ἐκ τῶν παθῶν τῆς σαρκός. Θυμοὶ γὰρ καὶ φόβοι καὶ ἡδοναὶ καὶ λῦπαι, οἷον ἔκ τινος ζάλης βιαίας τοῦ τῆς σαρκὸς φρονήματος προσπεσόντες, πολλάκις τὴν ἀκυβέρνητον ψυχὴν κατεπόντισαν. Δεῖ τοίνυν τὸν νοῦν ὥσπερ τινὰ κυβερνήτην ἄνω καθήμενον τῶν παθῶν καὶ οἱονεὶ πλοίου τῆς σαρκὸς ἐπιβάντα καὶ ἐμπείρως τοὺς λογισμοὺς οἷον οἴακας περιστρέφοντα, καταπατεῖν μὲν γενναίως τὰ κύματα, ὑψηλὸν δὲ διαμένοντα καὶ δυσπρόσιτον ὄντα τοῖς πάθεσι, μηδαμῶς τῆς ἀπ' αὐτῶν πικρίας ὥσπερ ἅλμης τινὸς ἀναπίμπλασθαι, ἀλλ' ἀεὶ προσευχόμενον λέγειν· «ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων ὑδάτων. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός»[1].

16. Βούλει σοι καὶ ἕτερον πλοῦν διηγήσωμαι, πρὸς ὃν ἀναγκαῖον ἡμῖν ἐστι τὸ δῶρον τῆς κυβερνήσεως; «Ἡ βασιλεία τῶν οὐρανῶν ὁμοία ἐστὶν ἀνδρὶ ἐμπόρῳ»[2]. Πάντες οὖν οἱ τὴν εὐαγγελικὴν ὁδὸν πορευόμενοι ἔμποροί ἐσμεν διὰ τῆς ἐργασίας τῶν ἐντολῶν τὴν κτῆσιν ἑαυτοῖς τῶν οὐρανίων πραγματευόμενοι. Δεῖ οὖν ἡμᾶς πολὺν καὶ ποικίλον τὸν οὐράνιον πλοῦτον συναγαγεῖν, εἰ μὴ μέλλοιμεν καταισχύνεσθαι ἐν τῇ ἐπιδείξει τῆς ἐργασίας, ὡς οἱ λαβόντες τὰ τάλαντα, μηδὲ ἀκούειν, «δοῦλε πονηρὲ καὶ ὀκνηρέ»[3]· ἐνθεμένους δὲ τὰ ἀγώγιμα, ἀσφαλῶς πειρᾶσθαι τὴν ζωὴν ταύτην διαπερᾶν. Πολλοὶ γὰρ πολλὰ συναθροίσαντες ἐκ νεότητος, περὶ τὰ μέσα τοῦ βίου γενόμενοι, ἐπαναστάντων αὐτοῖς πειρασμῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας, οὐκ ἤνεγκαν τοῦ χειμῶνος τὸ βάρος, διὰ τὸ τὴν κυβέρνησιν αὐτοῖς μὴ παρεῖναι, ἀλλὰ πάντων ἐκείνων τὴν ζημίαν ὑπέμειναν. Ὅθεν καὶ οἱ μὲν «περὶ τὴν πίστιν ἐναυάγησαν»[4]· ἄλλοι δὲ σωφροσύνην, ἣν συνήγαγον ἐκ νεότητος, ὥσπερ καταιγίδος τινὸς ἀδοκήτου **[421]** τῆς πονηρᾶς ἡδονῆς ἐπιδραμούσης, ἀπώλεσαν. Ἐλεεινότατον θέαμα μετὰ νηστείαν, μετὰ σκληραγωγίαν, μετὰ προσευχὴν ἐκτενῆ, μετὰ δάκρυον δαψιλές, μετὰ ἐγκράτειαν ἐτῶν εἴκοσί που ἢ καὶ τριάκοντα, δι' ἀπροσεξίαν ψυχῆς καὶ ἀμέλειαν γυμνὸν ἁπάντων ἀποδειχθῆναι[5] καὶ παραπλήσιον γενέσθαι τὸν τῇ ἐργασίᾳ τῶν ἐντολῶν εὐθηνούμενον ἐμπόρῳ τινὶ μεγαλοπλούτῳ, ὃς τῷ πλήθει τῶν ἀγωγίμων ἐπαγγελλόμενος, ἐξ οὐρίας αὐτῷ τῆς νεὼς φερομένης, τὰ φοβερὰ πελάγη διαδραμών, πρὸς αὐτοῖς τοῖς

1. Ψαλ. 68,15-16. 2. Πρβλ. Ματθ. 13,45. 3. Ματθ. 25,26. 4. Α' Τιμ. 1,19. 5. Β' Κορ. 5,3.

λιμέσι διαρραγέντος τοῦ πλοίου, πάντων ἀθρόως ἔρημος ἀπεδείχθη· ἐὰν καὶ οὗτος τὰ μυρίοις πόνοις καὶ ἱδρῶσι κτηθέντα μιᾷ προσβολῇ δαίμονος ἀπολέσῃ, ὥσπερ τινὶ ἀγρίᾳ λαίλαπι, τῇ ἁμαρτίᾳ βυθισθείς. Πρέπουσα φωνὴ τῷ πᾶσαν ὁμοῦ τὴν ἀρετὴν ναυαγήσαντι· «ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με»[1].

17. Ἔχε οὖν ἀσφαλῶς τῆς ζωῆς τὰ πηδάλια· κυβέρνα τὸν ὀφθαλμόν σου, μήποτέ σοι δι' ὀφθαλμῶν λάβρον ἐμπέσῃ τῆς ἐπιθυμίας τὸ κῦμα· τὴν ἀκοήν, τὴν γλῶσσαν, μὴ παραδέξῃ τι βλαβερόν, μηδὲ φθέγξῃ τι τῶν ἀπηγορευμένων. Μή σε ἀνατρέψῃ τοῦ θυμοῦ ἡ ζάλη· μή πού σε ἐπικλύσωσι τῶν φόβων αἱ καταπλήξεις, μή σε καταβαπτίσῃ τῆς λύπης τὸ βάρος. Κύματά ἐστι τὰ πάθη, ὧν ὑψηλότερον σεαυτὸν ἀνέχων, ἀσφαλὴς ἔσῃ κυβερνήτης τοῦ βίου. Ἐὰν δὲ μὴ ἐπιστημόνως καὶ εὐσταθῶς ἕκαστον τούτων ἐκκλίνῃς, ὥσπερ τι πλοῖον ἀνερμάτιστον ὑπὸ τῶν ἀεὶ προσπιπτόντων περιφερόμενος, ἐναφανισθήσῃ τῷ πελάγει τῆς ἁμαρτίας. Ἄκουε τοίνυν πῶς ἄν σοι καὶ ἡ τῆς κυβερνήσεως ἐπιστήμη προσγένηται. Ἔθος τοῖς ναυτιλλομένοις πρὸς οὐρανὸν ἀναβλέπειν, κἀκεῖθεν λαμβάνειν τὴν ὁδηγίαν τοῦ πλοῦ, ἐν ἡμέρᾳ μὲν ἀπὸ τοῦ ἡλίου, ἐν νυκτὶ δὲ ἀπὸ τῆς Ἄρκτου, ἢ τινος ἄλλου τῶν ἀειφανῶν ἀστέρων· καὶ τούτοις ἀεὶ τεκμαίρεσθαι τὴν εὐθύτητα. Καὶ σὺ τοίνυν πρὸς οὐρανὸν ἔχε τὸ ὄμμα κατὰ τὸν εἰπόντα· «πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ»[2]. Ἀπόβλεπε πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης· καὶ οἷόν τισιν ἄστροις περιφανέσι ταῖς ἐντολαῖς τοῦ Κυρίου κατευθυνόμενος, ἀκοίμητον ἔχε τὸ ὄμμα, μὴ διδοὺς ὕπνον τοῖς ὀφθαλμοῖς σου, μηδὲ τοῖς βλεφάροις σου νυσταγμόν[3], ἵν' ἔχῃς διακῆ τὴν ἐκ τῶν ἐντολῶν ὁδηγίαν. «Λύχνος» γάρ, φησί, «τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου»[4]. Ἐὰν γὰρ μηδέποτε ἐπινυστάξῃς τοῖς οἴαξιν, ἕως εἶ ἐν τῷ βίῳ τούτῳ, ἐν τῇ ἀστάτῳ φύσει τῶν τοῦ κόσμου πραγμάτων καὶ τὴν παρὰ τοῦ Πνεύματος, συνέργειαν **[424]** λήψῃ, προπέμποντος εἰς τὸ ἔμπροσθεν καὶ πραείαις αὔραις καὶ εἰρηνικαῖς, ἀσφαλῶς σε διακομίζοντος, ἕως ἀποσωθῇς πρὸς τὸν ἀκύμονα ἐκεῖνον καὶ εὔδιον λιμένα του θελήματος τοῦ Θεοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Ψαλ. 68,3. 2. Ψαλ. 122,1. 3. Πρβλ. Ψαλ. 131,4. 4. Ψαλ. 118,105.

ΟΜΙΛΙΑ ΙΓ'

ΠΡΟΤΡΕΠΤΙΚΗ ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΒΑΠΤΙΣΜΑ

1. Ὁ μὲν σοφὸς Σολομών, τῶν κατὰ τὸν βίον πραγμάτων τοὺς καιροὺς διαιρῶν καὶ ἑκάστῳ τῶν γινομένων τὸν ἐπιτήδειον ἀφορίζων, ἔφη· «τοῖς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι· καιρὸς τοῦ τεκεῖν, καὶ καιρὸς τοῦ ἀποθανεῖν»[1]· ἐγὼ δέ, μικρὸν τοῦ σοφοῦ τὴν ἀπόφασιν ὑπαλλάξας, εἴποιμι ἂν κηρύσσων ὑμῖν τὸ σωτήριον κήρυγμα, ὅτι καιρὸς τοῦ ἀποθανεῖν καὶ καιρὸς τοῦ γεννηθῆναι. Τίς δὲ ὁ λόγος τῆς ἐναλλαγῆς; Ὅτι ὁ μὲν περὶ τῶν ἐν γενέσει καὶ φθορᾷ διαλεγόμενος, τῇ σωματικῇ ἑπόμενος φύσει, τὴν γένεσιν προέταξε τοῦ θανάτου (ἀδύνατον γὰρ θανάτου πεῖραν λαβεῖν τὸν μὴ πρότερον γεννηθέντα)· ἐγὼ δέ, περὶ τῆς πνευματικῆς ἀναγεννήσεως τὸν λόγον ποιεῖσθαι μέλλων, τὸν θάνατον προτίθημι τῆς ζωῆς. Διὰ γὰρ τοῦ ἀποθανεῖν τῇ σαρκὶ περιγίνεται ἡμῖν τὸ γεννηθῆναι τῷ πνεύματι, καθά φησι καὶ ὁ Κύριος· «ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω»[2]. Ἀποθάνωμεν οὖν, ἵνα ζήσωμεν. Ἀποκτείνωμεν τὸ φρόνημα τῆς σαρκός, τὸ μὴ δυνάμενον ὑποταγῆναι τῷ νόμῳ τοῦ Θεοῦ[3], ἵνα τὸ φρόνημα τοῦ πνεύματος ἰσχυρὸν ἡμῖν ἐγγένηται, δι' οὗ ζωὴ καὶ εἰρήνη περιγίνεσθαι πέφυκε. Συνταφῶμεν Χριστῷ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι, ἵνα καὶ συναναστῶμεν τῷ ἡμῖν τὴν ἀνάστασιν προξενήσαντι. Καιρὸς μὲν οὖν ἄλλοις ἄλλος ἐπιτήδειος· ἴδιος ὕπνου καὶ ἴδιος ἐγρηγόρσεως· ἴδιος πολέμου καὶ ἴδιος εἰρήνης· καιρὸς δὲ βαπτίσματος ἅπας ὁ τῶν ἀνθρώπων βίος. Οὔτε γὰρ σώματι ζῆν μὴ ἀναπνέοντι δυνατόν, οὔτε ψυχῇ συνεστάναι, μὴ γνωριζούσῃ τὸν κτίσαντα. Θεοῦ γὰρ ἄγνοια θάνατός ἐστι ψυχῆς. Ὁ δὲ μὴ βαπτισθεὶς οὐ πεφώτισται. Ἄνευ δὲ φωτὸς οὔτε ὀφθαλμὸς τὰ ἑαυτοῦ καθορᾷ, οὔτε ψυχὴ Θεοῦ δέξασθαι δύναται θεωρίαν. Πᾶς μὲν οὖν χρόνος εὐκαιρίαν ἔχει πρὸς τὴν διὰ τοῦ βαπτίσματος σωτηρίαν· κἂν νύκτα εἴπῃς, κἂν ἡμέραν καὶ ὥραν, κἂν στιγμὴν χρόνου, κἂν τι βραχύτατον. Πολλῷ δὲ δήπου εἰκὸς ἐπιτηδειότερον εἶναι τὸν οἰκειότερον. Τί δ' ἂν γένοιτο τῆς ἡμέρας τοῦ Πάσχα συγγενέστερον πρὸς τὸ βάπτισμα; Ἡ μὲν γὰρ ἡμέρα μνημόσυνόν ἐστιν ἀναστάσεως· τὸ δὲ βάπτισμα δύναμίς ἐστι πρὸς τὴν ἀνάστασιν. Ἐν τοίνυν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς [425] ἀναστάσεως τὴν χάριν ὑποδεξώμεθα. Διὰ τοῦτο πόρρωθεν ἡ Ἐκκλησία τοὺς ἑαυτῆς τροφίμους ὑψηλῷ κηρύγματι συγκαλεῖ, ἵν' οὓς πάλαι ὤδινεν, ἀποκυήσῃ τότε καὶ ἀπογαλακτίσασα αὐτοὺς τῶν λόγων τῆς κατηχήσεως, γεύσῃ τῆς στερεᾶς τῶν δογμάτων τροφῆς. Ἰωάννης ἐκή-

1. Ἐκκλ. 3,1,2. 2. Δευτ. 32,39. 3. Πρβλ. Ρωμ. 8,7.

ρυσσε βάπτισμα μετανοίας[1] «καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία»[2]. Κύριος κηρύσσει βάπτισμα υἱοθεσίας· καί τίς τῶν εἰς αὐτὸν ἡλικιότων οὐχ ὑπακούσεται; Ἐκεῖνο εἰσαγωγικὸν τὸ βάπτισμα· τοῦτο τελειωτικόν. Ἐκεῖνο ἁμαρτίας ἀναχώρησις· τοῦτο οἰκείωσις πρὸς Θεόν. Ἑνὸς ἀνδρὸς ἦν Ἰωάννου τὸ κήρυγμα καὶ πάντας εἵλκε πρὸς τὴν μετάνοιαν· σὺ δέ, διὰ προφητῶν διδασκόμενος· «λούσασθε, καθαροὶ γίνεσθε»[3], διὰ ψαλμῶν νουθετούμενος· «προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε»[4], δι' ἀποστόλων εὐαγγελιζόμενος· «μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν ἐπαγγελίαν τοῦ Ἁγίου Πνεύματος»[5]· ὑπ' αὐτοῦ τοῦ Κυρίου προσλαμβανόμενος, λέγοντος· «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς»[6] (ταῦτα γὰρ πάντα σήμερον συνέδραμε πρὸς τὴν ἀνάγνωσιν)· ὀκνεῖς καὶ βουλεύῃ καὶ διαμέλλεις; Ἐκ νηπίου τὸν λόγον κατηχούμενος, οὔπω συνέθου τῇ ἀληθείᾳ; Πάντοτε μανθάνων, οὐδέπω ἦλθες πρὸς τὴν ἐπίγνωσιν; Πειραστὴς διὰ βίου, κατάσκοπος μέχρι γήρως, πότε γενήσῃ Χριστιανός; πότε γνωρίσομέν σε ὡς ἡμέτερον; Πέρυσι τὸν παρόντα καιρὸν ἐξεδέχου, νῦν πάλιν ἀναμένεις τὸν ἐπιόντα. Ὅρα μὴ εὑρεθῇς μακροτέρας τῆς ζωῆς τὰς ὑποσχέσεις ποιούμενος. Οὐκ οἶδας τί τέξεται ἡ ἐπιοῦσα· μὴ ἐπαγγέλλου τὰ μὴ σά. Ἐπὶ ζωήν σε καλοῦμεν, ἄνθρωπε· τί ἀποφεύγεις τὴν κλῆσιν; Ἐπ' ἀγαθῶν μετουσίαν· τί ὑπερβαίνεις τὴν δωρεάν; Βασιλεία οὐρανῶν ἠνοικται· ὁ καλῶν ἀψευδής· ἡ ὁδὸς ῥᾳδία, οὐ χρόνου, οὐ δαπάνης, οὐ πραγματείας χρεία· τί μέλλεις; τί ἀναδύῃ; τί φοβῇ τὸν ζυγόν, ὥσπερ δάμαλίς τις ἀπειρόζυγος; «Χρηστός ἐστιν, ἐλαφρός ἐστιν»[7]· οὐ τρίβει τὸν αὐχένα, ἀλλὰ δοξάζει. Οὐ γὰρ δεσμεῖται ἡ ζεύγλη περὶ τὸν τράχηλον, αὐτεξούσιον ἐπιζητεῖ τὸν ὑφέλκοντα. Ὁρᾷς, ὅτι κατηγορεῖται Ἐφραὶμ ὡς «παροιστρῶσα δάμαλις»[8] ὅτι ἄτακτα περιπλανᾶται τὸν τοῦ νόμου ζυγὸν ἀτιμάζων; Ὑπόθες σου τὸν ἀδάμαστον αὐχένα· γενοῦ ὑποζύγιον τοῦ Χριστοῦ, ἵνα μή, ἀφειμένος τῆς ζεύγλης, μηδὲ ἐλευθεριάζων τῷ βίῳ, εὐεπιχείρητος ᾖς τοῖς θηρίοις.

2. «Γεύσασθε καὶ ἴδετε ὅτι Χρηστὸς ὁ Κύριος»[9]. Γλυκύτητα μέλιτος πῶς ἀναγγείλω τοῖς ἀγνοοῦσι; Γεύσασθε καὶ ἴδετε. Αἴσθησις λόγου παν[428]τὸς ἐναργέστερα πρὸς πεῖραν. Ὁ Ἰουδαῖος τὴν περιτομὴν οὐχ ὑπερτίθεται διὰ τὴν ἀπειλήν, ὅτι «πᾶσα ψυχή, ἥτις οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς»[10]· σὺ δὲ τὴν ἀχειροποίητον περιτομὴν ἀναβάλλῃ ἐν τῇ ἀπεκδύσει τῆς σαρκός, ἐν τῷ βαπτίσματι τελειουμένην[11], αὐτοῦ τοῦ Κυρίου ἀκούσας· «ἀμὴν ἀμὴν λέγω ὑμῖν ἐὰν μή τις γεννηθῇ δι' ὕδατος καὶ

1. Πρβλ. Μάρκ. 1,4. 2. Μάρκ. 1,5. 3. Ἡσ. 1,16. 4. Ψαλ. 33,6. 5. Πράξ. 2,38. 6. Ματθ. 11,28. 7. Ματθ. 11,30. 8. Πρβλ. Ὡσ. 4,16. 9. Ψαλ. 33,9. 10. Πρβλ. Γεν. 17,14. 11. Πρβλ. Κολ. 2,11.

Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ»[1]. Κἀκεῖ μὲν ὀδύνη καὶ ἔλκος· ἐνταῦθα δὲ δρόσος ψυχῆς καὶ ἕλκους καρδίας ἴαμα. Προσκυνεῖς τὸν ὑπὲρ σοῦ ἀποθανόντα; Οὐκοῦν κατάδεξαι αὐτῷ συνταφῆναι διὰ τοῦ βαπτίσματος[2]. Ἐὰν μὴ σύμφυτος γένῃ τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ[3], πῶς κοινωνὸς γενήσῃ τῆς ἀναστάσεως; Ὁ Ἰσραὴλ ἐκεῖνος «εἰς τὸν Μωυσῆν ἐβαπτίσθη ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ»[4], σοὶ τοὺς τύπους παραδιδοὺς καὶ χαρακτηρίζων τὴν ἐπ' ἐσχάτων τῶν καιρῶν δειχθησομένην ἀλήθειαν· σὺ δὲ περιφεύγεις τὸ βάπτισμα, οὐκ ἐν θαλάσσῃ τυπούμενον, ἀλλ' ἐν ἀληθείᾳ τελειούμενον· οὐκ ἐν νεφέλῃ, ἀλλ' ἐν τῷ Πνεύματι· οὐκ εἰς Μωυσῆν τὸν ὁμόδουλον, ἀλλ' εἰς Χριστὸν τὸν ποιήσαντα. Ὁ Ἰσραὴλ εἰ μὴ παρῆλθε τὴν θάλασσαν, οὐκ ἂν ἐχωρίσθη τοῦ Φαραώ· καὶ σύ, ἐὰν μὴ παρέλθῃς διὰ τοῦ ὕδατος, οὐ χωρισθήσῃ τῆς πικρᾶς τυραννίδος τοῦ διαβόλου. Οὐκ ἂν ἔπιεν ἐκεῖνος ἐκ τῆς πνευματικῆς πέτρας, εἰ μὴ τυπικῶς ἐβαπτίσθη· οὐδέ σοί τις δώσει τὴν ἀληθινὴν πόσιν, ἐὰν μὴ ἀληθινῶς βαπτισθῇς. «Ἔφαγεν ἄρτον ἀγγέλων»[5] ἐκεῖνος μετὰ τὸ βάπτισμα· σὺ δὲ πῶς βρώσῃ τὸν ζῶντα ἄρτον[6], ἂν μὴ πρότερον ὑποδέξῃ τὸ βάπτισμα; Εἰσῆλθεν ἐκεῖνος εἰς τὴν γῆν τῆς ἐπαγγελίας διὰ τὸ βάπτισμα· σὺ δὲ πῶς ἐπανέλθῃς εἰς τὸν παράδεισον, μὴ σφραγισθεὶς τῷ βαπτίσματι; Ἢ οὐκ οἶδας, ὅτι φλογίνῃ ῥομφαία τέτακται φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου ζωῆς[7], τοῖς μὲν ἀπίστοις φοβερὰ καὶ φλογίζουσα, τοῖς δὲ πεπιστευκόσιν εὐπρόσιτος καὶ ἱμερον ἐπιλάμπουσα; Καὶ στρέφεσθαι[8] αὐτὴν ἐποίησεν ὁ Δεσπότης· ὅταν μὲν γὰρ ἴδῃ πιστόν, τὰ νῶτα δίδωσιν· ὅταν δέ τινα τῶν ἀσφραγίστων, κατὰ στόμα προσαπαντᾷ.

3. Ἠλίας ἅρμα πυρὸς καὶ ἵππους πυρίνους πρὸς αὐτὸν ἐλθόντας οὐ κατεπλάγη, ἀλλ' ἐπιθυμίᾳ τῆς ἄνω πορείας τῶν φοβερῶν κατετόλμησε καὶ μετὰ περιχαρείας ἐπέβη τῶν φλογίνων ὀχημάτων, ὁ ἐν σαρκὶ ζῶν ἔτι· σὺ δέ, οὐ πυρίνων ἁρμάτων ἐπιβήσεσθαι μέλλων[9], ἀλλὰ δι' ὕδατος καὶ Πνεύματος ἀναβαίνειν εἰς τὸν οὐρανόν, οὐκ ἐπιτρέχεις τῇ κλήσει; Ἔδειξεν Ἠλίας τοῦ βαπτίσματος τὴν ἰσχὺν ἐπὶ τοῦ βωμοῦ τῶν ὁλοκαυτωμάτων, οὐ διὰ πυρός, ἀλλὰ δι' ὕδατος τὴν θυσίαν ὁλοκαυτώσας. Ἄλλως μὲν οὖν ἡ τοῦ πυρὸς φύσις τῷ ὕδατι μάχεται· ἐπειδὴ δὲ μυ[429]στικῶς τὸ ὕδωρ τρίτον τότε τοῦ βωμοῦ κατεχύθη, ἀρχὴ ἐγένετο τῷ πυρὶ καὶ ἐξῆψε τὴν φλόγα ὥσπερ ἔλαιον. «Λάβετέ μοι, φησίν, ὑδρίας καὶ ἐπιχέετε ἐπὶ τὸ ὁλοκαύτωμα καὶ ἐπὶ τὰς σχίδακας. Καὶ εἶπε· Δευτερώσατε, καὶ ἐδευτέρωσαν· Τρισσώσατε, καὶ ἐτρίσωσαν»[10]· δεικνύντος τοῦ λόγου, ὅτι διὰ τοῦ βαπτίσματος τῷ Θεῷ οἰκειοῦται ὁ προσαγόμενος καὶ ὅτι φῶς καθαρὸν καὶ οὐράνιον ἐν ταῖς

---

1. Ἰω. 3,5. 2. Πρβλ. Κολ. 2,12. 3. Πρβλ. Ρωμ. 6,5. 4. Α' Κορ. 10,2. 5. Ψαλ. 77,25. 6. Πρβλ. Ἰω. 6,51. 7. Πρβλ. Γεν. 3,24. 8. Ἐνθ' ἀν. 9. Πρβλ. Δ' Βασ. 2,11. 10. Γ' Βασ. 18,34.

τῶν προσιόντων ψυχαῖς διὰ τῆς εἰς τὴν Τριάδα πίστεως ἀναλάμπει. Εἰ χρυσὸν τῇ ἐκκλησίᾳ διένεμον, οὐκ ἄν μοι εἶπες· αὔριον ἥξω καὶ αὔριον δώσεις· ἀλλ' ἀπήτεις ἂν ἤδη τὴν διανομὴν κατεπείγων καὶ ἐδυσφόρεις πρὸς τὴν ὑπέρθεσιν· ἐπειδὴ δὲ οὐχ ὕλης εὔχροιαν, ἀλλὰ ψυχῆς καθαρότητα προτείνεταί σοι ὁ μεγαλόδωρος προφάσεις πλάττῃ καὶ αἰτίας ἀπαριθμῇ, δέον ἐπιτρέχειν τῷ δώρῳ. Ὦ τοῦ θαύματος! ἀνακαινίζῃ, μὴ χωνευόμενος· ἀναπλάττῃ, μὴ συντριβόμενος· θεραπεύῃ, μὴ ὀδυνώμενος καὶ οὐ λογίζῃ τὴν χάριν. Εἰ δοῦλος ἀνθρώπων ἦσθα, προεγράφῃ δὲ δούλοις ἐλευθερία, οὐκ ἂν ἐπὶ τὴν κυρίαν ἀπήντησας, συνηγόρους μισθούμενος καὶ δικαστὰς παρακαλῶν ὥστε πάσῃ μηχανῇ πρὸς ἐλευθερίαν ἐξαιρεθῆναι; Ἢ που καὶ ῥάπισμα, τὴν τελευταίαν τῶν δούλων πληγήν, ὑπὲρ τῆς μετὰ ταῦτα τῶν αἰκισμῶν ἀπαλλαγῆς κατεδέχου. Ἐπειδὴ δὲ δοῦλον ὄντα σε, οὐκ ἀνθρώπων, ἀλλὰ τῆς ἁμαρτίας, καλεῖ πρὸς ἐλευθερίαν ὁ κῆρυξ, ἵνα λύσῃ μέν σε τῆς αἰχμαλωσίας, ἰσοπολίτην δὲ τοῖς ἀγγέλοις ποιήσῃ καὶ υἱὸν μὲν ἀποδείξῃ τοῦ Θεοῦ εἰσποιηθέντα διὰ τῆς χάριτος, κληρονόμον δὲ τῶν ἀγαθῶν τοῦ Χριστοῦ· οὕπω λέγεις εἶναί σοι καιρὸν δέξασθαι τὰ διδόμενα. Ὦ τῶν πονηρῶν ἐμποδίων! ὦ τῆς αἰσχρᾶς καὶ ἀτελέστου ἀσχολίας! Ἕως πότε ἡδοναί; ἕως πότε ἡδυπάθειαι; Πολὺν ἐζήσαμεν χρόνον τῷ κόσμῳ, ζήσωμεν λοιπὸν καὶ ἑαυτοῖς. Τί ψυχῆς ἀντάξιον; Τί ἰσοστάσιον τῆς βασιλείας τῶν οὐρανῶν; Τίς ἀξιοπιστότερός σοι σύμβουλος τοῦ Θεοῦ; Τίς φρονιμώτερος τοῦ σοφοῦ; ἢ τίς ὠφελιμώτερος τοῦ ἀγαθοῦ; Τίς τοῦ κτίσαντος οἰκειότερος; Οὐδὲ τῇ Εὔᾳ συνήνεγκε τῇ τοῦ ὄφεως συμβουλῇ πεισθῆναι μᾶλλον ἢ τῇ τοῦ Δεσπότου. Ὦ τῆς ἀτοπίας τῶν λόγων! Οὐκ ἄγω σχολὴν ὑγιᾶναι· μήπω μοι δείξῃς τὸ φῶς· μήπω συνάψῃς τῷ Βασιλεῖ. Οὐ ταῦτα λέγεις ἄντικρυς; Μᾶλλον δὲ τὰ τούτων ἀλογιστότερα. Σὺ δέ, εἰ μὲν ἦς ἐγγεγραμμένος τοῖς δημοσίοις ὀφλήμασι, χρεῶν δὲ ἀποκοπαὶ τοῖς ὑπευθύνοις περιηγγέλθησαν, εἶτά τις ἦν ὁ πρὸς ἐπήρειαν ἄμοιρόν σε ποιῆσαι τῆς συγχωρήσεως ταύτης ἐπιχειρῶν· ἠγανάκτεις ἂν καὶ ἐβόας, ὡς τὸ ἐπιβάλλον σοι μέρος τῆς κοινῆς χάριτος ἀφαιρούμενος. Ἐπειδὴ δὲ οὐ μόνον ἄφεσις τῶν παρελθόντων, ἀλλὰ καὶ δωρεαὶ τῶν μελλόντων προεκηρύχθησαν, αὐτὸς σεαυτὸν ἀδικῶν, ἃ μηδ' ἂν τῶν ἐχθρῶν σοί τις ἐπηρεάσατο, **[432]** οἴει προσηκόντως βεβουλεῦσθαι καὶ λυσιτελῶς ἐντεθυμῆσθαι περὶ σεαυτοῦ, ὃς γε οὐ δέχῃ τὴν ἄφεσιν, ἀλλ' ἐναποθνήσκεις τοῖς ὀφλήμασι; καὶ ταῦτα εἰδώς, ὅτι ὁ τῶν μυρίων ταλάντων χρεωφειλέτης ἔτυχεν ἂν τῆς ἀφέσεως, εἰ μὴ αὐτὸς ἑαυτῷ τὴν εἴσπραξιν ἐκ τῆς πρὸς τὸν ὁμόδουλον ἀπανθρωπίας ἀνενεώσατο[1]. Ὃ καὶ ἡμῖν φυλακτέον μὴ πάθωμεν, ἐπειδὰν τῆς χάριτος τύχωμεν, μὴ ἀφιέντες τοῖς ὀφειλέταις ἡμῶν[2], ἵνα βέβαιον ἡμῖν παραμείνῃ τὸ δῶρον.

4. Εἴσελθε εἰς τὸ ταμιεῖόν σου τῆς ψυχῆς, ἀνακίνησόν σου τῶν

1. Ματθ. 18,24 ἐξ. 2. Πρβλ. Ματθ. 6,12.

πεπραγμένων τὴν μνήμην. Εἰ μὲν πολλά σού ἐστι τὰ ἁμαρτήματα, μὴ ἀθυμήσῃς τῷ πλήθει. «Ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις»[1], ἐὰν δέχῃ τὴν χάριν· τῷ γὰρ ὀφείλοντι πολύ, πολὺ καὶ ἀφεθήσεται, ἵνα περισσότερον ἀγαπήσῃ. Εἰ δὲ μικρὰ καὶ εὐτελῆ καὶ οὐ πρὸς θάνατόν[2] σου τὰ ἁμαρτήματα, τί ἀγωνιᾷς τὸ μέλλον, ὅς γε οὐκ ἀγενῶς τά παρελθόντα διήνεγκας καὶ ταῦτα οὔπω τῷ νόμῳ παιδαγωγούμενος; Νῦν ὥσπερ ἐπὶ τρυτάνης ἑστάναι νόμιζέ σου τὴν ψυχήν, ἔνθεν ὑπ' ἀγγέλων, κἀκεῖθεν ὑπὸ δαιμόνων διελκομένην. Τίσιν ἄρα δώσεις τὴν ῥοπὴν τῆς καρδίας; Τί παρὰ σοὶ νικήσει; ἡδονὴ σαρκὸς ἢ ἁγιασμὸς ψυχῆς; ἀπόλαυσις τῶν παρόντων ἢ τῶν μελλόντων ἐπιθυμία; Ἄγγελοί σε παραλήψονται ἢ καθέξουσιν οἱ κατέχοντες; Ἐπὶ παρατάξεως οἱ στρατηγοὶ τὸ σύνθημα τοῖς ὑπ' αὐτοὺς διανέμουσιν, ἵνα καὶ οἱ φίλοι ῥᾳδίως ἀλλήλους ἀνακαλῶνται καὶ πρὸς τοὺς ἐναντίους, ἐὰν ἐν ταῖς συμπλοκαῖς ἀναμιχθῶσιν, εὐκρινὴς δύνηται ὑπάρχειν ὁ χωρισμός. Οὐδεὶς ἐπιγνώσεταί σε, εἰ ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων, ἐὰν μὴ τοῖς μυστικοῖς συμβόλοις παράσχῃ τὴν οἰκειότητα, ἐὰν μὴ σημειωθῇ ἐπὶ σὲ τὸ φῶς τοῦ προσώπου Κυρίου[3]. Πῶς ἀντιποιηθῇ σου ὁ ἄγγελος; πῶς δὲ ἀφέληται τῶν ἐχθρῶν, ἐὰν μὴ ἐπιγνῷ τὴν σφραγῖδα; Πῶς δὲ σὺ ἐρεῖς, τοῦ Θεοῦ εἰμι, μὴ ἐπιφερόμενος τὰ γνωρίσματα; Ἢ ἀγνοεῖς, ὅτι τὰς ἐσφραγισμένας οἰκίας ὁλοθρευτὴς ὑπερέβαινεν, ἐν δὲ ταῖς ἀσφραγίστοις κατεφόνευε τὰ πρωτότοκα[4]; Ἀσφράγιστος θησαυρὸς εὐεπιχείρητος κλέπταις· πρόβατον ἀσημείωτον ἀκινδύνως ἐπιβουλεύεται.

5. Νέος εἶ; Ἀσφάλισαι τὴν νεότητα τῷ τοῦ βαπτίσματος χαλινῷ. Παρέδραμεν ἡ ἀκμή; Μὴ ζημιωθῇς τὰ ἐφόδια, μὴ ἀπολέσῃς τὸ φυλακτήριον, μὴ περὶ τῆς ἑνδεκάτης ὥρας ὡς περὶ πρώτης διανοοῦ[5]· ὅπου γε προσήκει καὶ τὸν ἀρχόμενον τοῦ βίου ἐν ὀφθαλμοῖς ἔχειν τὴν τελευτήν. Εἴ τις ἰατρῶν ἐπηγγέλλετό σοι μηχαναῖς τισι καὶ ἐπινοίαις νέον ποιήσειν ἐκ γέ[433]ροντος, οὐκ ἂν ἐπεθύμησας ἐλθεῖν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ σεαυτὸν ὁρᾷν ἔμελλες πρὸς ἀκμὴν ὑποστρέφοντα; Ἐπειδὴ δὲ τὴν ψυχὴν σου ἀναθαλήσειν ἐπαγγέλλεταί σοι τὸ βάπτισμα, ἣν σὺ ἐπαλαίωσας καὶ ῥυσὴν αὐτὴν ἐκ τῶν ἀνομιῶν καὶ ἐσπιλωμένην ἀπέδειξας, καταφρονεῖς τοῦ εὐεργέτου καὶ οὐ προστρέχεις τῷ ἐπαγγέλματι. Οὐκ ἐπιθυμεῖς ἰδεῖν τί τὸ μέγα θαῦμα τῆς ὑποσχέσεως; πῶς ἄνευ μητρὸς ἀναγεννᾶται ἄνθρωπος; πῶς ὁ παλαιούμενος καὶ φθειρόμενος κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης σφριγᾷ πάλιν καὶ ἀνηβᾷ καὶ εἰς τὸ ἀληθινὸν ἄνθος τῆς νεότητος ἐπανέρχεται[6]; Βάπτισμα αἰχμαλώτοις λύτρον, ὀφλημάτων ἄφεσις, θάνατος ἁμαρτίας, παλιγγενεσία ψυχῆς, ἔνδυμα φωτεινόν, σφραγὶς ἀνεπιχείρητος, ὄχημα πρὸς οὐρανόν, βασιλείας πρόξενον, υἱοθεσίας χάρισμα. Τοσούτων ἀγαθῶν καὶ τηλικού-

1. Ρωμ. 5,20. 2. Πρβλ. Α' Ἰω. 5,17. 3. Πρβλ. Ψαλ. 4,7. 4. Πρβλ. Ἐξ. 12,23. 5. Πρβλ. Ματθ. 20,12. 6. Πρβλ. Ἐφ. 4,22.

των, ἄθλιε, προτιμοτέραν ἄγεις τὴν ἡδονήν; Νοῶ γάρ σου τὴν ὑπέρθεσιν, κἂν περιστέλλῃ τοῖς ῥήμασιν· αὐτὰ βοᾷ τὰ πράγματα, κἂν τῇ φωνῇ σιωπᾷς. Ἔασον, ἀποχρήσωμαι τῇ σαρκὶ πρὸς τὴν ἀπόλαυσιν τῶν αἰσχρῶν, ἐγκυλισθῶ τῷ βορβόρῳ τῶν ἡδονῶν, αἱμάξω τὰς χεῖρας, ἀφέλωμαι τὰ ἀλλότρια, δολίως πορευθῶ, ἐπιορκήσω, ψεύσωμαι· καὶ τότε τὸ βάπτισμα, ὅταν λήξω ποτὲ τῶν κακῶν, ὑποδέξομαι. Εἰ μὲν οὖν καλὸν ἡ ἁμαρτία, φύλασσε ταύτης εἰς τέλος· εἰ δὲ βλαβερὰ τῷ ποιοῦντι, τί ἐπιμένεις τοῖς ὀλεθρίοις; Οὐδείς, χολὴν ἐμέσαι ζητῶν, ἐκ πονηρᾶς καὶ ἀκολάστου διαίτης πολυπλασίονα ταύτην ἑαυτῷ συναθροίζει. Καθαίρειν προσῆκε τῶν λυπούντων τὸ σῶμα, οὐ μέντοι κατασκευάζειν τὴν νόσον μείζονα τῆς δυνάμεως. Φαίνεται ἡ ναῦς μέχρι τίνος τὸ βάρος τῶν ἀγωγίμων ὑφίσταται, τὸ δὲ ὑπὲρ τοῦτο καταβαπτίζει. Φοβήθητι μὴ καὶ σὺ τὰ παραπλήσια πάθῃς καὶ μείζονα τῆς ἀφέσεως ποιήσας τὰ ἁμαρτήματα, πρὸ τῶν ἐλπισθέντων λιμένων ὑποστῇς τὸ ναυάγιον. Οὐ βλέπει Θεὸς τὰ γινόμενα; ἢ οὐ νοεῖ σου τὰ ἐνθυμήματα; ἢ συνεργάζεταί σοι τὰς ἀνομίας; «Ὑπέλαβες ἀνομίαν», φησίν, «ὅτι ἔσομαί σοι ὅμοιος»[1]. Σὺ δέ, ἀνδρὸς μὲν θνητοῦ φιλίαν πραγματευόμενος, δι' εὐεργεσίας αὐτὸν προσάγῃ, ἐκεῖνα λέγων καὶ πράττων οἷσπερ ἂν αἴσθῃ χαίροντα· Θεῷ δὲ προσοικειούμενος καὶ εἰς τὴν υἱοῦ τάξιν ἐλπίζων παραδεχθήσεσθαι, τὰ ἐχθρὰ τῷ Θεῷ **[436]** πράττων καὶ διὰ τοῦ νόμου παραβάσεως ἀτιμάζων αὐτόν, ἐξ ὧν μάλιστα προσκρούεις, ἐκ τούτων ἐλπίζεις τὴν οἰκειότητα; Ὅρα μὴ ἐπ' ἐλπίδι τῆς ἀπολυτρώσεως, πλῆθος κακῶν σεαυτῷ συλλεξάμενος, τὴν μὲν ἁμαρτίαν συναθροίσῃς, τῆς δὲ συγχωρήσεως ἀποτύχῃς. «Θεὸς οὐ μυκτηρίζεται»[2]. Μὴ ἐμπορεύου τὴν χάριν. Μὴ εἴπῃς· καλὸς μὲν ὁ νόμος, ἀλλ' ἡδίων ἡ ἁμαρτία. Ἡδονὴ ἄγκιστρόν ἐστι τοῦ διαβόλου πρὸς ἀπώλειαν ἕλκον. Ἡδονὴ μήτηρ τῆς ἁμαρτίας· «ἡ δὲ ἁμαρτία τὸ κέντρον ἐστὶ τοῦ θανάτου»[3]. Ἡδονὴ τροφὸς τοῦ αἰωνίου σκώληκος, ἡ πρὸς καιρὸν μὲν καταλεαίνει τὸν ἀπολαύοντα, ὕστερον δὲ πικροτέρας χολῆς ποιεῖται τὰς ἀναδόσεις. Οὐδὲν ἄλλο βοᾷ ἡ ὑπέρθεσις ἢ ταῦτα· βασιλευσάτω ἐν ἐμοὶ πρῶτον ἡ ἁμαρτία, εἶτα βασιλεύσει ποτὲ καὶ ὁ Κύριος. Παραστήσω μου τὰ μέλη ὅπλα ἀδικίας τῇ ἀνομίᾳ[4]· εἶτα παραστήσω ποτὲ καὶ ὅπλα δικαιοσύνης αὐτὰ τῷ Θεῷ[5]. Οὕτω καὶ Κάϊν προσέφερε τὰς θυσίας· τὰ πρῶτα τῇ ἀπολαύσει τῇ ἑαυτοῦ, τὰ δεύτερα τῷ κτίσαντι καὶ δωρησαμένῳ Θεῷ. Ὅτε δυνατὸς εἶ ἐν ἔργοις, τὴν νεότητά σου ταῖς ἁμαρτίαις προσαναλίσκεις. Ὅτε ἀποκάμῃ τὰ ὄργανα, τότε προσάγεις αὐτὰ τῷ Θεῷ, ὅτε εἰς οὐδὲν αὐτοῖς ἔστι χρήσασθαι, ἀλλ' ἀνάγκη κεῖσθαι διὰ τὸν ἐκ τοῦ χρόνου μαρασμὸν παραλυθέντος τοῦ τόνου. Ἡ ἐν γήρᾳ σωφροσύνη οὐ σωφροσύνη, ἀλλ' ἀκολασίας ἀδυναμία. Νεκρὸς οὐ στεφανοῦται· οὐδεὶς δίκαιος δι' ἀδυναμίαν κακοῦ. Ἕως ἔστι σοι δύναμις,

1. Ψαλ. 49,21. 2. Γαλ. 6,7. 3. Α' Κορ. 15,56. 4. Πρβλ. Ρωμ. 6,13. 5. Ἐνθ' ἀν.

λόγῳ κράτει τῆς ἁμαρτίας. Τοῦτο γάρ ἐστιν ἀρετή· ἔκκλισις ἀπὸ κακοῦ καὶ ποίησις ἀγαθοῦ[1]. Ἡ δὲ ἀργία τῆς πονηρίας οὔτε ἐπαίνων αὐτὴ καθ' ἑαυτήν, οὔτε κολάσεων ἀξιοῦται. Ἐὰν δι' ἡλικίαν παύσῃ τῆς ἁμαρτίας, τῆς ἀσθενείας ἡ χάρις. Ἐπαινοῦμεν δὲ τοὺς κατὰ προαίρεσιν ἀγαθούς, οὐ τοὺς ἀπό τινος ἀνάγκης ἐξειργομένους. Τίς δέ σοι καὶ τὸν ὅρον τῆς ζωῆς ἔπηξε; τίς σοι τὴν προθεσμίαν τοῦ γήρως ὥρισε; τίς οὕτως ἀξιόπιστος παρὰ σοὶ τῶν μελλόντων ἐγγυητής; Οὐχ ὁρᾷς νήπια ἁρπαζόμενα, τοὺς ἐν ἡλικίᾳ ἀπαγομένους; Οὐκ ἔχει μίαν προθεσμίαν ὁ βίος. Τί ἀναμένεις πυρετοῦ σοι δῶρον γενέσθαι τὸ βάπτισμα; ὅτε οὐδὲ φθέγξασθαι δυνήσῃ τὰ σωτήρια ῥήματα, τάχα δὲ οὐδὲ ἀκοῦσαι καθαρῶς ἐπιτραπήσῃ, αὐτῇ τῇ κεφαλῇ ἐνοικούσης τῆς νόσου· οὐ χεῖρας ἆραι εἰς οὐρανόν, οὐκ ἐπὶ πόδας διαναστῆναι, οὐ κλῖναι γόνυ εἰς τὴν προσκύνησιν, οὐ διδαχθῆναι χρησίμως, οὐχ ὁμολογῆσαι ἀσφαλῶς, οὐχὶ συνθέσθαι Θεῷ, οὐκ ἀποτάξασθαι τῷ ἐχθρῷ, τάχα δὲ οὐδὲ συνετῶς ἐπακολουθῆσαι μυσταγωγούμενος, ἀμφίβολος ὢν τοῖς παροῦσιν, ἆρα ἧσθου **[437]** τῆς χάριτος, ἢ ἀναισθήτως ἔχεις τῶν γινομένων. Ὅταν δὲ καὶ ἐπιστημόνως τὴν χάριν δέξῃ, τότε τὸ μὲν τάλαντον ἔχεις, τὴν δὲ ἐργασίαν οὐκ ἐπιφέρῃ.

6. «Μίμησαι τὸν εὐνοῦχον»[2]. Εὗρεν ἐκεῖνος τὸν κατηχοῦντα καὶ οὐχ ὑπερεῖδε τὴν μάθησιν, ἀλλ' ἐπὶ τὸ ἅρμα ἀνεβιβάσατο τὸν πένητα ὁ πλούσιος, τὸν ἰδιώτην καὶ εὐκαταφρόνητον ὁ σοβαρὸς καὶ ὑπέρογκος· καὶ διδαχθεὶς τὸ Εὐαγγέλιον τῆς βασιλείας, ἐδέξατο μὲν τῇ καρδίᾳ τὴν πίστιν, οὐκ ἀνεβάλετο δὲ τὴν σφραγῖδα τοῦ Πνεύματος. Ἐπειδὴ γὰρ ἀπήντησαν ὕδατι, «ἰδού», φησίν, «ὕδωρ»[3]. Ἐκ περιχαρείας ὁ λόγος· Ἰδοὺ τὸ ζητούμενον, «τί κωλύει με βαπτισθῆναι»[4]; Ὅπου προαίρεσις ἑτοίμη, τὸ κωλύον οὐδέν. Ὁ γὰρ καλῶν φιλάνθρωπος, ὁ διάκονος εὐτρεπής, ἡ χάρις ἄφθονος· ἡ προθυμία ἐνυπαρχέτω καὶ τὸ ἐμποδίζον, οὐκ ἔσται. Εἷς ἐστιν ὁ κωλύων, ὁ ἐμφράσσων ἡμῖν τὰς εἰς σωτηρίαν ὁδούς, ὃν νικήσωμεν τῇ συνέσει. Ἐκεῖνος τὸν ὄκνον ἡμῖν ἐμποιεῖ· ἡμεῖς διαναστῶμεν πρὸς ἐργασίαν. Ἐκεῖνος διακένοις ἐπαγγελίαις τὰς καρδίας ἡμῶν ἐξαπατᾷ· ἡμεῖς αὐτοῦ μὴ ἀγνοήσωμεν τὰ νοήματα. Ἡ γὰρ οὐχὶ τὴν μὲν ἁμαρτίαν σήμερον ποιεῖν ὑποβάλλει, τὴν δὲ δικαιοσύνην εἰς τὴν αὔριον πείθει ἡμᾶς ταμιεύεσθαι; Διὰ τοῦτο ὁ Κύριος, ἀναλύων αὐτοῦ τὰς πονηρὰς συμβουλίας, «σήμερον, φησίν, ἐὰν τῆς φωνῆς μου ἀκούσητε»[5]. Ἐκεῖνος λέγει· τὴν σήμερον ἐμοί, καὶ τὴν αὔριον τῷ Θεῷ. Ὁ Κύριος ἀντιβοᾷ· σήμερον τῆς ἐμῆς φωνῆς ἀκούσατε. Νόησον τὸν ἐχθρόν· οὐ τολμᾷ συμβουλεῦσαι καθόλου ἀποστῆναι Θεοῦ (οἶδεν, ὅτι βαρὺ τοῦτο ἀκοῦσαι Χριστιανοῖς), ἀλλὰ τέχναις ἀπατηλαῖς, μεθοδεύει τὴν ἐπιχείρησιν. Σοφός ἐστι τοῦ κακοποιῆσαι[6]. Συνορᾷ, ὅτι κατὰ τὸ παρὸν ζῶμεν οἱ ἄνθρωποι καὶ πᾶσα

1. Πρβλ. Α' Πέτρ. 3,11. 2. Πράξ. 8,27 ἑξ. 3. Ἔνθ' ἀν. 4. Ἔνθ' ἀν. 5. Ψαλ. 94,8. 6. Πρβλ. Ἱερ. 4,22.

πρᾶξις κατὰ τὸ ἐνεστὼς ἐνεργεῖται. Τὴν οὖν σήμερον κλέπτων ἡμῶν διὰ τῆς μεθοδείας, τῆς αὔριον ἡμῖν τὰς ἐλπίδας περιαφίησιν. Εἶτα, ἐπειδὰν ἡ αὔριον ἔλθῃ, πάλιν ἔρχεται ὁ κακὸς συμμεριστὴς ἡμῶν, ἀξιῶν τὴν σήμερον ἑαυτῷ, τὴν δὲ αὔριον τῷ Κυρίῳ· καὶ οὕτως ἀεὶ τὸ μὲν παρὸν δι' ἡδονῆς ὑφαιρούμενος, τὸ δὲ μέλλον ταῖς ἐλπίσιν ἡμῶν προσαφιείς, λανθάνει ἡμᾶς ἀποβουκολῶν τῆς ζωῆς.

7. Τοιαύτην εἶδον ἐγώ ποτε πανουργίαν ὄρνιθος εὐμηχάνου. Εὐαλώτων γὰρ αὐτῇ τῶν νεοττῶν ὑπαρχόντων δι' ἀπαλότητα, ἑαυτὴν προβαλλομένη ὡς ἕτοιμον θήραμα καὶ ταῖς χερσὶ τῶν ἀγρευόντων ἐνστρεφομένη, οὔτε ἁλώσιμος ἦν ἐκ τοῦ προχείρου τοῖς θηρευταῖς, οὔτε ἀπόγνωσιν αὐτοῖς ἐνεποίει **[440]** τῆς ἄγρας· ἀλλὰ ταῖς ἐλπίσιν αὐτοὺς ποικίλως παρακατέχουσα, τῇ περὶ ἑαυτὴν ἀσχολίᾳ, τοῖς νεοσσοῖς τὴν ἄδειαν τῆς φυγῆς προεξένησεν, εἶτα τὸ τελευταῖον καὶ αὐτὴ συναπέπτη. Φοβήθητι μὴ καὶ σὺ τὰ παραπλήσια πάθῃς, ἐν ταῖς περὶ τῶν ἀδήλων ἐλπίσι τὰ φανερὰ προϊέμενος. Δεῦρο δὴ οὖν μοι, ὅλον σεαυτὸν μετάθες ἐπὶ τὸν Κύριον· ἐπίδος σεαυτοῦ τὴν ὀνομασίαν· καταγράφηθι μετὰ τῆς Ἐκκλησίας. Ὁ στρατιώτης καταλόγοις ἐναριθμεῖται· ὁ ἀθλητὴς ἐναπογραψάμενος ἀγωνίζεται· ὁ δημότης πολιτογραφηθεὶς τοῖς φυλέταις ἐναριθμεῖται. Πᾶσι τούτοις ὑπεύθυνος εἶ, ὡς στρατιώτης τοῦ Χριστοῦ, ὡς ἀθλητὴς εὐσεβείας, ὡς τὸ πολίτευμα ἔχων ἐν οὐρανοῖς[1]. Ἀπογράφηθι ἐν ταύτῃ τῇ βίβλῳ, ἵνα μεταγραφῇς εἰς τὴν ἄνω. Μάθε, διδάχθητι εὐαγγελικὴν πολιτείαν, ὀφθαλμῶν ἀκρίβειαν, γλώσσης ἐγκράτειαν, σώματος δουλαγωγίαν, φρόνημα ταπεινόν, ἐννοίας καθαρότητα, ὀργῆς ἀφανισμόν. Ἀγγαρευόμενος προστίθει[2]· ἀποστερούμενος μὴ δικάζου[3]· μισούμενος ἀγάπα[4]· διωκόμενος ἀνέχου· βλασφημούμενος παρακάλει[5]. Νεκρώθητι τῇ ἁμαρτίᾳ[6]· συσταυρώθητι τῷ Χριστῷ· ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν Κύριον. Ἀλλὰ χαλεπὰ ταῦτα. Τί δὲ τῶν ἀγαθῶν εὔκολον; Τίς καθεύδων τρόπαιον ἔστησε; Τίς τρυφῶν καὶ καταυλούμενος τοῖς τῆς καρτερίας στεφάνοις κατεκοσμήθη; Οὐδεὶς μὴ δραμὼν ἀνείλετο τὸ βραβεῖον. Πόνοι γεννῶσι δόξαν, κάματοι προξενοῦσι στεφάνους. «Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[7], φημί, κἀγώ· ἀλλὰ ταύτας μὲν τὰς θλίψεις ἡ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μακαριότης ἐκδέχεται· τοὺς δὲ τῆς ἁμαρτίας καμάτους τὸ τῆς γεέννης ἐπίπονον καὶ σκυθρωπὸν ἀναμένει. Ἀλλὰ γὰρ ἀκριβῶς σκοποῦντι, οὐδὲ τὰ τοῦ διαβόλου ἔργα τοῖς ἐργάταις τῆς ἀνομίας ἀκμητὶ παραγίνεται. Ποῖοι ἱδρῶτες τῆς σωφροσύνης; Ὁ δὲ πορνεύων καθίδρως ἐστί, τῆς ἡδονῆς αὐτὸν ἐκτηκούσης. Τί τοσοῦτον ὑφαιρεῖ τοῦ σώματος ἡ ἐγκράτεια, ὅσον ἡ βδελυρὰ καὶ λυσσώδης ἀκολασία διαφθείρει; Νύκτες δὲ ἄυπνοι·

---

1. Πρβλ. Φιλιπ. 3,20. 2. Πρβλ. Ματθ. 5,41. 3. Πρβλ. Ματθ. 5,25
4. Πρβλ. Ματθ. 5,44. 5. Πρβλ. Α' Κορ. 4,12-13. 6. Πρβλ. Ρωμ. 6,2.
7. Πρβλ. Πράξ. 14,22.

τῶν διανυκτερευόντων ἐν προσευχαῖς· ἀλλὰ πολλῷ χαλεπώτεραι τῶν ἐπαγρυπνούντων ταῖς ἀδικίαις. Ὁ τε γὰρ φόβος τοῦ φωραθήσεσθαι καὶ ὁ ἐπὶ ταῖς ἡδοναῖς οἶστρος πᾶσαν ἀνάπαυσιν παντελῶς ἀπελαύνει. Εἰ δέ, φεύγων τὸ στενὸν τῆς ἐπὶ σωτηρίαν φερούσης, τὸ εὐρύχωρον διώκεις τῆς ἁμαρτίας, φοβοῦμαι μή, μέχρι τέλους τὴν πλατεῖαν ὁδεύσας, ἀκόλουθον εὕρῃς τῇ ὁδῷ τὸ κατάλυμα. Ἀλλὰ δυσφύλακτος ὁ θησαυρός. Καὶ ἐπαγρύπνησον, ἀδελφέ. Ἔχεις συνεργούς, ἐὰν θέλῃς, προσευχὴν νυκτοφυλακοῦσαν, νηστείαν οἰκουροῦσαν, ψαλμῳδίαν ψυχαγωγοῦσαν. Ταύτας συμπαράβαλε. Αὗται συναγραυλείτωσάν σοι ἐπὶ τὰς φυλακὰς τῶν **[441]** τιμίων. Τί βέλτιον, εἰπέ μοι, πλουτοῦντας ἡμᾶς ὑπὲρ τῆς φυλακῆς τῶν τιμίων ἀγωνιᾶν, ἢ μηδὲ ἔχειν τὴν ἀρχὴν ὃ φυλάξωμεν; Οὐδεὶς φόβῳ τῶν στερήσεων τὰ ἀγαθὰ ἀπωθεῖται. Οὕτω γὰρ ἂν οὐδὲν τῶν ἀνθρωπίνων συνέστη, εἰ ἐφ' ἑκάστῳ τῶν σπουδαζομένων τὰς ἀποτυχίας ἐλογιζόμεθα. Παράκειται γὰρ τῇ γεωργίᾳ μὲν ἡ ἀφορία, ταῖς ἐμπορίαις δὲ τὰ ναυάγια, τοῖς γάμοις αἱ χηρεῖαι, ταῖς παιδοτροφίαις αἱ ἀτεκνώσεις. Ἀλλ' ὅμως ἐγχειροῦμεν τοῖς ἔργοις, ταῖς χρηστοτέραις ἐλπίσιν ἐπερειδόμενοι· τὴν δὲ τῶν ἐλπισθέντων ἔκβασιν ἀνατιθέντες τῷ τὰ ἡμέτερα οἰκονομοῦντι Θεῷ. Σὺ δὲ λόγῳ μὲν ἀποσεμνύνεις τὸν ἁγιασμόν· ἔργῳ δὲ τοῖς κατεγνωσμένοις ἐνδιατρίβεις. Ὅρα μή ποτέ σοι μεταμελήσῃ τῶν κακῶν βουλευμάτων, ὅτε ὄφελός σοι τῆς μεταμελείας οὐδέν. Σωφρονισάτω σε τὸ τῶν παρθένων ὑπόδειγμα[1]. Ἐκεῖναι τὸ ἔλαιον ἐν τοῖς ἀγγείοις μὴ ἔχουσαι, ὅτε συνεισελθεῖν αὐτὰς ἐχρῆν τῷ νυμφίῳ, τότε ἐνδεῶς ἔχουσαι τῶν ἀναγκαίων ἠσθάνοντο. Διὸ καὶ μωρὰς αὐτὰς ὁ λόγος ἀπεκάλεσεν, ὅτι, τὸν καιρὸν τῆς τοῦ ἐλαίου χρήσεως εἰς τὸ περιιέναι καὶ συμπορίζειν παραναλώσασαι, ἔλαθον ἑαυτὰς ἀποκλείσασαι τῆς φαιδρότητος τοῦ νυμφῶνος. Μήποτε καὶ σύ, ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ καὶ μῆνας ἐκ μηνῶν καὶ ἡμέραν ἐξ ἡμέρας ὑπερτιθέμενος καὶ μὴ λαμβάνων τὸ ἔλαιον τὴν τροφὴν τοῦ φωτός, ἐμπέσῃς ποτὲ εἰς ἣν οὐ προσδοκᾷς ἡμέραν, ἡνίκα ἂν ἐπιλείπωσί σε λοιπὸν αἱ τοῦ ζῆν ἀφορμαί· ἀπορία δὲ ἢ πάντοθεν καὶ θλῖψις ἀπαραμύθητος, ἀπειρηκότων μὲν ἰατρῶν, ἀπειρηκότων δὲ τῶν οἰκείων· ὅτε πυκνῷ ἄσθματι καὶ ξηρῷ συνεχόμενος, πυρετοῦ λάβρου διακαίοντος τὰ ἔνδον καὶ ὑποσμύχοντος, στενάξεις μὲν ἀπὸ μέσης καρδίας, τὸν δὲ συλλυπούμενον οὐχ εὑρήσεις. Καὶ φθέγξῃ μέν τι λεπτὸν καὶ ἀδρανές, ὁ δὲ ἀκούων οὐκ ἔσται· πᾶν δὲ τὸ λαλούμενον παρὰ σοῦ ὡς παραφροσύνη καταφρονεῖται. Τίς δώσει τὸ βάπτισμα τότε; Τίς ὑπομνήσει κεκαρωμένον τῷ πάθει; Οἱ προσήκοντες ἀθυμοῦσιν, οἱ ἔξω τοῦ πάθους καταφρονοῦσιν, ὁ φίλος ὀκνεῖ τὴν ὑπόμνησιν ὡς ταραχὴν ἐμποιοῦσαν, ἤ που καὶ ἰατρὸς ἐξαπατᾷ καὶ σεαυτὸν οὐκ ἀπογινώσκεις διὰ τὸ φύσει φιλόζωον. Νὺξ καὶ ἐρημία τῶν βοηθούντων· ὁ βαπτίζων οὐ πάρεστιν. Ὁ θάνατος παρέστηκεν· οἱ ἀπά-

1. Πρβλ. Ματθ. 25,1 ἐξ.

γοντες κατεπείγουσι. Τίς ὁ ἐξαιρούμενος; Θεός, ὁ καταφρονηθείς; Ἀλλ' εἰσακούσεται τότε· σὺ γὰρ αὐτοῦ νῦν εἰσακούεις. Προθεσμίαν δώσει; Καλῶς γὰρ ἐχρήσω τῇ δεδομένῃ.

8. «Μηδείς σε ἐξαπατάτω κενοῖς λόγοις»[1]. Ἐπιστήσεται γάρ σοι αἰφνίδιος ὄλεθρος[2] καὶ ἡ καταστροφὴ ὁμοίως καταιγίδι παρέσται. Ἥξει ἄγγελος κατηφής, ἀπ[444]άγων βιαίως καὶ σύρων σου τὴν ψυχὴν δεδεμένην ταῖς ἁμαρτίαις, πυκνὰ μεταστρεφομένην πρὸς τὰ ὧδε καὶ ὀδυρομένην ἄνευ φωνῆς, τοῦ ὀργάνου λοιπὸν τῶν θρήνων ἀποκλεισθέντος. Ὦ πόσα σπαράξεις σεαυτόν! πόσα στενάξεις! ἄπρακτα μετανοῶν ἐπὶ τοῖς βουλευθεῖσιν, ὅταν ἴδῃς τὴν φαιδρότητα τῶν δικαίων ἐν τῇ λαμπρᾷ διανομῇ τῶν δώρων καὶ τὴν κατήφειαν τῶν ἁμαρτωλῶν ἐν τῷ σκότει τῷ βαθυτάτῳ. Οἷα ἐρεῖς, ἐν τῇ ὀδύνῃ τῆς καρδίας σου τότε; Αἰ μέ, μὴ ἀπορρίψαι τὸ βαρὺ τοῦτο φορτίον τῆς ἁμαρτίας, οὕτω ῥᾳδίας οὔσης τῆς ἀποθέσεως, ἀλλὰ τὸν σωρὸν τῶν κακῶν τούτων ἐφέλκεσθαι. Αἰ μέ, τὰς κηλῖδας μὴ ἀποπλύνασθαι, ἀλλὰ ἐστιγμένον εἶναι ταῖς ἁμαρτίαις. Νῦν ἂν ἤμην μετὰ τῶν ἀγγέλων· νῦν ἂν τοῖς οὐρανίοις ἀγαθοῖς ἐνετρύφων. Ὦ τῶν πονηρῶν βουλευμάτων! διὰ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν ἀθάνατα βασανίζομαι· δι' ἡδονὴν σαρκὸς τῷ πυρὶ παραδίδομαι. Δικαία ἡ κρίσις τοῦ Θεοῦ· ἐκαλούμην καὶ οὐχ ὑπήκουον· ἐδιδασκόμην καὶ οὐ προσεῖχον· διεμαρτύραντό μοι, ἐγὼ δὲ κατεγέλων. Ταῦτα καὶ τὰ τοιαῦτα ἐρεῖς, ἀποκλαιόμενος σεαυτόν, ἐὰν προαναρπασθῇς τοῦ βαπτίσματος. Ἄνθρωπε, ἢ τὴν γέενναν φοβήθητι, ἢ τῆς βασιλείας ἀντιποιήθητι. Μὴ ἀτιμάσῃς τὴν κλῆσιν. Μὴ εἴπῃς, «ἔχε με παρῃτημένον»[3] διὰ τὸ καὶ τό. Οὐδεμία πρόφασις ἱκανὴ πρὸς παραίτησιν. Ἐμοὶ δακρύειν ἐπέρχεται, ὅταν ἐνθυμηθῶ, ὅτι τὰ ἔργα τῆς αἰσχύνης προτιμᾷς τῆς μεγάλης δόξης τοῦ Θεοῦ καὶ διὰ τὸ τῆς ἀκολασίας ἡδὺ δυσαποσπάστως ἔχων τῆς ἁμαρτίας, τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν σεαυτὸν ἀποκλείεις, ὡς μὴ ἰδεῖν τὰ ἀγαθὰ τῆς Ἱερουσαλὴμ[4] τῆς ἐπουρανίου. Ἐκεῖ ἀγγέλων μυριάδες, πρωτοτόκων πανηγύρεις, ἀποστόλων θρόνοι, προφητῶν προεδρίαι, σκῆπτρα πατριαρχῶν, μαρτύρων στέφανοι, δικαίων ἔπαινοι. Ἐκείνοις σεαυτὸν ἐπιθύμησον συναριθμηθῆναι, ἀπολουσάμενος καὶ ἁγιασθεὶς κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Ἐφ. 5,6. 2. Πρβλ. Α' Θεσ. 5,3. 3. Λουκ. 14,18. 4. Πρβλ. Ψαλ. 127,5.

ΟΜΙΛΙΑ ΙΔ'

ΚΑΤΑ ΜΕΘΥΟΝΤΩΝ

1. Κινεῖ μέν με πρὸς τὸν λόγον τὰ ἑσπερινὰ θεάματα· κατέχει δέ μου πάλιν τὴν ὁρμὴν καὶ ἀπαμβλύνει τὴν προθυμίαν τῶν προλαβόντων πόνων τὸ ἄκαρπον. Ἐπεὶ καὶ γεωργός, τῶν πρώτων αὐτῷ σπερμάτων μὴ ἐκφυέντων, ὀκνηρότερός ἐστι πρὸς τὸ δεύτερον ταῖς αὐταῖς ἀρούραις πάλιν ἐγκαταβάλλειν. Εἰ γὰρ ἐπὶ τοσαύταις παραινέσεσιν, ἃς ἔν τε τῷ προλαβόντι χρόνῳ παρακαλοῦντες ὑμᾶς οὐ διελίπομεν καὶ ἐφεξῆς τῶν ἑπτὰ τούτων τῆς νηστείας ἑβδομάδων νυκτὸς καὶ ἡμέρας διαμαρτυρό[445]μενοι ὑμῖν τὸ Εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ οὐκ ἐπαυσάμεθα, οὐδὲν γέγονεν ὄφελος, ἐπὶ ποίαις ἐλπίσι διαλεχθῶμεν σήμερον; Ὦ πόσας νύκτας εἰκῇ ἠγρυπνήσατε! πόσας ἡμέρας εἰκῇ συνηθροίσθητε! εἴ γε καὶ εἰκῇ. Ὁ γὰρ ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων, εἶτα παλινδρομήσας πρὸς τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον τὸν ἐπὶ τοῖς πεπονημένοις μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως· ὅτι, γευσάμενος καλὸν Θεοῦ ῥῆμα καὶ γνώσεως μυστηρίων ἀξιωθείς, πάντα προέδωκεν, ἡδονῇ βραχείᾳ δελεασθείς. «Ὁ μὲν γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους· δυνατοὶ δέ», φησί, «δυνατῶς ἐτασθήσονται»[1]. Μία ἑσπέρα καὶ μία προσβολὴ τοῦ ἐχθροῦ πάντα τὸν πόνον ἐκεῖνον διέλυσε καὶ ἠφάνισε. Ποία οὖν προθυμία τοῦ νῦν λόγου; Ὥστε κἂν ἐσιώπησα, εὖ ἴστε, εἰ μὴ ἐφοβούμην τὸ ὑπόδειγμα τοῦ Ἱερεμίου, ὃς, πρὸς ἀπειθῆ λαὸν φθέγγεσθαι μὴ βουλόμενος, ἔπαθεν ἐκεῖνα ἅπερ αὐτὸς διηγήσατο· ὅτι ἐγένετο αὐτῷ πῦρ ἐν τοῖς ἐγκάτοις καὶ παρεῖτο πάντοθεν καὶ οὐκ ἠδύνατο φέρειν[2]. Γυναῖκες ἀκόλαστοι, ἐπιλαθόμεναι τοῦ φόβου τοῦ Θεοῦ, τοῦ πυρὸς τοῦ αἰωνίου καταφρονήσασαι, ἐν ἡμέρᾳ τοιαύτῃ, ὅτε αὐτὰς ἐχρῆν διὰ τὴν ἀνάμνησιν τῆς ἀναστάσεως καθῆσθαι ἐν τοῖς οἴκοις καὶ ἔννοιαν λαμβάνειν τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἀνοιγήσονται μὲν οἱ οὐρανοί, ἐπιφανήσεται δὲ ἡμῖν ὁ κριτὴς ἐξ οὐρανῶν καὶ σάλπιγγες Θεοῦ καὶ ἀνάστασις νεκρῶν καὶ κρίσις δικαία καὶ ἀντίδοσις ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ· ἀντὶ τοῦ ταῦτα ἔχειν ἐν τοῖς διαλογισμοῖς καὶ καθαίρειν μὲν ἑαυτῶν τὰς καρδίας ἀπὸ πονηρῶν ἐνθυμήσεων, ἐξαλείφειν δὲ τοῖς δάκρυσι τὰ προημαρτημένα, ἑτοιμάζεσθαι δὲ πρὸς τὴν ἀπάντησιν τοῦ Χριστοῦ κατὰ τὴν μεγάλην ἡμέραν τῆς ἐπιφανείας αὐτοῦ, ἀποσεισάμεναι τὸν ζυγὸν τῆς δουλείας τοῦ Χριστοῦ, ῥίψασαι ἀπὸ τῶν κεφαλῶν τὰ τῆς εὐσχημοσύνης καλύμματα, καταφρονήσασαι τοῦ Θεοῦ, καταφρονήσασαι

1. Σ. Σολ. 6,6. 2. Πρβλ. Ἱερ. 20,9.

τῶν ἀγγέλων αὐτοῦ, καταναισχυντήσασαι πάσης ἄρρενος ὄψεως, σοβοῦσαι τὰς κόμας, σύρουσαι τοὺς χιτῶνας «καὶ τοῖς ποσὶν ἅμα παίζουσαι»[1], ὀφθαλμῷ ἀσελγεῖ, γέλωτι ἐκκεχυμένῳ πρὸς ὄρχησιν ἐκμανεῖσαι, πᾶσαν νέων ἀκολασίαν ἐφ' ἑαυτὰς προσκαλούμεναι, ἐν τοῖς πρὸ τῆς πόλεως μαρτυρίοις χορούς συστησάμεναι, ἐργαστήριον τῆς οἰκείας αὐτῶν ἀσχημοσύνης τοὺς ἡγιασμένους τόπους πεποίηνται. Ἐμίαναν μὲν τὸν ἀέρα τοῖς ᾄσμασι τοῖς πορνικοῖς, ἐμίαναν δὲ τὴν γῆν τοῖς ἀκαθάρτοις [448] ποσίν, ἣν ἐν ταῖς ὀρχήσεσι κατεκρότησαν, θέατρον ἑαυταῖς νεανίσκων ὄχλον περιστησάμεναι, σοβάδες ὄντως καὶ παράφοροι παντελῶς, μανίας οὐδεμίαν ὑπερβολὴν ἀπολείπουσαι. Ταῦτα πῶς μὲν σιωπήσω; πῶς δὲ κατ' ἀξίαν ὀδύρωμαι; Οἶνος ἡμῖν τῶν ψυχῶν τούτων τὴν ζημίαν ἐποίησεν· οἶνος, τὸ παρὰ Θεοῦ δῶρον εἰς παραμυθίαν τῆς ἀσθενείας δεδομένον τοῖς σωφρονοῦσιν· ὅπλον δὲ νῦν γενόμενον ἀκολασίας τοῖς ἀσελγαίνουσι.

2. Μέθη, ὁ αὐθαίρετος δαίμων, ἐξ ἡδονῆς ταῖς ψυχαῖς ἐμβαλλόμενος, μέθη, κακίας μήτηρ, ἀρετῆς ἐναντίωσις, τὸν ἀνδρεῖον δειλὸν ἀποδείκνυσι, τὸν σώφρονα ἀσελγῆ· δικαιοσύνην οὐκ οἶδε, φρόνησιν ἀναιρεῖ. Ὥσπερ γὰρ ὕδωρ πολέμιόν ἐστι πυρί, οὕτως ἀμετρία οἴνου λογισμὸν κατασβέννυσι. Διόπερ ὤκνουν τι λέγειν κατὰ μέθης, οὐχ ὡς περὶ μικροῦ τινος κακοῦ ἢ παροφθῆναι ἀξίου, ἀλλ' ὡς οὐδὲν ὄφελος παρεχομένου τοῦ λόγου. Εἰ γὰρ ὁ μεθύων παραφρονεῖ καὶ ἐσκότωται, εἰκῇ ῥαψῳδεῖ ὁ ἐπιπλήττων τῷ μὴ ἀκούοντι. Τίσιν οὖν διαλεχθῶμεν; εἴπερ ὁ μὲν χρῄζων τῆς παραινέσεως οὐκ ἀκούει τῶν λεγομένων· ὁ δὲ σωφρονῶν καὶ νήφων οὐ δεῖται τῆς ἐκ τοῦ λόγου βοηθείας, καθαρεύων τοῦ πάθους. Τί οὖν χρήσομαι τοῖς παροῦσιν, εἰ καὶ ὁ λόγος ἄχρηστος καὶ ἡ σιωπὴ ἄπορος; Παρίδωμεν τὴν ἐπιμέλειαν; Ἀλλ' ἐπικίνδυνος ἡ ἀμέλεια. Ἀλλὰ φθέγξομαί τι κατὰ τῶν μεθυόντων; Ἀλλ' εἰς νεκρὰς ἀκοὰς ἐνηχοῦμεν. Μήποτε οὖν, ὡς ἐπὶ τῶν λοιμικῶν νοσημάτων οἱ τῶν σωμάτων θεραπευταὶ τοὺς μὲν ὑγιαίνοντας τοῖς προφυλακτικοῖς βοηθήμασιν ἀσφαλίζονται, τοῖς δὲ κεκρατημένοις ὑπὸ τοῦ πάθους οὐκ ἐγχειροῦσιν· οὕτω καὶ ὑμῖν ἐξ ἡμισείας ἔχει ὁ λόγος τὸ χρήσιμον· φυλακὴν ὑποδεικνὺς τοῖς ἀπαθέσιν, οὐκ ἀπαλλαγὴν καὶ ἴασιν τοῖς ὑπὸ τοῦ πάθους κεκρατημένοις.

3. Τίνι διενήνοχας τῶν ἀλόγων, ὦ ἄνθρωπε; Οὐ τῇ δωρεᾷ τοῦ λόγου, ἣν λαβὼν παρὰ τοῦ κτίσαντός σε, ἄρχων καὶ κύριος ἐγένου πάσης τῆς κτίσεως; Ὁ τοίνυν ἀφελόμενος ἑαυτοῦ τὴν φρόνησιν διὰ τῆς μέθης, «παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς»[2]. Μᾶλλον δὲ καὶ τῶν βοσκημάτων φαίην ἂν ἔγωγε ἀλογωτέρους εἶναι τοὺς ἐν τῇ μέθῃ· εἴπερ τὰ μὲν τετράποδα πάντα καὶ τὰ θηρία τεταγμένας ἔχει τὰς πρὸς τὴν μίξιν ὁρμάς, οἱ δὲ ὑπὸ τῆς μέθης τὴν ψυχὴν κατεχόμενοι καὶ τὸ σῶμα τῆς παρὰ φύσιν θερμότητος ἀναπλή-

1. Ἡσ. 3,16. 2. Ψαλ. 48,13.

σαντες, πάντα καιρὸν καὶ πᾶσαν ὥραν πρὸς τὰς ἀκαθάρτους καὶ ἀσχήμονας συμπλοκὰς καὶ ἡδονὰς συνελαύνονται. Καὶ οὐ τοῦτο μόνον τὴν ἀλογίαν αὐτοῖς ἐμποιεῖ, [449] ἀλλὰ καὶ ἡ τῶν αἰσθήσεων παρατροπὴ χείρονα παντὸς κτήνους ἀποδείκνυσι τὸν μεθύοντα. Ποῖον γὰρ βόσκημα οὕτω παραβλέπει καὶ οὕτω παρακούει ὡς ὁ μεθύων; Οὐκ ἀγνοοῦσι μὲν τοὺς οἰκειοτάτους, προστρέχουσι δὲ πολλάκις τοῖς ἀλλοτρίοις ὡς τοῖς συνήθεσιν; Οὐ τὰς σκιὰς διαπηδῶσι πολλάκις ὡς ὀχετοὺς ἢ φάραγγας; Ἦχων δὲ αὐτοῖς καὶ ψόφων, οἱονεὶ θαλάσσης κυμαινούσης, τὰ ὦτα πεπλήρωται· ἡ δὲ γῆ πρὸς τὸ ὄρθιον διανίστασθαι δοκεῖ καὶ τὰ ὄρη περιτρέχειν ἐν κύκλῳ. Οὗτοι ποτὲ μὲν γελῶσιν ἄπαυστα ποτὲ δὲ ὀδυνῶνται καὶ κλαίουσιν ἀπαρηγόρητα. Καὶ νῦν μὲν θρασεῖς εἰσι καὶ ἀπτόητοι, νῦν δὲ κατάφοβοι καὶ δειλοί. Τούτοις ὕπνοι μὲν βαρεῖς καὶ δυσανάφοροι καὶ πνιγώδεις καὶ τῷ ὄντι θανάτου γείτονες, αἱ δὲ γρηγορήσεις τῶν ὕπνων ἀναισθητότεραι. Ἐνύπνιον γὰρ αὐτοῖς ἐστιν ὁ βίος, οἵ γε ἱμάτιον οὐκ ἔχοντες, οὐδὲ τί φάγωσιν εἰς τὴν αὔριον, βασιλεύουσι καὶ στρατοπέδων ἄρχουσιν ἐν τῇ μέθῃ καὶ πόλεις οἰκοδομοῦσι καὶ χρήματα διανέμουσι. Τοιούτων φαντασιῶν καὶ ἀπάτης τοσαύτης περιζέων ὁ οἶνος τὰς καρδίας αὐτῶν πληροῖ. Ἕτεροι δὲ εἰς τὰ ἐναντία περιάγονται πάθη. Δυσέλπιδές εἰσι καὶ κατηφεῖς καὶ ὀδυνηροὶ καὶ δακρυώδεις καὶ ψοφοδεεῖς καὶ εὐπτόητοι. Ὁ αὐτὸς οἶνος ἐν διαφόροις σωμάτων ἕξεσι διάφορα τὰ πάθη ταῖς ψυχαῖς ἐργαζόμενος. Οἷς μὲν γὰρ ἂν διάχυσιν τοῦ αἵματος ἐμποιήσας πρὸς τὴν ἐπιφάνειαν ἐξανθήσῃ, φαιδροὺς καὶ ἡδεῖς καὶ γεγανωμένους αὐτοὺς ἀποδείκνυσιν· ὧν δ' ἂν ὑπὸ τοῦ βάρους καταπιλήσῃ τὴν ἕξιν, συστέλλων αὐτῶν καὶ καταπιέζων τὸ αἷμα, πρὸς τὴν ἐναντίαν αὐτοὺς περιάγει διάθεσιν. Καὶ τί δεῖ λέγειν τῶν λοιπῶν παθῶν τὸν ὄχλον; τὰς δυσκολίας τοῦ ἤθους; τὸ εὐπαρόξυντον; τὸ μεμψίμοιρον; τὸ ὀξύρροπον τῆς ψυχῆς; τὴν κραυγήν; τὸν θόρυβον; τὸ πρὸς πᾶσαν ἀπάτην εὐπαράγωγον; τὸ πρὸς τὰς ὀργὰς ἀταμίευτον;

4. Ἡ δὲ πρὸς τὰς ἡδονὰς ἀκρασία ἄντικρυς ὥσπερ ἐκ πηγῆς τοῦ οἴνου φέρεται καὶ συνεισπίπτει τῷ ἀκράτῳ τῆς ἀσελγείας ἡ νόσος, πᾶσαν βοσκημάτων μανίαν ἐπὶ τὸ θῆλυ δευτέραν τῆς τῶν μεθυόντων ὕβρεως ἀποφαίνουσα· εἴπερ τὰ μὲν ἄλογα γνωρίζει τοὺς ὅρους τῆς φύσεως, οἱ δὲ μεθύοντες ἐν ἄρρενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄρρεν ἐπιζητοῦσιν. Οὐδὲ ἐπεξελθεῖν τῷ λόγῳ ῥᾴδιον πᾶσι τοῖς ἐκ τῆς μέθης δεινοῖς. Αἱ μὲν οὖν ἐκ τοῦ λοιμοῦ βλάβαι χρόνῳ ἐγγίνονται τοῖς ἀνθρώποις, κατὰ μικρὸν τοῦ ἀέρος τὴν παρ' ἑαυτοῦ φθορὰν ἐντιθέντος τοῖς σώμασιν· αἱ δὲ παρὰ τοῦ οἴνου εὐθὺς συνεισπίπτουσιν. Οὕτω γὰρ τὴν ψυχὴν ἀπολωλότες, ὡς ὑπὸ πάσης κηλῖδος εἶναι κατεστιγμένοι, ἔτι καὶ αὐτὴν τοῦ σώματος τὴν ἕξιν προσδιαφθείρονται· οὐ μόνον τῇ [452] ὑπερβολῇ τῶν ἡδονῶν ἐξοιστρουσῶν ἐπὶ λαγνείας ἐκτετηκότες καὶ διαρρέοντες, ἀλλὰ καὶ αὐτῷ τῷ ὄγκῳ πεπλαδηκὸς καὶ βρυῶδες καὶ τοῦ ζωτικοῦ τόνου λελυμένον τὸ σῶμα φέροντες. Τούτων πελιδνοὶ

οἱ ὀφθαλμοί, ὕπωχρος δὲ ἡ ἐπιφάνεια· πνεῦμα προσεστηκός, γλῶσσα παρειμένη καὶ κραυγὴ ἄσημος· ἀκροσφαλεῖς οἱ πόδες καθάπερ οἱ τῶν παίδων, ἐκκρίσεις δὲ τῶν περιττωμάτων αὐτόματοι ὥσπερ ἀπὸ ἀψύχων ῥέουσαι. Ἐλεεινοὶ τῆς τρυφῆς, ἐλεεινότεροι τῶν ἐν πελάγει χειμαζομένων, οὓς ἄλλα ἐξ ἄλλων διαδεχόμενα καὶ ἐπιβαπτίζοντα κύματα ἀναφέρειν οὐκ ἐπιτρέπει τοῦ κλύδωνος. Οὕτω δὴ καὶ τούτων αἱ ψυχαὶ ὑποβρύχιοι φέρονται βεβαπτισμέναι τῷ οἴνῳ. Διόπερ ὡς τὰ χειμαζόμενα πλοῖα, ἐπειδὰν ὑπέραντλα γένηται, ἀναγκαίως τῇ ἐκβολῇ τοῦ φόρτου κουφίζεται. Οὕτω καὶ τούτοις ἀναγκαῖα τῶν βαρυόντων αἱ ἀποθέσεις. Ἐμοῦντες γὰρ καὶ ἀποβλύζοντες, μόλις ἐλευθεροῦνται τοῦ βάρους· τοσοῦτον τῶν δυσπλοούντων ἐλεεινότεροι, ὅσον οἱ μὲν ἀνέμους καὶ θάλασσαν καὶ τὰς ἔξωθεν ἀνάγκας ἐπαιτιῶνται· οἱ δὲ αὐθαίρετον ἐπισπῶνται τὸν ἐκ τῆς μέθης χειμῶνα. Ὁ δαιμονῶν, ἐλεεινός· ὁ δὲ μεθύων, τὰ αὐτὰ πάσχων, οὐδὲ τοῦ ἐλεεῖσθαι ἄξιος, αὐθαιρέτῳ δαίμονι προσπαλαίων. Οἳ καὶ μέθης συντιθέασι φάρμακα, οὐχὶ τὸ μὴ παθεῖν τι δεινὸν ἀπὸ τοῦ οἴνου, ἀλλὰ τὸ μὴ διαλείπειν μεθύοντες μηχανώμενοι. Ὀλίγη μὲν γὰρ αὐτοῖς ἡ ἡμέρα· μικρὰ δὲ ἡ νὺξ καὶ ἡ χειμέριος, πρός γε τὸν τοῦ πότου χρόνον. Τέλος δὲ οὐκ ἔστι τοῦ κακοῦ. Αὐτὸς γὰρ ἑαυτὸν ὁ οἶνος ἐπὶ τὸ πλεῖον προάγει. Οὐ γὰρ τὴν χρείαν παραμυθεῖται, ἀλλ' ἑτέρου πότου χρείαν ἀπαραίτητον ἐμποιεῖ, ἐκκαίων τοὺς μεθύοντας καὶ ἀεὶ πρὸς τὴν τοῦ πλείονος ἔφεσιν προκαλούμενος. Ἀπλήρωτον δὲ τοῦ πίνειν τὴν ὄρεξιν ἔχειν ἐπινοοῦντες, τὸ ἐναντίον πάσχουσιν ἢ προήρηνται. Τῷ γὰρ συνεχεῖ τῆς τρυφῆς τὰς αἰσθήσεις ἀπομαραίνουσιν. Ὡς γὰρ τὸ ἄγαν λαμπρὸν ἀμαυροῖ τὰς ὄψεις καὶ ὥσπερ οἱ τοῖς μεγάλοις ψόφοις κατακρουόμενοι τῇ ἀμετρίᾳ τῆς πληγῆς εἰς τὸ μηδὲ ἀκούειν παντελῶς περιάγονται, οὕτω καὶ οὗτοι λελήθασιν ἑαυτοὺς ὑπὸ τῆς ἄγαν φιληδονίας τὴν ἡδονὴν ἀπολέσαντες. Ἄποιος μὲν γὰρ αὐτοῖς καὶ ὑδατώδης ὁ οἶνος, κἂν ἄκρατος ᾖ· χλιαρὰ δὲ τοῦ νεαροῦ ἡ ἀντίληψις, κἂν τὸ ἀκραιφνέστατον ᾖ, κἂν αὐτὴ χιών, κατασβέσαι τὴν ἔνδον ἐν αὐτοῖς ἐκ τῆς ἀμετρίας τοῦ οἴνου καιομένην φλόγα μὴ δυναμένη. «Τίνι οὐαί; τίνι θόρυβος; τίνι κρίσεις; τίνι ἀηδίαι καὶ λέσχαι; τίνι συντρίμματα διακενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; Οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνῳ καὶ κατασκοπούντων ποῦ πότοι γίνονται;»[1]. Τὸ οὐαὶ θρηνῶδές ἐστι ἐπίφθεγμα. Θρήνου δὲ ἄξιοι οἱ μεθύοντες, διότι «μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι»[2]. Θόρυβος δὲ διὰ τὴν ἐκ τοῦ οἴνου ταραχὴν ἐγγινομένην τοῖς λογισμοῖς. Καὶ **[453]** ἀηδίαι διὰ τὰς πικρὰς ἐκ τῆς τοῦ πίνειν ἡδονῆς ἀναδόσεις. Τούτων γὰρ δεσμοῦνται μὲν οἱ πόδες, δεσμοῦνται δὲ χεῖρες ἐκ τῶν ἐπιπεμπομένων αὐτοῖς παρὰ τῆς μέθης ῥευμάτων. Καίτοι καὶ πρὸ τούτων τῶν παθῶν, παρ' αὐτὸν τὸν καιρὸν τοῦ πίνειν, τὰ τῶν φρενιτικῶν αὐτοῖς συμπίπτει πάθη. Ὅταν γὰρ πλήρεις αἱ μήνιγγες γένωνται τῆς

1. Παρμ. 23,29-30. 2. Πρβλ. Α' Κορ. 6,10.

αἰθάλης, ἣν ὁ οἶνος ἐξατμιζόμενος ἀναφέρει, βάλλεται μὲν ὀδύναις ἀφορήτοις ἡ κεφαλή· μένειν δὲ ὀρθὴ ἐπὶ τῶν ὤμων μὴ δυναμένη, ἄλλοτε ἐπ' ἄλλα καταπίπτει, τοῖς σπονδύλοις ἐνολισθαίνουσα. Λέσχην δὲ λέγει τὴν ἄμετρον ἐν τοῖς συμποσίοις καὶ ἐμφιλόνεικον ὁμιλίαν. Καὶ συντρίμματα διακενῆς γίνεται τοῖς οἰνόφλυξιν, οὐ δυναμένοις ὀρθοῦσθαι ὑπὸ τῆς μέθης. Ἀνατρέπονται γὰρ εἰς παντοῖα πτωμάτων σχήματα, ὥστε ἀναγκαῖον αὐτοὺς ἐπὶ τοῦ σώματος συντρίμματα ἔχειν διακενῆς.

5. Ἀλλὰ τίς εἴπῃ ταῦτα τοῖς οἰνοπλήκτοις; Καρηβαροῦσι γὰρ ἐκ τῆς κραιπάλης, νυστάζουσι, χασμῶνται, ἀχλὺν βλέπουσι, ναυτιῶσι. Διὰ τοῦτο οὐκ ἀκούουσι τῶν διδασκάλων πολλαχόθεν αὐτοῖς ἐμβοώντων· «μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία»[1]· καὶ πάλιν· «ἀκόλαστον οἶνος, καὶ ὑβριστικὸν μέθη»[2]. Ὧν παρακούοντες, αὐτόθεν ἔχουσι τὰς ἐπικαρπίας τῆς μέθης. Οἰδαίνει μὲν γὰρ ὁ ὄγκος, ὀφθαλμοὶ δίυγροι, στόμα ξηρὸν καὶ διακαές. Ὥσπερ γὰρ αἱ χαράδραι, ἕως μὲν ἂν αὐταῖς ἐπιρρέωσιν οἱ χείμαρροι, πλήρεις εἶναι δοκοῦσι, παρελθούσης δὲ τῆς πλημμύρας, ξηραὶ καταλιμπάνονται· οὕτω καὶ τοῖς οἰνόφλυξι τὸ στόμα, ἐλλιμνάζοντος μὲν τοῦ οἴνου, πλῆρές ἐστί πως καὶ δίυγρον, μικρὸν δὲ παραδραμόντος, ξηρὸν καὶ ἄνικμον ἀπελέγχεται. Παρασυρόμενον δὲ ἀεὶ καὶ κατακλυζόμενον τῇ ἀμετρίᾳ τοῦ οἴνου καὶ τὴν ζωτικὴν ἰκμάδα προσαποβάλλει. Ποία γὰρ κατασκευὴ ἀνθρώπου οὕτως ἰσχυρά, ὥστε τοῖς ἐκ τῆς μέθης κακοῖς ἀντισχεῖν; Τίς γὰρ μηχανὴ τὸ ἀεὶ θερμαινόμενον καὶ ἀεὶ διάβροχον τῷ οἴνῳ γινόμενον σῶμα μὴ οὐχὶ ἔκπλυτον καὶ ἐξίτηλον καὶ διερρυηκὸς γενέσθαι; Ἐντεῦθεν οἱ τρόμοι καὶ αἱ ἀσθένειαι· κοπτομένου γὰρ αὐτοῖς τοῦ πνεύματος ὑπὸ τῆς ἀμετρίας τοῦ οἴνου καὶ τῶν νεύρων λυομένων τῆς συντονίας, ὁ κλόνος τῷ σύμπαντι ὄγκῳ τοῦ σώματος ἐπιγίνεται. Τί τὴν κατάραν τοῦ Κάιν ἐφ' ἑαυ[456]τὸν ἐπισπᾶσαι, τρέμων καὶ περιφερόμενος διὰ παντὸς τοῦ βίου[3]; Οὐ γὰρ ἔχον τὸ σῶμα τὸν ἐκ τῆς φύσεως στηριγμόν, ἀναγκαίως περιδονεῖται καὶ κατασείεται.

6. Μέχρι πότε οἶνος; μέχρι τίνος μέθη; Κινδυνεύεις λοιπὸν βόρβορος εἶναι ἀντὶ ἀνθρώπου, οὕτως ὅλος ἀνεμίχθης τῷ οἴνῳ καὶ συγκατεσάπης αὐτῷ, ἐκ τῆς καθημερινῆς κραιπάλης οἴνου ἀπόζων καὶ τούτου διεφθαρμένου, ὥσπερ τῶν ἀγγείων τὰ ἀχρηστότατα. Τούτους Ἡσαΐας ὀδύρεται· «οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωὶ καὶ τὸ σίκερα διώκοντες οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει· μετὰ γὰρ κιθάρας καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι»[4]. Σίκερα πᾶν τὸ δυνάμενον μέθην ἐμποιῆσαι πόμα τοῖς Ἑβραίοις ὀνομάζειν σύνηθες. Οἱ οὖν ἀρχομένης ἡμέρας περισκοποῦντες, ποῦ πότοι γίνονται καὶ οἰνοπώλια καὶ καπηλεῖα περιαθροῦντες καὶ ἀλλήλους ἐπὶ τὸ πίνειν παρα-

1. Ἐφ. 5,18. Πρβλ. Παρμ. 23,31. 2. Παρμ. 20,1. 3. Πρβλ. Γεν. 4,14. 4. Ἡσ. 5,11-12.

λαμβάνοντες καὶ πᾶσαν τῆς ψυχῆς τὴν μέριμναν περὶ τὴν τῶν τοιούτων φροντίδα καταναλίσκοντες, οὗτοι ὑπὸ τοῦ προφήτου καταθρηνοῦνται, ὡς καιρὸν οὐδένα ἑαυτοῖς πρὸς τὴν τῶν θαυμασίων τοῦ Θεοῦ κατανόησιν ἀπολείποντες. Οὐ γὰρ ἄγουσι σχολὴν οἱ ὀφθαλμοὶ αὐτῶν ἀνανεῦσαι πρὸς οὐρανὸν καὶ τὰ ἐν αὐτῷ κάλλη καταμαθεῖν καὶ πᾶσαν τὴν ἐν τοῖς οὖσι διακόσμησιν ἐπισκέψασθαι, ὥστε ἐκ τῆς τούτων εὐταξίας τὸν δημιουργὸν ἐννοῆσαι· ἀλλ' εὐθὺς ἀρχομένης ἡμέρας κοσμοῦσιν ἑαυτῶν τὰ συμπόσια τάπησι ποικίλοις καὶ ἀνθίνοις παραπετάσμασι, σπουδήν τε καὶ ἐπιμέλειαν εἰς τὴν τῶν ἐκπωμάτων παρασκευὴν ἐπιδείκνυνται, ψυκτῆρας καὶ κρατῆρας καὶ φιάλας, ὥσπερ ἐν πομπῇ τινι καὶ πανηγύρει, διατιθέντες, ὡς ἂν τὸ τῶν ἀγγείων διάφορον τὸν κόρον αὐτοῖς ὑποκλέπτῃ καὶ ἡ τῶν ἐκπωμάτων ὑπαλλαγὴ καὶ μετάβασις ἱκανὴν αὐτοῖς εἰς τὸ πίνειν διατριβὴν ἐμποιῇ. Συμποσίαρχοι δέ τινες ἐπὶ τούτοις καὶ ἀρχιοινοχόοι καὶ ἀρχιτρίκλινοι καὶ τάξις ἐν ἀταξίᾳ καὶ διάθεσις ἐν ἀκόσμῳ πράγματι ἐπινενόηται, ἵν', ὥσπερ ταῖς ἀρχαῖς ταῖς ἔξωθεν ἐκ τῶν δορυφορούντων ἡ σεμνότης συναύξεται, οὕτω καὶ τῇ μέθῃ οἷον βασιλίδι τινὶ θεραπείαν περιστήσαντες, τὸ ἐπονείδιστον αὐτῆς τῷ ὑπερβάλλοντι τῆς σπουδῆς περιστέλλωσι. Στέφανοι **[457]** ἐπὶ τούτοις καὶ ἄνθη καὶ μύρα καὶ θυμιάματα καὶ μυρίαι τινες ἔξωθεν θυμηδίαι, πλείονα τὴν ἀσχολίαν τοῖς ἀπολλυμένοις παρασκευάζουσιν. Εἶτα πόρρω προϊόντος τοῦ πότου, ἅμιλλαι περὶ τοῦ πλείονος, φιλονεικίαι καὶ ἀγωνίσματα, ἀλλήλους ὑπερβάλλεσθαι φιλοτιμουμένων κατὰ τὴν μέθην· καὶ ὁ ἀγωνοθετῶν αὐτοῖς ὁ διάβολος καὶ ἆθλον τῆς νίκης ἡ ἁμαρτία. Ὁ γὰρ πλείονα τὸν ἄκρατον ἐκχεόμενος, οὗτος φέρεται κατὰ τῶν ἄλλων τὰ νικητήρια. Ὄντως «ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν»[1]. Φιλονεικοῦσι μὲν γὰρ ἀλλήλοις, ἀμύνονται δὲ ἑαυτούς. Ποῖος λόγος ἐφικέσθαι τῆς αἰσχρότητος τῶν γινομένων δύναται; Πάντα ἀλογίας γέμει, πάντα συγχύσεως οἱ ἡττηθέντες μεθύουσιν, οἱ νικῶντες μεθύουσιν, οἱ ὑπηρέται καταγελῶσιν. Ἡ χεὶρ ἀπείρηκε, τὸ στόμα οὐχ ὑποδέχεται, ἡ γαστὴρ διαρρήγνυται καὶ τὸ κακὸν οὐχ ὑφίησι. Τὸ ἄθλιον σῶμα, τοῦ φυσικοῦ τόνου παραλυθέν, ἀπόρρυτόν ἐστι πανταχόθεν, τὴν ἐκ τῆς ἀμετρίας βίαν μὴ ὑπομένον.

7. Ἐλεεινὸν θέαμα Χριστιανῶν ὀφθαλμοῖς ἀνὴρ ἀκμάζων καθ' ἡλικίαν, σφριγῶν τῷ σώματι, στρατιωτικοῖς καταλόγοις ἐμπρέπων, φοράδην οἰκαδε κομιζόμενος, μὴ δυνάμενος ὀρθοῦσθαι, μηδὲ τοῖς ἰδίοις ποσὶν ἀπιέναι. Ἀνὴρ φοβερὸς εἶναι ὀφείλων τοῖς πολεμίοις, γέλωτός ἐστιν ἀφορμὴ τοῖς κατ' ἀγορὰν παιδίοις· ἄνευ σιδήρου καταβέβληται, ἄνευ πολεμίων πεφόνευται. Ἀνὴρ ὁπλίτης, αὐτὸ τῆς ἡλικίας ἄγων τὸ ἄνθος, οἴνου γέγονε παρανάλωμα, ἕτοιμος παθεῖν τοῖς ἐχθροῖς ὅσα βούλονται. Μέθη, λογισμῶν ὄλεθρος, ἰσχύος διαφθορά,

1. Φιλιπ. 3,19.

γῆρας ἄωρον, ὀλιγοχρόνιος θάνατος. Τί γὰρ ἄλλο εἰσὶν οἱ μεθύοντες ἢ τὰ εἴδωλα τῶν ἐθνῶν; «Ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ βλέπουσιν· ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσι»[1]· χεῖρες παραλέλυνται, οἱ πόδες ἀπενεκρώθησαν. Τίς ὁ ταῦτα ἐπιβουλεύσας; τίς ὁ τῶν κακῶν τούτων αἴτιος; τίς ὁ τὸ τῆς μανίας ἡμῖν φάρμακον ἐγκεράσας; Ἄνθρωπε, παρά- 5
[460] ταξιν ἐποίησας τὸ συμπόσιον. Ἐκβάλλεις τοὺς νεανίσκους χειραγωγουμένους, ὡς τραυματίας ἀπὸ πολέμου· ἐνέκρωσας τὴν ἀκμὴν τῆς νεότητος ἀπὸ οἴνου· καὶ καλεῖς μὲν ὡς φίλον ἐπὶ τὸ δεῖπνον, ἐκβάλλεις δὲ νεκρόν, οἴνῳ τὴν ζωὴν αὐτοῦ κατασβέσας. Ὅταν δὲ νομισθῶσι διακορεῖς εἶναι τοῦ οἴνου, τότε τοῦ πίνειν ἄρχονται καὶ πίνουσι τὸν τῶν 10
κτηνῶν τρόπον, ὡς ἀπὸ κρήνης αὐτοσχεδίου, ἰσαρίθμους τοῖς ἀνακειμένους τοὺς κρουνοὺς ἀφείσης. Προϊόντος γὰρ ἤδη τοῦ πότου, ἐπεισέρχεταί τις αὐτοῖς νεανίας, γενναῖος τοὺς ὤμους, οὕπω μεθύων, φιάλην φέρων εὐμεγέθη οἴνου κατεψυγμένου· ὃς τὸν οἰνοχόον αὐτῶν παρωσάμενος, καταστὰς εἰς τὸ μέσον, διὰ σκολιῶν σωλήνων ἴσην τοῖς 15
συμπόταις διανέμει τὴν μέθην. Καινὸν τοῦτο τῆς ἀμετρίας τὸ μέτρον, ἵνα κατ' ἰσομοιρίαν ἀλλήλοις συνασελγαίνωσι, μηδένα ὑπερβάλλειν ἐν τῷ πίνειν τὸν ἕτερον. Διελόμενοι γὰρ τὰς ὑδρορρόας καὶ τὴν πρὸς ἑαυτὸν ἕκαστος τετραμμένην ὑποδεξάμενοι, ὥσπερ ἀπό τινος δεξαμενῆς ἀπνευστὶ πίνουσιν ὡς οἱ βόες, τοσοῦτον ὑφέλκειν ἐπειγόμενοι τοῖς 20
λαιμοῖς, ὅσον αὐτοῖς ἄνωθεν ὁ ψυκτὴρ διὰ τῶν ἀργυρέων ὀχετῶν ἐπαφίησι. Κατάκυψόν σου πρὸς τὴν ἀθλίαν γαστέρα· κατάμαθε τοῦ ὑποδεχομένου ἀγγείου τὸ μέγεθος· ὅτι μιᾶς κοτύλης ἔχει κοιλότητα. Μὴ πρὸς τὴν οἰνοχόην ἀφόρα, πότε κενώσῃς, ἀλλὰ πρὸς τὴν σεαυτοῦ κοιλίαν, ὅτι πάλαι πεπλήρωται. Διὰ τοῦτο, «οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωὶ 25
καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ»[2] καὶ διημερεύοντες ἐν τῇ μέθῃ· ὡς μηδένα καιρὸν ἑαυτοῖς παρέχειν εἰς τὸ τὰ ἔργα Κυρίου ἐμβλέπειν καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ κατανοεῖν. «Ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει»[3]· διότι τὸ ἐκ τοῦ οἴνου θερμόν, ἐγγινόμενον τῇ σαρκί, ἔξαμμα γίνεται τῶν πεπυρωμένων βελῶν τοῦ ἐχθροῦ. Τὸν μὲν γὰρ λο- 30
γισμὸν καὶ τὸν νοῦν ὁ οἶνος καταβαπτίζει, τὰ δὲ πάθη καὶ τὰς ἡδονάς, ὥσπερ τι σμῆνος μελισσῶν ἐπεγείρει. Ποῖον γὰρ ἅρμα πώλων οὕτως ἀτάκτως φέρεται, ἀποβαλὸν τὸν ἡνίοχον; Ποῖον δὲ πλοῖον ἀκυβέρνητον, ὑπὸ τῶν κυμάτων, ὡς ἂν τύχῃ, φερόμενον, οὐκ ἀσφαλέστερόν ἐστι τοῦ μεθύοντος; 35

8. Ἀπὸ τοιούτων κακῶν, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, κοινοὺς συστησάμενοι χορούς, δαίμονι οἰνηρῷ τὰς ψυχὰς παραδόντες, ἀλλήλους ταῖς ἀκίσι τῶν παθῶν ἀντετίτρωσκον. Γέλωτες παρ' ἀμφοτέρων, ᾄσματα αἰσχρά, σχήματα πορνικά, ἐρεθίζοντα πρὸς ἀσέλγειαν. Γελᾷς εἰπέ μοι καὶ τέρπῃ τέρψιν ἀκόλαστον, δακρύειν δέον καὶ στένειν ἐπὶ 40
τοῖς φθάσασιν; Ἄσματα πόρνης φθέγγῃ, ἐκβαλὼν τοὺς ψαλμοὺς καὶ

1. Πρβλ. Ψαλ. 113,13-14. 2. Ἡσ. 5,11. 3. Ἔνθ' ἀν.

τοὺς ὕμνους, οὓς ἐδιδάχθης. Κινεῖς πόδας καὶ ἐξάλλῃ ἐμμανῶς καὶ χορεύεις ἀχόρευτα, δέον τὰ γόνατα [461] κάμπτειν εἰς τὴν προσκύνησιν; Τίνας ὀδύρωμαι; τὰς κόρας τὰς ἀπειρογάμους; ἢ τὰς ἐν τῷ ζυγῷ τοῦ γάμου κατεχομένας; Αἱ μὲν γὰρ ἐπανῆλθον, τὴν παρθενίαν οὐκ ἔχουσαι· αἱ δὲ τὴν σωφροσύνην τοῖς ἀνδράσιν οὐκ ἐπανήγαγον. Εἰ γάρ πού τινες καὶ τῷ σώματι τὴν ἁμαρτίαν διέφυγον, ἀλλὰ πάντως γε ταῖς ψυχαῖς τὴν φθορὰν ὑπεδέξαντο. Ταῦτά μοι καὶ περὶ τῶν ἀρρένων εἰρήσθω. Εἶδε κακῶς, ἐθεάθη κακῶς. «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν»[1]. Εἰ αἱ ἀπὸ ταυτομάτου συντυχίαι τοῖς περιέργως κατασκοποῦσι τοσοῦτον ἔχουσι κίνδυνον, αἱ κατ' ἐπιτήδευσιν ἁπάντησεις, ὥστε ἰδεῖν γυναῖκας ἀσχημονούσας ὑπὸ τῆς μέθης καὶ κατασχηματιζομένας πρὸς ἔκλυσιν καὶ μέλη τεθρυμμένα ἀδούσας, δυνάμενα καὶ μόνον ἀκουσθέντα πάντα οἶστρον ἡδονῆς ἐμποιῆσαι τοῖς ἀκολάστοις, τί ἐροῦσιν, ἢ τί ἀπολογήσονται, ἐκ τοιούτων θεαμάτων μυρίων ἐσμὸν τῶν κακῶν συλλεξάμενοι; Οὐχ, ὡς διὰ τοῦτο ἐμβλέψαντες, ἵνα τὰς ἐπιθυμίας ἐγείρωσιν; Οὐκοῦν ὑπόδικοί εἰσι, κατὰ τὴν ἀπαραίτητον ἀπόφασιν τοῦ Κυρίου, τῷ κρίματι τῆς μοιχείας. Πῶς ὑμᾶς ἡ Πεντηκοστὴ ὑποδέξεται, οὕτω τοῦ Πάσχα καταβρισθέντος; Ἡ Πεντηκοστὴ τοῦ Πνεύματος ἔσχε τοῦ Ἁγίου τὴν ἐνοικίαν καὶ πᾶσι γνωρίμην ἐπιδημίαν· σὺ δέ, προλαβών, σεαυτὸν οἰκητήριον τοῦ ἀντικειμένου ἐποίησας πνεύματος καὶ ἐγένου ναὸς εἰδώλων, ἀντὶ τοῦ γενέσθαι ναὸς Θεοῦ διὰ τῆς ἐνοικήσεως τοῦ Πνεύματος τοῦ Ἁγίου[2]. Ἐπεσπάσω τὴν ἀρὰν τοῦ προφήτου εἰπόντος ἐκ προσώπου τοῦ Θεοῦ, ὅτι «στρέψω τὰς ἑορτὰς αὐτῶν εἰς πένθος»[3]. Πῶς τῶν ἱκετῶν ἄρξετε, αὐτοὶ δουλεύοντες ἐπιθυμίαις ἀνοήτοις καὶ βλαβεραῖς ἀνδράποδα; Πῶς τοὺς παῖδας νουθετήσετε, ἀνουθέτητον ζωὴν καὶ ἀδιάτακτον ζῶντες; Τί οὖν ; Ἐν τούτοις ὑμᾶς καταλείπω; Ἀλλὰ φοβοῦμαι μήπως ὁ μὲν ἀνυπότακτος στραγότερος γένηται, ὁ κατανενυγμένος τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ[4]. «Ἴαμα» γάρ, φησί, «καταπαύει ἁμαρτίας μεγάλας»[5]. Ἡ νηστεία τὴν μέθην θεραπευσάτω· ψαλμὸς τὴν αἰσχρὰν μελῳδίαν· δάκρυον γενέσθω τοῦ γέλωτος ἴαμα· ἀντὶ τῆς ὀρχήσεως τὸ γόνυ κλινέσθω· ἀντὶ τοῦ κρότου τῶν χειρῶν τὸ στῆθος τυπτέσθω· ἀντὶ τοῦ κόσμου τῆς ἐσθῆτος ἡ ταπείνωσις. Ἐπὶ πᾶσιν ἡ ἐλεημοσύνη ἐξαγοραζέτω σε ἀπὸ τῆς ἁμαρτίας[6]. «Λύτρον γὰρ ἀνδρὸς ἴδιος αὐτοῦ πλοῦτος»[7]. Πολλοὺς ἐργάτευσον τῶν θλιβομένων εἰς τὴν κοινωνίαν τῆς προσευχῆς, εἰ ἄρα σοι ἀφεθήσεται ἡ ἐπίνοια τῆς κακίας. Ὅτε «ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν»[8] (ἡ δὲ παιδιὰ αὐτῶν εἰδωλολατρία ἦν·) τότε οἱ Λευῖται, κατὰ τῶν ἀδελφῶν ἑαυτοὺς ἐξοπλίσαντες, εἰς ἱερωσύνην τὰς χεῖρας ἑαυτῶν [464] ἐτελείωσαν. Καὶ ὑμῖν τοίνυν τοῖς φοβουμένοις τὸν Κύριον, ὅσοι νῦν παστυγνάσα-

1. Ματθ. 5,28. 2. Πρβλ. Ρωμ. 8,11. 3. Πρβλ. Ἀμ. 8,10. 4. Πρβλ. Β' Κορ. 2,7. 5. Ἐκκλ. 10,4. 6. Πρβλ. Δαν. 4,27. 7. Πρβλ. Παρμ. 13,8. 8. Ἐξ. 32,6.

τε ἐπὶ τῇ ἀσχημοσύνῃ τῶν καταγνωσθέντων, ἐκεῖνο διαστελλόμεθα. Ἐὰν μὲν ἴδητε μετανοοῦντας ἐπὶ τῇ ἀτοπίᾳ τῶν πεπραγμένων, συμπαθήσατε ὡς οἰκείοις μέλεσι νενοσηκόσιν· ἐὰν δὲ ἀπαυθαδιαζομένους καὶ καταφρονοῦντας τῆς ὑμετέρας ἐπ' αὐτοῖς λύπης, «ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε»[1]· ἵνα οὕτως οἱ μὲν ἐντραπέντες εἰς ἐπίγνωσιν ἔλθωσι τῆς οἰκείας κακίας, ὑμεῖς δὲ τοῦ ζήλου τοῦ Φινεὲς τὸν μισθὸν ὑποδέξησθε, διὰ τῆς δικαιοκρισίας τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Β' Κορ. 6,17. Πρβλ. Ἡσ. 52,11.

ΟΜΙΛΙΑ ΙΕ'

ΠΕΡΙ ΠΙΣΤΕΩΣ

1. Θεοῦ μεμνῆσθαι μὲν διηνεκῶς, εὐσεβὲς καὶ κόρον οὐκ ἔχον τῇ φιλοθέῳ ψυχῇ· λόγῳ δὲ διεξιέναι τὰ περὶ Θεοῦ, τολμηρόν· τῆς μὲν διανοίας πολλῷ τῷ μέτρῳ τῆς ἀξίας τῶν πραγμάτων ἀποπιπτούσης, πάλιν δὲ τοῦ λόγου ἀμυδρῶς παριστῶντος τὰ νοηθέντα. Εἰ οὖν ἡ μὲν διάνοια ἡμῶν παρὰ πολὺ τοῦ μεγέθους τῶν πραγμάτων ἀπολιμπάνεται, ὁ δὲ λόγος ἐλάττων ἐστὶ καὶ αὐτῆς τῆς διανοίας, πῶς οὐκ ἀναγκαία ἡ σιωπή, μήποτε ἐν τῇ τῶν ῥημάτων εὐτελείᾳ δόξῃ κινδυνεύειν τῆς θεολογίας τὸ θαῦμα; Ἡ μὲν οὖν τοῦ δοξάζειν τὸν Θεὸν ἐπιθυμία πᾶσι τοῖς λογικοῖς κατὰ φύσιν ἐνέσπαρται, τοῦ δὲ πρὸς ἀξίαν εἰπεῖν πάντες ὁποίως ἀπολιμπάνονται. Τῇ δὲ περὶ τὴν εὐσέβειαν προθυμίᾳ ἕτερος ἑτέρου διενηνόχαμεν, οὐδεὶς δὲ οὕτως τετύφλωται καὶ φρεναπατᾷ ἑαυτόν, ὥστε οἴεσθαι ἐπὶ τὸ ἀκρότατον ἀναβεβηκέναι τῆς καταλήψεως· ἀλλ' ὅσῳπερ ἂν δόξῃ προκόπτειν ἐπὶ τὴν γνῶσιν, τοσούτῳ πλέον αὐτοῦ τῆς ἀσθενείας αἰσθήσεται. Τοιοῦτος ἦν Ἀβραάμ, τοιοῦτος ἦν Μωυσῆς· ὅτε ἰδεῖν Θεὸν ἠδυνήθησαν, ὡς ἰδεῖν δυνατὸν ἀνθρώπῳ, τότε μάλιστα ἑαυτὸν ἑκάτερος ἐξητυέλιζεν· ὁ μὲν Ἀβραὰμ «γῆν καὶ σποδὸν»[1] ἑαυτὸν ὀνομάζων, ὁ δὲ Μωυσῆς ἰσχνόφωνον λέγων καὶ βραδύγλωσσον[2]. Ἑώρα γὰρ τῆς γλώσσης αὐτοῦ τὸ ἀσθενές, ὑπηρετεῖν τῷ μεγέθει τῶν νοηθέντων μὴ δυναμένης. Πλὴν ἀλλ' ἐπειδὴ πᾶσα ἀκοὴ ἤνοικται νῦν πρὸς θεολογίας ἀκρόασιν καὶ κόρος οὐκ ἔστι τῇ Ἐκκλησίᾳ τῶν τοιούτων ἀκροαμάτων, βεβαιούσῃ τὸν τοῦ Ἐκκλησιαστοῦ λόγον, ὅτι «οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως»[3], ἀναγκαῖον λέ-
[465]γειν εἰς δύναμιν. Ἐροῦμεν δέ, οὐχ ὅσος ἐστὶν ὁ Θεός, ἀλλ' ὅσον ἡμῖν ἐφικτόν. Οὐδὲ γάρ, ἐπειδὴ τὸν μεταξὺ οὐρανοῦ καὶ γῆς τόπον διαβῆναι ὅλον τοῖς ὀφθαλμοῖς ἀδυνατοῦμεν, ἤδη καὶ ὅσον δυνάμεθα καθορᾶν παραιτούμεθα· οὕτω καὶ νῦν διὰ μικρῶν ῥημάτων τὴν εὐσέβειαν ἀποπληρώσωμεν, τῷ δὲ μεγαλείῳ τῆς φύσεως συγχωρήσωμεν ἔχειν κατὰ παντὸς λόγου τὰ νικητήρια. Οὐδὲ γὰρ αἱ τῶν ἀγγέλων γλῶσσαι, αἵτινές ποτέ εἰσιν, οὐδὲ αἱ τῶν ἀρχαγγέλων, μετὰ πάσης ὁμοῦ τῆς λογικῆς φύσεως συναχθεῖσαι, πολλοστοῦ μέρους ἐφικέσθαι δυνήσονται, μὴ ὅτι τῷ παντὶ ἑαυτὰς ἐξισῶσαι. Σὺ δέ, εἰ βούλει περὶ Θεοῦ λέγειν τι ἢ ἀκούειν, ἄφες τὸ σῶμα σεαυτοῦ, ἄφες τὰς σωματικὰς αἰσθήσεις, κατάλιπε τὴν γῆν, κατάλιπε τὴν θάλασσαν, κάτω σεαυτοῦ ποίησον τὸν ἀέρα, παράδραμε ὥρας, καιρῶν εὐταξίας, τὰς περὶ γῆν

---

1. Γεν. 18,27. 2. Ἐξ. 4,10. 3. Ἐκκλ. 1,8.

διακοσμήσεις· ὑπὲρ τὸν αἰθέρα γενοῦ· διάβηθι τοὺς ἀστέρας, τὰ περὶ αὐτοὺς θαύματα, τὴν εὐκοσμίαν αὐτῶν, τὰ μεγέθη, τὰς χρείας ὅσας παρέχονται τῷ παντί, τὴν εὐταξίαν, τὴν λαμπρότητα, τὴν θέσιν, τὴν κίνησιν· ὅπως πρὸς ἀλλήλους σχέσεως ἢ ἀποστάσεως ἔχουσι. Πάντα διαβὰς τῷ λόγῳ, τὸν οὐρανὸν ὑπερκύψας καὶ ὑπεράνω τούτου γενόμενος, μόνῃ διανοίᾳ περίβλεψαι τὰ ἐκεῖ κάλλη, στρατιὰς ἐπουρανίους, χοροστασίας ἀγγέλων, τὰς τῶν ἀρχαγγέλων ἐπιστασίας, τὰς δόξας τῶν κυριοτήτων, τὰς προεδρίας τῶν θρόνων, τὰς δυνάμεις, τὰς ἀρχάς, τὰς ἐξουσίας. Διαδραμὼν τὰ σύμπαντα καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν ἀνανεύσας τοῖς λογισμοῖς καὶ ἐπέκεινα τούτων τὸν νοῦν ἀνυψώσας, ἐννόησον τὴν θείαν φύσιν· ἑστῶσαν, ἄτρεπτον, ἀναλλοίωτον, ἀπαθῆ, ἁπλῆν, ἀσύνθετον, ἀδιαίρετον, φῶς ἀπρόσιτον[1], δύναμιν ἄφατον, μέγεθος ἀπεριόριστον, δόξαν ὑπεραστράπτουσαν, ἀγαθότητα ἐπιθυμητήν, κάλλος ἀμήχανον, σφοδρῶς μὲν τῆς τετρωμένης ψυχῆς καθαπτόμενον, λόγῳ δὲ δηλωθῆναι πρὸς ἀξίαν ἀδύνατον.

2. Ἐκεῖ Πατὴρ καὶ Υἱὸς καὶ Ἅγιον Πνεῦμα, ἡ ἄκτιστος φύσις, τὸ δεσποτικὸν ἀξίωμα, ἡ φυσικὴ ἀγαθότης. Πατήρ· ἡ πάντων ἀρχή, ἡ αἰτία τοῦ εἶναι τοῖς οὖσιν, ἡ ῥίζα τῶν ζώντων. Ὅθεν προῆλθε ἡ πηγὴ τῆς ζωῆς, ἡ σοφία, ἡ δύναμις, ἡ εἰκὼν ἡ ἀπαράλλακτος τοῦ ἀοράτου Θεοῦ[2], ὁ ἐκ τοῦ Πατρὸς γεννηθεὶς Υἱός, ὁ ζῶν Λόγος, ὁ Θεὸς ὢν καὶ πρὸς τὸν Θεὸν ὤν[3]· ὤν, οὐχὶ προσγενόμενος· ὑπάρχων πρὸ τῶν αἰώνων, οὐχὶ προσκτηθεὶς ὕστερον· Υἱός, οὐχὶ κτῆμα· ποιητής, οὐχὶ ποίημα· κτίστης, [468] οὐχὶ κτίσμα· πάντα ὢν ὅσα ἐστὶν ὁ Πατήρ· Υἱός, εἶπον, καὶ Πατήρ. Φύλασσέ μοι ταύτας τὰς ἰδιότητας. Μένων οὖν ἐν τῷ εἶναι Υἱός, πάντα ἐστὶν ὅσα ἐστὶν ὁ Πατήρ, κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ Κυρίου εἰπόντος· «πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι»[4]. Τῷ ὄντι γὰρ τῆς εἰκόνος ἐστὶ πάντα, ὅσα πρόσεστι τῇ πρωτοτύπῳ μορφῇ. «Ἐθεασάμεθα» γάρ, φησὶν ὁ εὐαγγελιστής, «τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός»[5]· τουτέστιν, οὐκ ἐκ δωρεᾶς καὶ χάριτος δοθέντων αὐτῷ τῶν θαυμάτων, ἀλλ' ἐκ τῆς κατὰ φύσιν κοινωνίας ἔχοντος τοῦ Υἱοῦ τῆς πατρικῆς θεότητος τὸ ἀξίωμα. Τὸ μὲν γὰρ λαβεῖν κοινὸν καὶ πρὸς τὴν κτίσιν, τὸ δὲ ἔχειν ἐκ φύσεως ἴδιον τοῦ γεννηθέντος. Ὡς μὲν οὖν Υἱός, φυσικῶς κέκτηται τὰ τοῦ Πατρός· ὡς δὲ Μονογενής, ὅλα ἔχει ἐν ἑαυτῷ συλλαβών, οὐδενὸς καταμεριζομένου πρὸς ἕτερον. Ἐξ αὐτῆς τοίνυν τῆς Υἱοῦ προσηγορίας διδασκόμεθα, ὅτι τῆς φύσεώς ἐστι κοινωνός· οὐ προστάγματι κτισθείς, ἀλλ' ἐκ τῆς οὐσίας ἐκλάμψας ἀδιαστάτως, ἀχρόνως τῷ Πατρὶ συνημμένος, ἴσος ἐν ἀγαθότητι, ἴσος ἐν δυνάμει, κοινωνὸς τῆς δόξης. Καὶ τί γάρ, ἀλλ' ἡ σφραγὶς καὶ εἰκών, ὅλον ἐν ἑαυτῷ δεικνὺς τὸν Πατέρα; Ὅσα δέ σοι μετὰ ταῦτα ἀπὸ τῆς σωματικῆς κατασκευῆς

1. Πρβλ. Α' Τιμ. 6,16. 2. Πρβλ. Κολ. 1,15. 3. Πρβλ. Ἰω. 1,2. 4. Ἰω. 16,15. 5. Ἰω. 1,14.

διαλέγεται, τὴν τῶν ἀνθρώπων σωτηρίαν οἰκονομῶν, ἣν διὰ σαρκὸς ἐπιφανεὶς ἡμῖν ἐπεδείξατο, ἀποστελλόμενον λέγων ἑαυτὸν καὶ μηδὲν δυνάμενον ἀφ' ἑαυτοῦ ποιεῖν καὶ ἐντολὴν λαβόντα καὶ ὅσα τοιαῦτα, μή σοι παρεχέτω ἀφορμὰς πρὸς τὸ κατασμικρύνειν τοῦ Μονογενοῦς τὴν θεότητα. Οὐ γὰρ ἡ πρὸς τὸ σὸν ἀσθενὲς συγκατάβασις ἐλάττωσις ὀφείλει γίνεσθαι τῆς ἀξίας τοῦ δυνατοῦ· ἀλλὰ τὴν μὲν φύσιν νόει θεοπρεπῶς, τὰ δὲ ταπεινότερα τῶν ῥημάτων δέχου οἰκονομικῶς. Περὶ ὧν εἰ βουληθείημεν ἐν τῷ παρόντι πρὸς ἀκρίβειαν διηγεῖσθαι, λάθοιμεν ἂν ἑαυτοὺς πολύ τι καὶ ἀπέραντον πλῆθος λόγων ἐπεισάγοντες τῇ ὑποθέσει.

3. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανίωμεν. Ὅτι διάνοια ἡ δυνηθεῖσα τῶν τε ὑλικῶν καθαρεῦσαι παθῶν καὶ τὴν νοητὴν κτίσιν πᾶσαν καταλιπεῖν καὶ οἷόν τις ἰχθὺς ἀπὸ τοῦ βυθοῦ πρὸς τὴν ἄνω ἐπιφάνειαν ἀνανήξασθαι, ἐν τῷ καθαρῷ τῆς κτίσεως γενομένη, ἐκεῖ ὄψεται τὸ Πνεῦμα τὸ Ἅγιον, ὅπου Υἱὸς καὶ ὅπου Πατήρ, πάντα ἔχον καὶ αὐτὸ συνουσιωμένως κατὰ τὴν φύσιν, τὴν ἀγαθότητα, τὴν εὐθύτητα, τὸν ἁγιασμόν, τὴν ζωήν. «Τὸ Πνεῦμα» γάρ **[469]** «σου», φησίν, «τὸ ἀγαθόν»[1]· καὶ πάλιν, «Πνεῦμα εὐθές»[2]· καὶ πάλιν, «τὸ Πνεῦμα τὸ Ἅγιον»[3]. Καὶ ὁ Ἀπόστολος· «ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς»[4]. Τούτων οὐδὲν ἐπίκτητον αὐτῷ, οὐδὲ ὕστερον ἐπιγενόμενον πρόσεστιν· ἀλλ' ὥσπερ ἀχώριστον τῷ πυρὶ τὸ θερμαίνειν καὶ τῷ φωτὶ τὸ λάμπειν, οὕτω καὶ τῷ Πνεύματι τὸ ἁγιάζειν, τὸ ζωοποιεῖν, ἡ ἀγαθότης, ἡ εὐθύτης. Ἐκεῖ τοίνυν ἕστηκε τὸ Πνεῦμα, ἐκεῖ, ἐν τῇ μακαρίᾳ φύσει, οὐ μετὰ πλήθους ἀριθμούμενον, ἀλλ' ἐν τῇ Τριάδι θεωρούμενον· μοναδικῶς ἐξαγγελλόμενον, οὐκ ἐμπεριειλημμένον τοῖς συστήμασιν. Ὡς γὰρ Πατὴρ εἷς καὶ Υἱὸς εἷς, οὕτως ἓν καὶ τὸ Ἅγιον Πνεῦμα. Τὰ δὲ λειτουργικὰ πνεύματα καθ' ἕκαστον τάγμα πλῆθος ἡμῖν ὑποφαίνει δυσεξαρίθμητον. Μὴ τοίνυν ζήτει ἐν τῇ κτίσει τὸ ὑπὲρ τὴν κτίσιν· μὴ καταγάγῃς τὸ ἁγιάζον μετὰ τῶν ἁγιαζομένων. Τοῦτο πληροῖ ἀγγέλους, πληροῖ ἀρχαγγέλους, ἁγιάζει δυνάμεις, ζωοποιεῖ τὰ σύμπαντα. Τοῦτο εἰς πᾶσαν κτίσιν μεριζόμενον καὶ ἄλλως ὑπ' ἄλλου μετεχόμενον, οὐδὲν ἐλαττοῦται παρὰ τῶν μετεχόντων. Πᾶσι μὲν τὴν παρ' ἑαυτοῦ χάριν δίδωσιν, οὐκ ἀναλίσκεται δὲ εἰς τοὺς μετέχοντας· ἀλλὰ καὶ οἱ λαβόντες πληροῦνται καὶ αὐτό ἐστιν ἀνενδεές. Καὶ ὥσπερ ὁ ἥλιος ἐπιλάμπων τοῖς σώμασι καὶ ποικίλως ὑπ' αὐτῶν μετεχόμενος, οὐδὲν ἐλαττοῦται παρὰ τῶν μετεχόντων, οὕτω καὶ τὸ Πνεῦμα πᾶσι τὴν παρ' ἑαυτοῦ χάριν παρέχον, ἀμείωτον μένει καὶ ἀδιαίρετον. Πάντας φωτίζει πρὸς τὴν τοῦ Θεοῦ κατανόησιν, ἐμπνεῖ τοῖς προφήταις, νομοθέτας σοφίζει, ἱερέας τελειοῖ, ἐνισχύει βασιλεῖς, καταρτίζει δικαίους, σεμνύνει σώφρονας, ἐνεργεῖ χαρίσματα ἰαμάτων, ζωοποιεῖ τοὺς νεκρούς, λύει τοὺς πεπεδημένους, υἱοθετεῖ τοὺς ἠλλοτριωμένους. Ταῦτα διὰ τῆς ἄνωθεν γεννή-

1. Ψαλ. 142,10. 2. Ψαλ. 50,12. 3. Ψαλ. 50,13. 4. Ρωμ. 8,2.

σεως ἐνεργεῖ. Ἐὰν τελώνην λάβῃ πιστεύοντα, εὐαγγελιστὴν ἀποδείκνυσιν[1]· ἐὰν ἐν ἁλιεῖ γένηται, θεολόγον ἀποτελεῖ[2]· ἐὰν διώκτην εὕρῃ μετανοοῦντα, ἀπόστολον ἐθνῶν ἀπεργάζεται, κήρυκα πίστεως, «σκεῦος ἐκλογῆς»[3]. Δι' αὐτοῦ οἱ ἀσθενεῖς ἰσχυροί· οἱ πτωχοὶ πλουτίζουσιν· οἱ ἰδιῶται τῷ λόγῳ σοφώτεροί εἰσι τῶν σοφῶν. Παῦλος ἀσθενής, ἀλλὰ διὰ τὴν παρουσίαν τοῦ Πνεύματος τὰ σουδάρια τοῦ χρωτὸς αὐτοῦ ἔασιν παρεῖχε τοῖς ὑποδεχομένοις[4]. Πέτρος καὶ αὐτὸς σῶμα περικείμενος ἀσθενείας, ἀλλὰ διὰ τὴν ἐνοικοῦσαν χάριν τοῦ Πνεύματος ἡ ἐκπίπτουσα τοῦ σώματος σκιὰ ἀπεδίωκε τὰς νόσους τῶν καταπονουμένων[5]. Πτωχὸς Πέτρος καὶ Ἰωάννης· οὐ γὰρ εἶχον ἀργύριον, οὐδὲ χρυσίον· ἀλλ' ἐχαρίζοντο ὑγίειαν πολλῶν χρυσίων τιμιωτέραν. Παρὰ πολλῶν γὰρ λα[472]βὼν χρυσίον ὁ χωλός, ἔτι προσαίτης ἦν· παρὰ δὲ Πέτρου δεξάμενος τὴν χάριν, ἐπαύσατο προσαιτῶν, ἀλλόμενος ὥσπερ ἔλαφος καὶ αἰνῶν τὸν Θεόν. Οὐκ ᾔδει Ἰωάννης τὴν τοῦ κόσμου σοφίαν, ἀλλ' ἐφθέγξατο ῥήματα τῇ δυνάμει τοῦ Πνεύματος, οἷς οὐδεμία σοφία προσβλέψαι δύναται. Τοῦτο καὶ ἐν οὐρανῷ ἔστηκε καὶ τὴν γῆν πεπλήρωκε καὶ πανταχοῦ πάρεστι καὶ οὐδαμοῦ περιέχεται. Ὅλον ἑκάστῳ ἐνοικεῖ καὶ ὅλον ἐστὶ μετὰ τοῦ Θεοῦ. Οὐ λειτουργικῶς διακονεῖ τὰς δωρεάς, ἀλλ' αὐθεντικῶς διαιρεῖ τὰ χαρίσματα. «Διαιρεῖ» γάρ, φησίν, «ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται»[6]. Ἀποστέλλεται μὲν οἰκονομικῶς, ἐνεργεῖ δὲ αὐτεξουσίως. Τοῦτο παρεῖναι ταῖς ψυχαῖς ἡμῶν εὐξώμεθα καὶ μηδένα καιρὸν ἡμᾶς ἀπολιμπάνειν ἐν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Πρβλ. Ματθ. 9,9. 2. Πρβλ. Ματθ. 4,19. 3. Πράξ. 9,15. 4. Πρβλ. Πράξ. 19,12. 5. Πρβλ. Πράξ. 5,15. 6. Πρβλ. Α' Κορ. 12,11.

ΟΜΙΛΙΑ Ι ς'

ΕΙΣ ΤΟ· «ΕΝ ΑΡΧΗ ΗΝ Ο ΛΟΓΟΣ»

1. Πᾶσα μὲν ἡ τῶν Εὐαγγελίων φωνὴ μεγαλοφυεστέρα τῶν λοιπῶν τοῦ Πνεύματος διδαγμάτων, καθ' ὅτι ἐν ἐκείνοις μὲν διὰ τῶν δούλων ἡμῖν ἐλάλησε τῶν προφητῶν, ἐν δὲ τοῖς Εὐαγγελίοις αὐτοπροσώπως διελέχθη ἡμῖν ὁ Δεσπότης. Αὐτοῦ γε μὴν τοῦ εὐαγγελικοῦ κηρύγματος ὁ μεγαλοφωνότατος καὶ πάσης μὲν ἀκοῆς μείζονα, πάσης δὲ διανοίας ὑψηλότερα φθεγξάμενος, Ἰωάννης ἐστίν, ὁ υἱὸς τῆς βροντῆς· οὗ τὸ προοίμιον τῆς εὐαγγελικῆς συγγραφῆς ἄρτι ἀναγνωσθὲν ἠκούσαμεν· «ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος»[1]. Ταῦτα οἶδα πολλοὺς καὶ τῶν ἔξω τοῦ λόγου τῆς ἀληθείας μέγα φρονούντων ἐπὶ σοφίᾳ κοσμικῇ καὶ θαυμάσαντας καὶ τοῖς ἑαυτῶν συντάγμασιν ἐγκαταμίξαι τολμήσαντας. Κλέπτης γὰρ ὁ διάβολος καὶ τὰ ἡμέτερα ἐκφερομυθῶν πρὸς τοὺς ἑαυτοῦ ὑποφήτας. Εἰ οὖν ἡ σαρκίνη σοφία τοσοῦτον ἐθαύμασε τῶν ῥημάτων τὴν δύναμιν, τί ποιήσωμεν ἡμεῖς οἱ μαθηταὶ τοῦ Πνεύματος, ἐὰν παρέργως ἀκούσωμεν καὶ μικράν τινα τὴν ἐνυπάρχουσαν αὐτοῖς δύναμιν εἶναι λογισώμεθα; Καὶ τίς οὕτως ἀναισθησίαν νοσῶν, ὥστε τοιοῦτον κάλλος ἐννοίας καὶ βάθος δογμάτων οὕτως ἀνέφικτον μὴ οὐχὶ καταπλαγῆναι καὶ ἐπιθυμῆσαι αὐτῶν τῆς ἀληθοῦς καταλήψεως; Ἀλλὰ γὰρ οὐχὶ τὸ θαυμάσαι τὰ καλὰ δύσκολον, ἀλλὰ τὸ ἐν ἀκριβεῖ κατανοήσει γενέσθαι τῶν θαυμασθέντων, τοῦτο χαλεπὸν καὶ δυσέφικτον. Ἐπεὶ καὶ τὸν ἥλιον τοῦτον τὸν αἰσθητὸν οὐδεὶς μέν ἐστιν ὃς οὐχ ὑπερ**[473]**επαινεῖ, τὸ μέγεθος αὐτοῦ καὶ τὸ κάλλος καὶ τῶν ἀκτίνων τὴν συμμετρίαν καὶ τὸ ἀποστίλβον αὐτοῦ φῶς κατασπαζόμενος· ἐὰν μέντοι βιαιότερον φιλονεικήσῃ τῷ κύκλῳ ἀντεξάγειν ἑαυτοῦ τὰς τῶν ὀμμάτων βολάς, οὐ μόνον οὐ κατόψεται τὰ περισπούδαστα, ἀλλὰ καὶ τὴν ἀκρίβειαν τῆς ὄψεως προσδιαφθείρας οἰχήσεται. Τοιοῦτόν τί μοι δοκῶ τὴν διάνοιαν πάσχειν, τὴν φιλονεικοῦσαν ἀκριβῆ ποιεῖσθαι τῶν προκειμένων ῥημάτων τὴν ἐξέτασιν. «Ἐν ἀρχῇ ἦν ὁ Λόγος»[2]. Τίς ἐννοήσει ἀξίως τὰ περὶ τῆς ἀρχῆς; Ποία ῥημάτων δύναμις εὑρεθῇ ὁμοτίμως δυναμένη παραστῆσαι τὸ νοηθέν; Μέλλων παραδιδόναι ἡμῖν τὰ περὶ τῆς θεολογίας τοῦ Υἱοῦ τοῦ Θεοῦ, οὐδεμίαν ἀρχὴν ἄλλην τῷ λόγῳ ἢ τὴν ἀρχὴν τῶν ὅλων ἔδωκεν. Ἥδει τοὺς ἐπιφυομένους τῇ δόξῃ τοῦ Μονογενοῦς τὸ Πνεῦμα τὸ Ἅγιον· προῄδει τοὺς μέλλοντας ἡμῖν προφέρειν τὰ σοφίσματα, τὰ ἐπὶ καταστροφῇ τῶν ἀκουόντων αὐτοῖς μεμηχανημένα. Ὅτι, εἰ ἐγεννήθη,

---

1. Ἰω. 1,1. 2. Ἔνθ. ἀν.

οὐκ ἦν· καί, πρὸ τοῦ γεννηθῆναι, οὐκ ἦν· καί, ἐξ οὐκ ὄντων τὴν ὑπόστασιν ἔλαβε. Τοιαῦτα δὲ φθέγγονται γλῶσσαι ἠκονημέναι διὰ πιθανολογίας ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. Ἵνα τοίνυν μηδενὶ λέγειν ἐξῇ τὰ τοιαῦτα, προλαβὸν τὸ Πνεῦμα τὸ Ἅγιον διὰ τοῦ Εὐαγγελίου, «ἐν ἀρχῇ» φησίν, «ἦν ὁ Λόγος». Ἐὰν κρατῇς ταύτην τὴν φωνήν, οὐδὲν οὐ μὴ πάθῃς δεινὸν παρὰ τῶν κακοτέχνων. Ἐὰν γὰρ λέγῃ ἐκεῖνος, εἰ ἐγεννήθη, οὐκ ἦν· σὺ εἰπέ, «ἐν ἀρχῇ ἦν». Ἀλλά, φησί, πρὶν ἢ γεννηθῆναι πῶς ἦν; Σὺ μὴ ἀφῇς τό, «Ἦν»· μὴ καταλίπῃς τό, «Ἐν ἀρχῇ». Ἀρχῆς ἡ κορυφὴ οὐ καταλαμβάνεται· ἀρχῆς τὸ ἐξώτερον οὐχ εὑρίσκεται. Μὴ παραλογίσηταί σέ τις τῷ πολυσήμῳ τῆς λέξεως. Πολλαὶ γὰρ ἀρχαὶ πολλῶν πραγμάτων κατὰ τὸν βίον τοῦτον· ἀλλὰ μία ἀρχὴ ἐπὶ πάντων ἡ ἐπέκεινα. «Ἀρχὴ» γὰρ «ὁδοῦ ἀγαθῆς»[1], εἶπεν ἡ Παροιμία. Ἀλλ' ὁδοῦ μὲν ἀρχὴ ἡ πρώτη κίνησις, ὅθεν ἀρχόμεθα τῆς πορείας, ἧς τὸ κατόπιν δυνατόν ἐστιν εὑρεῖν. Καί, «ἀρχὴ σοφίας φόβος Κυρίου»[2]. Ἔστι καὶ ταύτης τῆς ἀρχῆς ἕτερόν τι προκείμενον· τῆς γὰρ τῶν τεχνῶν ἀναλήψεως ἀρχή ἐστιν ἡ στοιχείωσις. Στοιχεῖον οὖν ἐστι τῆς σοφίας ὁ φόβος τοῦ Κυρίου· ἀλλὰ ταύτης τῆς ἀρχῆς ἐστί τι πρεσβύτερον, ἡ κατάστασις τῆς ψυχῆς, τοῦ μήπω σοφισθέντος καὶ τὸν φόβον τοῦ Θεοῦ ἀνειληφότος. Ἀρχαὶ λέγονται καὶ αἱ πολιτικαὶ δυναστεῖαι, αἱ τῶν ἀξιωμάτων ὑπεροχαί. Ἀλλ' αὗται αἱ ἀρχαί, τινῶν εἰσιν ἀρχαὶ καὶ πρός τι ἑκάστη. Ἀρχὴ γὰρ τῆς γραμμῆς **[476]** τὸ σημεῖον· καὶ ἀρχὴ τῆς ἐπιφανείας ἡ γραμμή· καὶ ἀρχὴ τοῦ σώματος ἡ ἐπιφάνεια· καὶ τοῦ κατὰ σύνθεσιν λόγου ἀρχαὶ τὰ στοιχεῖα.

2. Οὐ μὴν κἀκείνη τοιαύτη ἡ ἀρχή. Οὐδενὶ γὰρ προσδέδεται· οὐδενὶ δουλεύει· μετ' οὐδενὸς θεωρεῖται· ἀλλ' ἐλευθέρα ἐστίν· ἀδέσποτος, λελυμένη τῆς πρὸς ἕτερον σχέσεως· ἀνυπέρβατος διανοίᾳ, ἣν οὐκ ἔστιν ὑπερβῆναι τοῖς λογισμοῖς, ἧς οὐκ ἔστιν ἐξευρεῖν τὰ ἐπέκεινα. Ἐὰν γὰρ φιλονεικήσῃς τῇ φαντασίᾳ τοῦ νοῦ παραδραμεῖν τὴν ἀρχήν, εὑρήσεις αὐτὴν προτρέχουσάν σου καὶ προαπαντῶσαν τοῖς λογισμοῖς. Ἄφες σεαυτοῦ τὸν νοῦν δραμεῖν ὅσον βούλεται καὶ διαταθῆναι ἐπὶ τὰ ἄνω· εἶτα εὑρήσεις αὐτὸν μυρία πλανηθέντα καὶ πολλὰ κενεμβατήσαντα καὶ πάλιν ἐπανιόντα πρὸς ἑαυτόν, διὰ τὸ μὴ δύνασθαι κατωτέραν ἑαυτοῦ τὴν ἀρχὴν ποιῆσαι. Διότι ἀεὶ τοῦ νοουμένου ἐξωτέρα καὶ πλείων εὑρίσκεται ἡ ἀρχή. «Ἐν ἀρχῇ» τοίνυν «ἦν ὁ Λόγος»[3]. Ὦ τοῦ θαύματος! Πῶς πᾶσαι ἀλλήλαις ὁμοτίμως αἱ φωναὶ συνεζεύχθησαν! Τὸ «Ἦν», ἴσον δύναται τοῦ «Ἐν ἀρχῇ». Ποῦ ὁ βλάσφημος; ποῦ ἡ χριστομάχος γλῶττα; ἡ λέγουσα, Ἦν ποτε, ὅτε οὐκ ἦν; Ἄκουε τοῦ Εὐαγγελίου, «Ἐν ἀρχῇ ἦν». Εἰ δὲ ἐν ἀρχῇ ἦν, πότε οὐκ ἦν; Τὴν ἀσέβειαν αὐτῶν στενάξω, ἢ τὴν ἀμαθίαν βδελύξομαι; Ἀλλὰ πρὸ τοῦ γεννηθῆναι, οὐκ ἦν. Οἶδας γὰρ πότε ἐγεννήθη, ἵνα τὸ πρὶν δυνηθῇς ἐπενεγκεῖν τῷ χρόνῳ; Τὸ γάρ, Πρὸ τοῦ, χρονική ἐστι φωνή, ἕτερον ἑτέρου προτι-

1. Παρμ. 16,7. 2. Ψαλ. 110,10. 3. Ἰω. 1,1.

θεῖσα εἰς παλαιότητα. Τὸν δὲ τοῦ χρόνου ποιητὴν πῶς εὔλογον ταῖς χρονικαῖς προσηγορίαις ὑποκειμένην ἔχειν τὴν γέννησιν; Ἐν ἀρχῇ τοίνυν ἦν. Ἐὰν μὴ ἀποστῇς τοῦ Ἦν, οὐδεμίαν παρείσδυσιν δώσεις τῇ πονηρᾷ βλασφημίᾳ. Ὥσπερ γὰρ οἱ θαλαττεύοντες, ὅταν ἐπὶ δύο σαλεύωσιν ἀγκυρῶν, καταφρονοῦσι τοῦ κλύδωνος· οὕτω καὶ σὺ τῆς πονηρᾶς ταύτης ταραχῆς τῆς ἐκ τῶν πνευμάτων τῆς πονηρίας ἐγγινομένης τῷ βίῳ καὶ διασαλευούσης τῶν πολλῶν τὴν πίστιν, καταγελάσῃ, ἐὰν τῇ ἀσφαλείᾳ τῶν ῥημάτων τούτων τὴν ψυχὴν ἔχῃς ἐνορμισθεῖσαν.

3. Ἐπιζητεῖ δὲ ἡμῶν ἡ διάνοια, τίς ἦν ἐν ἀρχῇ; Ὁ Λόγος, φησί. Ποῖος λόγος; ὁ ἀνθρώπινος λόγος; ἀλλ' ὁ τῶν ἀγγέλων λόγος; Καὶ γὰρ ἠνίξατο ἡμῖν ὁ Ἀπόστολος, ὡς καὶ τῶν ἀγγέλων ἰδίαν ἐχόντων **[477]** γλῶσσαν, εἰπών· «ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων»[1]. Ἀλλὰ καὶ τοῦ λόγου διπλῆ τίς ἐστιν ἔννοια. Ὁ μὲν γὰρ τίς ἐστιν ὁ διὰ τῆς φωνῆς προφερόμενος, οὗτος ὁ μετὰ τὸ προενεχθῆναι τῷ ἀέρι ἐναπολλύμενος· ὁ δὲ τίς ἐστιν ὁ ἐνδιάθετος, ἐνυπάρχων ἡμῶν ταῖς καρδίαις· ὁ ἐννοηματικός. Καὶ ἄλλος, ὁ τεχνικὸς λόγος. Ὅρα μήποτέ σε παρακρούσηται τὸ ὁμώνυμον τῆς φωνῆς. Πῶς γὰρ ἦν ἐν ἀρχῇ ὁ ἀνθρώπινος λόγος, τοῦ ἀνθρώπου κάτω που λαβόντος τὴν ἀρχὴν τῆς γενέσεως; Πρὸ ἀνθρώπου θηρία· πρὸ ἀνθρώπου κτήνη, τὰ ἑρπετὰ πάντα· ὅσα χερσαῖα καὶ ὅσα ἔνυδρα, πετεινὰ τοῦ οὐρανοῦ, ἀστέρες, ἥλιος, σελήνη, βοτάναι, σπέρματα, γῆ, θάλαττα, οὐρανός. Οὐ τοίνυν ἐν ἀρχῇ ἦν ὁ ἀνθρώπινος λόγος, ἀλλ' οὐδὲ ὁ τῶν ἀγγέλων. Πᾶσα γὰρ ἡ κτίσις κατωτέρα τῶν αἰώνων ἐστί, τὴν ἀρχὴν τοῦ εἶναι λαβοῦσα παρὰ τοῦ κτίσαντος. Ὁ δὲ ἐν καρδίᾳ λόγος καὶ αὐτὸς ἑκάστου τῶν νοηθέντων ἐστὶ νεώτερος. Ἀλλ' ἄκουε τοῦ λόγου θεοπρεπῶς. Περὶ γὰρ τοῦ Μονογενοῦς διαλεγόμενός σοι, Λόγον εἶπεν αὐτόν. Ὥσπερ οὖν καὶ φῶς μετ' ὀλίγον ἐρεῖ καὶ ζωὴν καὶ ἀνάστασιν καὶ οὔτε φῶς ἀκούσας, ἐπὶ τὸ αἰσθητὸν τοῦτο καὶ ὀφθαλμοῖς ὁρατὸν καταφέρῃ, οὔτε ζωὴν ἀκούσας τὴν κοινὴν ταύτην νοεῖς, ἣν καὶ τὰ ἄλογα ζῇ· οὕτω καὶ Λόγον ἀκούων, φύλαξαι μήποτε τῇ σῇ ἀσθενείᾳ τῆς διανοίας πρὸς χαμαιζήλους καὶ ταπεινὰς διανοίας ὑπενεχθῇς. Ἀλλ' ἐρεύνα τὴν διάνοιαν τοῦ ῥήματος. Διὰ τί Λόγος; Ἵνα δειχθῇ, ὅτι ἐκ τοῦ νοῦ προῆλθε. Διὰ τί Λόγος; Ὅτι ἀπαθῶς ἐγεννήθη. Διὰ τί Λόγος; Ὅτι εἰκὼν τοῦ γεννήσαντος, ὅλον ἐν ἑαυτῷ δεικνὺς τὸν γεννήσαντα, οὐδὲν ἐκεῖθεν ἀπομερίσας καὶ τέλειος ὑπάρχων καθ' ἑαυτόν· ὡς καὶ ὁ ἡμέτερος λόγος ὅλην ἡμῶν ἀπεικονίζει τὴν ἔννοιαν. Ἃ γὰρ κατὰ καρδίαν ἐνενοήσαμεν, ταῦτα τῷ ῥήματι προηνέγκαμεν καὶ ἔστι τοῦ ἐν τῇ καρδίᾳ νοήματος ἀπεικόνισμα τὸ λαλούμενον. Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας ὁ λόγος προφέρεται. Καὶ ἔστιν ἡ μὲν καρδία ἡμῶν οἷον πηγή τις, ὁ δὲ προφερόμενος λόγος οἷον ὀλκός τις ἐκ τῆς πηγῆς ταύ-

1. Α' Κορ. 13,1.

της ῥέων. Τοσοῦτον οὖν τὸ ἀπορρέον, ὅσον τὸ πρώτως ἀναφερόμενον. καὶ οἷον τὸ κεκρυμμένον, τοσοῦτον καὶ τὸ φαινόμενον. Λόγον οὖν εἶπεν, ἵνα τὴν ἀπαθῆ σοι γέννησιν τοῦ Πατρὸς παραστήσῃ καὶ τὴν τελείαν ὕπαρξίν σοι τοῦ Υἱοῦ θεολογήσῃ καὶ τὴν ἄχρονον συνάφειαν τοῦ Υἱοῦ πρὸς Πατέρα διὰ τούτων ἐνδείξηται. Καὶ γὰρ ὁ ἡμέτερος λόγος τοῦ νοῦ γέννημα, ἀπαθῶς γεννώμενος· οὔτε γὰρ τέμνε[480]ται, οὔτε μερίζεται, οὔτε ῥέει· ἀλλὰ μένων ὅλος ὁ νοῦς ἐν τῇ ἰδίᾳ συστάσει, ὅλον τὸν λόγον καὶ ἀπηρτισμένον ὑφίστησι· καὶ προελθὼν ὁ λόγος, πᾶσαν τοῦ γεννήσαντος νοῦ τὴν δύναμιν ἐν ἑαυτῷ περιέχει. Ὅσον οὖν εὐσεβές, τοσοῦτον λαβὼν πρὸς τὴν τοῦ Μονογενοῦς θεολογίαν ἐκ τῆς τοῦ λόγου φωνῆς· ὅπερ ἂν εὕρῃς ἀπεμφαῖνον καὶ ἀνάρμοστον φαινόμενον, τοῦτο παραίτησαι καὶ ὑπέρβηθι μηχανῇ πάσῃ. «Ἐν ἀρχῇ ἦν ὁ Λόγος». Εἰ δὲ εἶπεν· ἐν ἀρχῇ ἦν ὁ Υἱός, τῇ προσηγορίᾳ τοῦ Υἱοῦ συνεισῆλθεν ἄν σοι ἡ περὶ τοῦ πάθους ἔννοια. Ἐπειδὴ γὰρ παρ' ἡμῖν τὰ γεννῶντα χρόνῳ γεννᾷ καὶ ἐμπαθῶς γεννᾷ, διὰ τοῦτο προλαβὼν, Λόγον εἶπε, προδιορθούμενος τὰς ἀπρεπεῖς ὑπολήψεις, ἵνα σου τὴν ψυχὴν ἄτρωτον διασώσηται.

4. «Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν». Πάλιν τὸ «Ἦν», διὰ τοὺς βλασφημοῦντας, ὅτι οὐκ ἦν. Ποῦ ἦν ὁ Λόγος; Οὐκ ἐν τόπῳ· οὐ γὰρ περιέχεται τόπῳ τὰ ἀπερίγραπτα. Ἀλλὰ ποῦ ἦν; «Πρὸς τὸν Θεόν». Οὔτε ὁ Πατὴρ ἐν τόπῳ, οὔτε ὁ Υἱὸς ἐν περιοχῇ τινι καὶ περιγραφῇ ὁμολογουμένῃ κατειλημμένος· ἀλλ' ἄπειρος μὲν ὁ Πατήρ, ἄπειρος δὲ ὁ Υἱός. Πᾶν ὅπερ ἂν νοήσῃς καὶ ὅπουπερ ἂν πορευθῇς τῷ πνεύματί σου, τοῦ Θεοῦ εὑρήσεις πεπληρωμένον· πανταχοῦ συμπαρεκτεινομένην εὑρήσεις τοῦ Υἱοῦ τὴν ὑπόστασιν. «Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν». Θαύμασον τὴν ἀκρίβειαν ἑκάστης φωνῆς· οὐκ εἶπεν, ἐν τῷ Θεῷ ἦν ὁ Λόγος· ἀλλὰ «Πρὸς τὸν Θεόν»· ἵνα τὸ ἰδιάζον τῆς ὑποστάσεως παραστήσῃ. Οὐκ εἶπεν, ἐν τῷ Θεῷ, ἵνα μὴ πρόφασιν δῷ τῇ συγχύσει τῆς ὑποστάσεως. Πονηρὰ γὰρ κἀκείνη ἡ βλασφημία τῶν φύρειν τὰ πάντα ἐπιχειρούντων καὶ ἓν τὸ ὑποκείμενον λεγόντων, Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, προσηγορίας δὲ διαφερούσας τῷ ἑνὶ πράγματι ἐπιφημίζεσθαι. Πονηρὰ ἡ ἀσέβεια καὶ φευκτὴ οὐχ ἧττον τῶν ἀνόμοιον εἶναι κατ' οὐσίαν τὸν Υἱὸν τοῦ Θεοῦ τῷ Θεῷ καὶ Πατρὶ βλασφημούντων. «Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν». Εἶτα συγχρησάμενος τῇ τοῦ Λόγου φωνῇ πρὸς τὴν παράστασιν τῆς κατὰ τὴν γέννησιν ἀπαθείας, ταχὺ καὶ τὸ ἐκ τοῦ Λόγου βλάβος ἐγγινόμενον ἡμῖν παρεμυθήσατο. Καὶ οἷον ἀφαρπάζων αὐτὸν τῆς συκοφαντίας τῶν βλασφημούντων, τί, φησίν, ἐστὶν ὁ Λόγος; «Θεὸς ἦν ὁ Λόγος». Μή μοι τεχνολόγει διαφορᾶς τινας λόγων, μηδὲ ἐκ τῆς σῆς κακοτεχνίας προστρίψῃς τινὰ βλασφημίαν τῇ [481] διδασκαλίᾳ τοῦ Πνεύματος. Ἔχεις τὴν ἀπόφασιν· ὑποτάγηθι τῷ Κυρίῳ. «Θεὸς ἦν ὁ Λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν». Πάλιν ἀνακεφαλαιοῦται ἐν ὀλίγοις ῥήμασι πᾶσαν ἑαυτοῦ τὴν θεολογίαν, τὴν περὶ τοῦ Μονογενοῦς ἡμῖν ὁ εὐαγγελιστὴς παρέδωκεν. Οὗτος τίς; Οὗτος,

ὁ Λόγος ὁ Θεός. Ἐπειδὴ γάρ σοι διήρθρωσε τὴν περὶ αὐτοῦ ἔννοιαν, οἷον ἐντυπώσας σου τῇ ψυχῇ διὰ τῆς διδασκαλίας τὰ ἀγνοούμενα καὶ ἐνοικίσας τὸν Λόγον Χριστὸν ἐν τῇ καρδίᾳ σου, Οὗτός φησι. Ποῖος οὗτος; Μὴ ἔξω διαβλέψῃ, διὰ τῆς δεικτικῆς φωνῆς τὸν ὑποδεικνύμενόν σοι περισκοπῶν, ἀλλ' εἴσελθε εἰς τὰ κρυπτὰ τῆς σεαυτοῦ ψυχῆς καὶ ὃν ἐδιδάχθης Θεὸν τὸν ἐν ἀρχῇ ὄντα, τὸν ὡς Λόγον προελθόντα, τὸν πρὸς τὸν Θεόν ὄντα, τοῦτον γνωρίσας καὶ καταπλαγεὶς καὶ προσκυνήσας τὸν σεαυτοῦ Δεσπότην, τόν σοι διὰ τῆς διδασκαλίας ἐνιδρυθέντα, γνώριζε, ὅτι οὗτος ἦν ἐν ἀρχῇ· τουτέστιν, ἀεὶ πρὸς τὸν Θεὸν τὸν ἑαυτοῦ Πατέρα. Ταύτας μοι τὰς ὀλίγας φωνὰς διασώσατε, ὥσπερ σφραγῖδα ταῖς μνήμαις ὑμῶν ἐνσημηνάμενοι. Αὗται ἀρραγέστατον ἔσονται τεῖχίον πρὸς τὰς τῶν ἐπιβουλευόντων καταδρομάς· αὗται φυλακτήριόν εἰσι τῶν ψυχῶν σωτήριον τοῖς προβαλλομένοις αὐτάς. Ἂν τίς σοι προσελθὼν λέγοι· οὐκ ὤν, ἐγεννήθη· εἰ γὰρ ἦν, πῶς ἐγεννήθη; ὡς δαιμόνων φωνὴν ἀποτρέπου τὴν κατὰ τῆς δόξης τοῦ Μονογενοῦς βλασφημίαν. Αὐτὸς δὲ ἐπανελθὼν ἦκε πρὸς τὰς τῶν Εὐαγγελίων φωνάς· «ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν»[1]. Τέταρτον εἰπὲ τὸ «Ἦν», καὶ καταργήσεις αὐτῶν τό, οὐκ ἦν. Οὗτοι ἄσειστοι μενέτωσαν οἱ θεμέλιοι τῆς πίστεως. Τούτοις ἐποικοδομήσομεν, Θεοῦ διδόντος καὶ τὰ λειπόμενα. Οὐ γάρ ἐστι δυνατὸν περὶ πάντων ὑμῖν εἰς ἅπαξ διαλεχθῆναι, μήποτε τῇ ἀμετρίᾳ τοῦ λόγου ἄχρηστα ποιήσωμεν ὑμῖν τὰ φιλοπόνως συνειλεγμένα. Ἀτονοῦσα γὰρ ἡ διάνοια πάντων ὁμοῦ περιδράξασθαι, ὅμοιον πάσχει γαστρὶ τῇ διὰ τὴν ὑπερβολὴν τοῦ κόρου εἰς πέψιν ἀγαγεῖν τὰ παραπεμφθέντα μὴ δυναμένῃ. Εὔχομαι οὖν ὑμᾶς γλυκανθῆναι μὲν τῇ γεύσει, ὠφεληθῆναι δὲ τῇ ἀναδόσει. Αὐτὸς δὲ ἕστηκα ὑμῖν ἕτοιμος πρὸς τὴν διακονίαν τῶν λειπομένων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Ἰω. 1,1-2.

ΟΜΙΛΙΑ ΙΖ'

ΕΙΣ ΒΑΡΛΑΑΜ ΤΟΝ ΜΑΡΤΥΡΑ

[484] 1. Πρότερον μὲν τῶν ἁγίων οἱ θάνατοι κοπετοῖς ἐκοσμοῦντο καὶ δάκρυσιν. Ἔκλαυσε σφοδρῶς Ἰωσὴφ τὸν Ἰακὼβ τεθνεῶτα[1], ἐκόψαντο καὶ τὴν Μωυσέως τελευτὴν οὐ μικρῶς Ἰουδαῖοι[2]· πολλοῖς καὶ τὸν Σαμουὴλ τετιμήκασι δάκρυσι[3]· νῦν δὲ ταῖς τῶν ὁσίων τελευταῖς ἐνσκιρτῶμεν. Ἡ γὰρ τῶν λυπηρῶν μετὰ τὸν σταυρὸν μεταβέβληται φύσις. Οὐκέτι θρήνοις τοὺς τῶν ἁγίων δορυφοροῦμεν θανάτους, ἀλλ' ἐνθέοις χορείαις τοῖς ἐκείνων ἐπορχούμεθα τάφοις. Ὕπνος γὰρ τοῖς δικαίοις ὁ θάνατος. Μᾶλλον δὲ πρὸς κρείττονα ζωὴν ἐκδημία. Ἐντεῦθεν σκιρτῶσι σφαττόμενοι μάρτυρες. Ὁ γὰρ τῆς μακαριωτέρας ζωῆς πόθος τὴν τῆς σφαγῆς ὀδύνην νεκρὰν ἀπεργάζεται. Οὐ βλέπει τοὺς κινδύνους, ἀλλὰ τοὺς στεφάνους ὁ μάρτυς· οὐ φρίττει τὰς πληγάς, ἀλλ' ἀριθμεῖ τὰ βραβεῖα· οὐχ ὁρᾷ τοὺς κάτω μαστιγοῦντας δημίους, ἀλλὰ τοὺς ἄνωθεν εὐφημοῦντας ἀγγέλους φαντάζεται· οὐ σκοπεῖ τῶν κινδύνων τὸ πρόσκαιρον, ἀλλὰ τὸ τῶν ἐπάθλων αἰώνιον. Λαμπρὸν καὶ παρ' ἡμῖν ἤδη τὸν ἀρραβῶνα καρποῦνται, ταῖς παρὰ πάντων ἐνθέοις εὐφημίαις κροτούμενοι καὶ μυρίους ἐκ τάφων σαγηνεύοντες δήμους.

2. Τοῦτο δὴ τὸ τῷ γενναίῳ τήμερον Βαρλαὰμ πεπραγμένον. Ἦχησε γὰρ ἡ πολεμικὴ τοῦ μάρτυρος σάλπιγξ καὶ τοὺς τῆς εὐσεβείας ὁπλίτας, ὡς ὁρᾶτε, συνήγαγεν. Ὁ τοῦ Χριστοῦ κείμενος ἀθλητὴς ἐκηρύχθη καὶ τὸ τῆς Ἐκκλησίας ἀνεπτέρωσε θέατρον. Καὶ ὡς ἔλεγε τῶν πιστῶν ὁ Δεσπότης· «ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται»[4]· τέθνηκεν ὁ γενναῖος Βαρλαὰμ καὶ συγκροτεῖ πανηγύρεις· κατανάλωται τάφῳ καὶ συγκαλεῖ πρὸς ἑστίασιν. Νῦν ἡμῖν ἀναβοῆσαι καιρός· «ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου;»[5]. Ἄγροικος ἡμῖν σήμερον ὁ ἀήττητος τῆς εὐσεβείας **[485]** διδάσκαλος, ὃν εἶλκε μὲν τύραννος ὡς εὐάλωτον θήραμα, ἔγνω δὲ μετὰ τὴν πεῖραν ὁπλίτην ἀχείρωτον· ὃν ἐγέλα μὲν παρακεκομμένα φθεγγόμενον, ἔφριξε δὲ ἀγγελικὰ νεανιευόμενον. Οὐ γὰρ συνεβαρβάριζεν ὁ τρόπος τῷ τῆς γλώττης ὀργάνῳ, οὐδὲ ταῖς συλλαβαῖς συγχωλεύων ὁ λογισμὸς ἐωρᾶτο· ἀλλ' ἦν δεύτερος Παῦλος, μετὰ τοῦ Παύλου φθεγγόμενος· «εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει»[6]. Ἐνάρκησαν μαστίζοντες δήμιοι ἀλλ' ἀκμαιότερος ὁ μάρτυς εὑρίσκετο· αἱ τῶν ξεόντων ἐξενευρίζοντο χεῖρες, ἀλλ' ὁ τοῦ ξομένου λογισμὸς

---

1. Πρβλ. Γεν. 50,1. 2. Πρβλ. Δευτ. 34,8. 3. Πρβλ. Α' Βασ. 25,1. 4. Ἰω. 11,25. 5. Α' Κορ. 1,20. 6. Β' Κορ. 11,6.

οὐκ ἐκάμπτετο. Τὰς τῶν νεύρων αἱ μάστιγες ἁρμονίας παρέλυσαν, ἀλλ' ὁ τῆς πίστεως ἀκριβέστερον ἐπεσφίγγετο τόνος. Διασκαπτόμεναι πλευραὶ δεδαπάνηντο, ἀλλ' ἡ τοῦ φρονήματος ἤνθει φιλοσοφία. Τῆς σαρκὸς αὐτοῦ τὸ πλέον νενέκρωτο, ἀλλ' ὡς μήπω τῶν ἀγώνων ἀρξάμενος ἤκμαζεν. Ὅταν γὰρ ὁ τῆς εὐσεβείας ἔρως τὴν ψυχὴν προκατάσχῃ, ἅπαν αὐτῇ πολέμων καταγέλαστον εἶδος καὶ πάντες αὐτὴν ὑπὲρ τοῦ ποθουμένου καταξέοντες τέρπουσι μᾶλλον ἢ πλήττουσι. Μαρτυρεῖ μοι τῶν ἀποστόλων ὁ πόθος, τερπνὰς αὐτοῖς ποτε τὰς παρὰ Ἰουδαίων ἐργαζόμενος μάστιγας. «Ἐπορεύοντο» γάρ, φησί, «χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆναι»[1]. Τοιοῦτος καὶ ὁ σήμερον ἡμῖν ὁπλίτης ὑμνούμενος· εὐφροσύνην τὰς κολάσεις ἡγούμενος ῥόδοις τισὶ βάλλεσθαι νομίζων ταῖς μάστιξι· τὰς τῆς ἀσεβείας αἰκίας δραπετεύων ὡς βέλη, καπνοῦ σκιὰν τὸν δικαστικὸν θυμὸν λογιζόμενος· τάγματα δορυφόρων ἀπηγριωμένα γελῶν· ὡς ἐπὶ στεφάνοις τοῖς κινδύνοις χορεύων· ταῖς πληγαῖς ὡς τιμαῖς εὐφραινόμενος· ταῖς σφοδροτέραις τιμωρίαις ὡς βραβείοις ἐνσκιρτῶν λαμπροτέροις· ξίφη διαπτύων γυμνούμενα· χεῖρας δημίων ὡς κηροῦ μαλακωτέρας δεχόμενος· κολαστήριον ξύλον ὡς σωτήριον ἀσπαζόμενος· κλείσμασι δεσμωτηρίων ὡς λειμῶσι τερπόμενος· βασάνων ἐπινοίας ὡς ἀνθέων ποικιλίαις ἡδόμενος· πυρὸς εὐτονωτέραν δεξιὰν κεκτημένος· ὃ δὴ τελευταῖον αὐτῷ παρὰ τῶν πολεμούντων προσῆκτο μηχάνημα. Βωμὸν γὰρ πρὸς τὴν τῶν δαιμόνων σπονδὴν ἀνακαύσαντες ἱστᾶσι παρ' αὐτῷ ἀγαγόντες τὸν μάρτυρα καὶ τῷ βωμῷ **[488]** τὴν δεξιὰν ὑπτίαν ἐπαιωρῆσαι κελεύσαντες, ὡς χαλκῷ θυσιαστηρίῳ τῇ χειρὶ κατεχρήσαντο, λιβανωτὸν αὐτῇ κακούργως ἐνθέντες φλεγόμενον. Ἤλπιζον γὰρ τῇ τοῦ πυρὸς βίᾳ τὴν χεῖρα καταπαλαισθεῖσαν, ἀνάγκη τῷ βωμῷ ταχέως λιβανωτὸν ἐπαφῆσειν. Φεῦ τῆς πολυπλόκου τῶν ἀσεβῶν μαγγανείας! Ἐπειδὴ μυρίοις, φησί, τὴν γνώμην οὐκ ἐκάμψαμεν τραύμασι, κάμψωμεν ἐν φλογὶ τοῦ φιλονείκου παλαιστοῦ κἂν τὴν χεῖρα. Ἐπειδὴ ποικίλαις μηχαναῖς τὴν ψυχὴν οὐκ ἐσείσαμεν, τὴν δεξιὰν γοῦν πυρὶ προσαγαγόντες σαλεύσωμεν. Ἀλλ' οὐδὲ ταύτης οἱ δείλαιοι τῆς ἐλπίδος ἀπώναντο. Ἡ μὲν γὰρ φλὸξ τὴν χεῖρα διέτρωγεν· ἔμενε δὲ ἡ χείρ, ὡς τέφραν τὴν φλόγα βαστάζουσα. Οὐκ ἔδωκε τῷ πολεμοῦντι πυρὶ κατὰ τοὺς φυγάδας τὰ νῶτα, ἀλλὰ ἄτρεπτος εἱστήκει κατὰ φλογὸς ἀριστεύουσα καὶ τὰς τοῦ Προφήτου λέγειν τῷ μάρτυρι διδοῦσα φωνάς· «εὐλογητὸς Κύριος ὁ Θεός μου ὁ διδάσκων τὰς χεῖρας μου εἰς παράταξιν καὶ τοὺς δακτύλους μου εἰς πόλεμον»[2]. Πῦρ γὰρ χειρὶ συνεπλέκετο καὶ τοῦ πυρὸς τὰ τῆς ἥττης εὑρίσκετο. Φλογὶ καὶ μάρτυρος δεξιᾷ συνεκροτεῖτο πάλη, ἀλλ' ἦν τῆς δεξιᾶς καινή τις τῶν παλαισμάτων ἡ νίκη, τῆς μὲν φλογὸς διὰ μέσου τῆς χειρὸς ἐκπιπτούσης, τῆς χειρὸς δὲ ἔτι τεταμένης πρὸς πάλην.

---

1. Πράξ. 5,41. 2. Ψαλ. 143,1.

Ὦ χειρὸς φιλονεικοτέρας πυρός! ὦ χειρός, κάμπτεσθαι πυρὶ μὴ μαθούσης! ὦ πυρός, ἡττᾶσθαι χειρὶ διδαχθέντος! Σίδηρος τῇ τοῦ πυρὸς εἴκει τυραννίδι χαυνούμενος· χαλκὸς τῇ τοῦ πυρὸς παραχωρεῖ δυναστείᾳ· οἶδε τούτῳ καὶ λίθων ἀντιτυπία νικᾶσθαι. Ἀλλ' ὁ πάντα τοῦ πυρὸς βιαζόμενος τόνος, μάρτυρος τὴν δεξιὰν τεταμένην οὐκ ἔκαμψε κατακαίων.

3. Εἰκότως ἂν ὁ μάρτυς ἐπὶ τούτῳ πρὸς τὸν Δεσπότην βοήσειεν· «ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου»[1] καὶ «ἐν τῇ βουλῇ σου ὡδήγησάς με καὶ μετὰ δόξης προσελάβου με»[2]. Τί σε, ὦ γενναῖε τοῦ Χριστοῦ στρατιῶτα, προσείπω; Ἀνδριάντα καλέσω; Πολύ σε τῆς καρτερίας ἠλάττωσα. Τὸν μὲν γὰρ πῦρ μαλάττει δεξάμενον· σοῦ δὲ τὴν δεξιὰν ὀφθῆναι μόνον κινουμένην οὐκ ἔπεισεν. Ἂν σιδηροῦν ὀνομάσω καὶ τὴν τοιαύτην τῆς σῆς ἀνδρίας εὑρίσκω λειπομένην εἰκόνα. Σὺ γὰρ μόνος ἔπεισας φλόγα μὴ βιάζεσθαι χεῖρα· σὺ μόνος ἐκτήσω θυσιαστήριον δεξιάν· σὺ μόνος δεξιᾷ φλεγομένῃ τὰ τῶν δαιμόνων ἐρράπισας πρόσωπα καὶ τότε μὲν ἀπηνθρακωμένῃ χειρὶ τὰς ἐκείνων κεφαλὰς συγκατέτηξας· νῦν δὲ τεφρωθείσῃ ταύτῃ τὰς αὐτῶν στρατιὰς ἀποτυφλοῖς καταπατῶν. Ἀλλὰ τί παιδικοῖς ἐλαττῶ τὸν [489] ἀριστέα ψελλίσμασι; Ταῖς μεγαλοπρεπεστέραις τοίνυν τὸν εἰς αὐτὸν ὕμνον παραχωρήσωμεν γλώτταις· τὰς μεγαλοφωνοτέρας τῶν διδασκάλων ἐπ' αὐτῷ καλέσωμεν σάλπιγγας. Ἀνάστητέ μοι νῦν, ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι· τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν εἰκόνα ταῖς ὑμετέραις μεγαλύνατε τέχναις. Ἀμαυρότερον παρ' ἐμοῦ τὸν στεφανίτην γραφέντα τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. Ἀπέλθω τῇ τῶν ἀριστευμάτων τοῦ μάρτυρος παρ' ὑμῶν νενικημένος γραφῇ· χαίρω τὴν τοιαύτην τῆς ὑμετέρας ἰσχύος σήμερον νίκην ἡττώμενος. Ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ' ὑμῶν γραφομένην τὴν πάλην· ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας τὸν παλαιστὴν γεγραμμένον εἰκόνος. Κλαυσάτωσαν δαίμονες καὶ νῦν ταῖς τοῦ μάρτυρος ἐν ὑμῖν ἀριστείαις πληττόμενοι. Φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω. Ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Ψαλ. 72,23. 2. Ψαλ. 72,24.

ΟΜΙΛΙΑ ΙΗ'

ΕΙΣ ΓΟΡΔΙΟΝ ΤΟΝ ΜΑΡΤΥΡΑ

1. Νόμος ἐστὶ φύσεως ταῖς μελίσσαις μὴ ἀπαίρειν τῶν σίμβλων πρὶν ἂν ὁ βασιλεὺς αὐτῶν τῆς πτήσεως ἀφηγήσηται. Ἐπεὶ οὖν καὶ τὸν λαὸν Κυρίου εἶδον νῦν πρῶτον ἐπὶ τὰ οὐράνια ἄνθη, τοὺς μάρτυρας, ἐξιόντα, ζητῶ τὸν ἡγεμόνα. Τίς ὁ κινήσας τὸν πολὺν τοῦτον ἐσμόν; τίς ὁ τὴν χειμερινὴν κατήφειαν εἰς ἐαρινὴν φαιδρότητα μεταστήσας; Νῦν γὰρ δὴ πρῶτον ὁ λαός, οἱονεὶ σίμβλων τινῶν, τῆς πόλεως προχυθέντες, τὸν προπόλεον κόσμον, τὸ σεμνὸν τοῦτο καὶ πάγκαλον τῶν μαρτύρων στάδιον, πανδημεὶ κατειλήφασιν. Ἐπεὶ οὖν καὶ ἡμᾶς ἀναστῆσαν ἤγαγε τὸ θαῦμα τοῦ μάρτυρος, ἐκλαθομένους τῆς ἀσθενείας, δεῦρο δὴ καὶ αὐτοὶ τῇ κατὰ δύναμιν φωνῇ, οἷόν τινι ἄνθει τῶν τοῦ ἀνδρὸς ἔργων περιβομβήσωμεν, ὅσιά τε ποιοῦντες καὶ τοῖς παροῦσιν ἅμα κεχαρισμένα. «Ἐγκωμιαζομένου γὰρ δικαίου εὐφρανθήσονται λαοί»[1], ὁ σοφὸς ἡμῖν ἀρτίως ἔλεγε Σολομών. Καίτοιγε ἠπόρουν κατ' ἐμαυτόν, τί ποτε ἄρα βούλεται τῷ παροιμιαστῇ τὸ αἴνιγμα. Ἆρα, ὅτι, ῥήτορός τινος ἢ λογογράφου δεινοῦ συνθέντος λόγον πρὸς τὴν τῶν ἀκουόντων ἔκπληξιν, ἦχῳ τινὶ κεκομψευμένῳ κατακτυποῦντι τὰς ἀκοάς, εὐφραίνονται οἱ λαοί, τήν τε εὕρεσιν τῶν νοημάτων καὶ τὴν διάθεσιν καὶ τὸ τῆς λέξεως πομπικὸν καὶ **[492]** πρὸς ἁρμονίαν κεκροτημένον ἀποδεχόμενοι; Ἢ τοῦτο μὲν οὐκ ἂν εἰπέ ποτε ὁ μηδαμοῦ τῷ τοιούτῳ εἶδει τῶν λόγων χρησάμενος· οὐδ' ἂν προέτρεψεν ἡμᾶς πανηγυρικῶς ἐμπομπεύειν τοῖς ἐγκωμίοις τῶν μακαρίων ὁ τὸ πεζὸν τῆς λέξεως καὶ τὸ τῆς φωνῆς ἀκατάσκευον πανταχοῦ προτιμήσας. Τί οὖν ἐστιν, ὅ φησιν; Ὅτι εὐφραίνονται λαοὶ εὐφροσύνην πνευματικὴν ἐπὶ μόνῃ τῇ ὑπομνήσει τῶν τοῖς δικαίοις κατωρθωμένων, εἰς ζῆλον καὶ μίμησιν τῶν ἀγαθῶν, ἀφ' ὧν ἀκούουσιν, ἐναγόμενοι. Ἡ γὰρ τῶν εὐπολιτεύτων ἀνδρῶν ἱστορία οἷόν τι φῶς τοῖς σωζομένοις πρὸς τὴν τοῦ βίου ὁδὸν ἐμποιεῖ. Διότι ὁμοῦ τε ἠκούσαμεν διηγουμένου τοῦ Πνεύματος τὸν Μωυσέως βίον καὶ εὐθὺς ἡμᾶς ζῆλος εἰσῆλθε τῆς ἀρετῆς τοῦ ἀνδρὸς καὶ τὸ πρᾶον τοῦ τρόπου[2] ζηλωτὸν ἑκάστῳ καὶ μακαριστὸν κατεφάνη. Τοῖς μὲν γὰρ ἄλλοις ἀνθρώποις ἐκ τῆς τῶν λόγων αὐξήσεως συνίσταται τὰ ἐγκώμια· τοῖς δικαίοις δὲ ἀρκεῖ τῶν πεπραγμένων αὐτοῖς ἡ ἀλήθεια πρὸς τὸ δεῖξαι αὐτῶν τὸ ὑπερβάλλον τῆς ἀρετῆς. Ὥστε, ὅταν διηγώμεθα τοὺς βίους τῶν διαπρεψάντων ἐν εὐσεβείᾳ, δοξάζομεν πρῶτον τὸν Δεσπότην διὰ τῶν δούλων· ἐγκωμιάζομεν δὲ τοὺς δικαίους διὰ

---

1. Πρβλ. Παρμ. 29,2. 2. Πρβλ. Ἀριθ. 12,3.

τῆς μαρτυρίας ὧν ἴσμεν, εὐφραίνομεν δὲ τοὺς λαοὺς διὰ τῆς ἀκοῆς τῶν καλῶν. Προτροπὴ γὰρ πρὸς σωφροσύνην ὁ βίος τοῦ Ἰωσὴφ[1] καὶ πρὸς ἀνδρίαν παράκλησις τὰ τοῦ Σαμψὼν διηγήματα[2].

2. Οὐκ οἶδεν οὖν ἐγκωμίων νόμον τὸ θεῖον διδασκαλεῖον, ἀλλὰ τὴν μαρτυρίαν τῶν πεπραγμένων ἀντ' ἐγκωμίων λογίζεται, ὡς καὶ τοῖς ἁγίοις ἐξαρκοῦσαν πρὸς ἔπαινον καὶ τοῖς ὡρμημένοις πρὸς ἀρετὴν αὐτάρκη οὖσαν εἰς ὠφέλειαν. Ἐγκωμίων μὲν γὰρ νόμος πατρίδα διερευνᾶσθαι καὶ γένος ἀναζητεῖν καὶ ἀγωγὴν διηγεῖσθαι· ὁ δὲ ἡμέτερος νόμος, τοὺς τῶν γειτόνων λόγους κατασιγάσας, ἀπὸ τῶν ἰδίων ἑκάστου τὴν μαρτυρίαν πληροῖ. Τί γὰρ ἐγὼ παρὰ τοῦτο σεμνότερος, εἰ ἡ πόλις ποτὲ χαλεποὺς καὶ μεγάλους ἀγῶνας διενεγκοῦσα λαμπρὰ κατὰ τῶν πολεμίων ἀνέστησε τρόπαια; τί δέ, εἰ θέσεως εὐκαίρως ἔχει, ὡς πρὸς χειμῶνά τε εἶναι καὶ θέρος ἐπιτηδείαν; Εἰ δὲ καὶ ἡ αὐτὴ ἀνδρῶν τέ ἐστιν εὔφορος καὶ βοσκήματα τρέφειν αὐτάρκης, τί μοι ἐκ τούτων ὄφελος; Ἀλλὰ καὶ ταῖς τῶν ἵππων ἀγέλαις τῆς ὑφ' ἡλίῳ κρατεῖ. Τί οὖν ἡμᾶς δύναται ταῦτα τὴν ἀνθρωπείαν ἀρετὴν βελτίους ποιῆσαι; Ἢ που καὶ τὰς τοῦ γείτονος ὄρους κορυφὰς διηγούμενοι, ὡς ὑπερνεφεῖς τέ εἰσι καὶ ἐπὶ πολὺ τοῦ ἀέρος διανεστήκασιν, ἑαυτοὺς ἀπατήσομεν ὡς τοῖς ἀνδράσι διὰ τούτων ἐκπληροῦντες τὸν ἔπαινον; Πάντων ἐστὶ καταγελαστότατον ὅλου τοῦ κόσμου παρὰ τῶν δικαίων ὑπεροφθέντος, ἡμᾶς ἐξ ὀλίγων τῶν ἀτιμασθέντων πληροῦν αὐτοῖς τὰ ἐγκώμια. Ἀρκεῖ τοίνυν ἡ μνήμη πρὸς ὠφέλειαν διηνεκῆ. Οὐ γὰρ δὴ ἐκείνοις **[493]** χρεία προσθήκης εἰς εὐδοκίμησιν, ἀλλ' ἡμῖν τοῖς ἐν τῷ βίῳ ἀναγκαία ἡ μνήμη διὰ τὴν μίμησιν. Ὥσπερ γὰρ τῷ πυρὶ αὐτομάτως ἔπεται τὸ φωτίζειν καὶ τῷ μύρῳ τὸ εὐωδεῖν· οὕτω καὶ ταῖς ἀγαθαῖς πράξεσιν ἀναγκαίως ἀκολουθεῖ τὸ ὠφέλιμον. Καίτοι οὐδὲ τοῦτο μικρόν, ἀκριβῶς τυχεῖν τῆς ἀληθείας τῶν τότε. Ἀμυδρὰ γάρ τις φήμη πρὸς ἡμᾶς διεδόθη τὰς ἐπὶ τῶν ἀγώνων ἀνδραγαθίας τοῦ ἀνδρὸς διασώζουσα. Καί πως δοκεῖ τὸ καθ' ἡμᾶς τῷ τῶν ζωγράφων προσεοικέναι. Καὶ γὰρ ἐκεῖνοι, ἐπειδὰν ἐξ εἰκόνων μεταγράφωσι τὰς εἰκόνας, πλεῖστον, ὡς εἰκός, τῶν ἀρχετύπων ἀπολιμπάνονται· καὶ ἡμᾶς, αὐτῆς τῆς θέας τῶν πραγμάτων ἀπολειφθέντας, κίνδυνος οὐ μικρὸς τὴν ἀλήθειαν ἐλαττῶσαι. Ἀλλ' ἐπειδὴ ἐνέστηκεν ἡ ἡμέρα ὑπόμνησιν φέρουσα μάρτυρος, ἐπιφανῶς τοῖς ὑπὲρ Χριστοῦ μαρτυρίοις ἐναθλήσαντος, εἴπωμεν ὅσα οἴδαμεν. Οὗτος ἔφυ μὲν ἀπὸ τῆς πόλεως ταύτης, ὅθεν καὶ μᾶλλον αὐτὸν ἀγαπῶμεν, διότι οἰκεῖος ἡμῖν ὁ κόσμος ἐστίν. Ὥσπερ γὰρ τὰ εὔκαρπα τῶν φυτῶν, οὓς ἂν ἐκθρέψῃ καρπούς, τῇ οἰκείᾳ γῇ παρατίθεται, οὕτω καὶ οὗτος ἐκ τῶν λαγόνων τῆς ἡμετέρας ἀναδραμὼν καὶ πρὸς μήκιστον ὕψος τῆς δόξης διαναστάς, τῇ ἐνεγκούσῃ καὶ θρεψαμένῃ τῶν οἰκείων τῆς εὐσεβείας καρπῶν τὴν ἀπόλαυσιν ἐχαρίσατο. Καλοὶ μὲν γὰρ καὶ οἱ ἐκ τῆς ὑπερορίας καρποί, ὅταν ἠδεῖς τε ὦσι καὶ τρόφιμοι·

1. Πρβλ. Γεν. 39,8-9. 2. Πρβλ. Κριτ. 14,5 ἑξ.

πολλῷ μέντοι ἡδίους τῶν ἐπηλύδων οἱ ἡμεδαποὶ καὶ ἐγχώριοι, πρὸς τῇ ἀπολαύσει ἔτι καὶ καλλωπισμόν τινα ἡμῖν διὰ τῆς οἰκειότητος χαριζόμενοι. Ἐγκατειλεγμένος δὲ στρατείᾳ ἐπιφανεῖ, ὡς ἑκατὸν στρατιωτῶν ἀρχὴν πιστευθῆναι καὶ σώματος ῥώμῃ καὶ ψυχῆς ἀνδρείᾳ τοῖς στρατιωτικοῖς καταλόγοις ἐμπρέπων. Ἐπεὶ δὲ ὁ τότε τύραννος τὸ πικρὸν καὶ ἀνήμερον τῆς ψυχῆς μέχρι τοῦ πολέμου τῆς Ἐκκλησίας ἐξέτεινε καὶ ἦρε χεῖρα θεομάχον κατὰ τῆς εὐσεβείας, κηρύγματα δὲ ἦν πανταχοῦ καὶ διαγράμματα ἥπλωτο κατὰ πᾶσαν ἀγορὰν καὶ πάντα τόπον ἐπίσημον μὴ προσκυνεῖσθαι Χριστόν, ἢ θάνατον εἶναι τὴν ζημίαν τοῖς προσκυνοῦσι· καὶ πρόσταγμα ἦν ὑποκύπτειν εἰδώλοις ἅπαντας καὶ λίθους καὶ ξύλα χαράγματι τέχνης μεμορφωμένα θεοὺς ἡγεῖσθαι, ἢ τοὺς μὴ πειθομένους πάσχειν ἀνήκεστα· σύγχυσις δὲ ἦν καὶ ταραχὴ διὰ πάσης τῆς πόλεως καὶ λεηλασίαι κατὰ τῶν εὐσεβούντων· χρήματα διηρπάζετο, πληγαῖς τὰ τῶν φιλοχρίστων σώματα κατεξαίνετο, γυναῖκες εἵλκοντο διὰ μέσης τῆς πόλεως· οὐ νεότης ἐλεεινή, οὐ γῆρας αἰδέσιμον ἦν· **[496]** ἀλλ' οἱ μηδὲν ἀδικοῦντες τὰ τῶν κακούργων ὑπέμενον, ἐστενοχωρεῖτο τὰ δεσμωτήρια, ἔρημοι ἦσαν οἱ εὐθηνούμενοι τῶν οἴκων, αἱ δὲ ἐρημίαι πλήρεις τῶν φυγαδευομένων· ἔγκλημα δὲ ἦν τοῖς ταῦτα πάσχουσιν ἡ εὐσέβεια καὶ πατὴρ παρεδίδου παῖδα καὶ πατέρα υἱὸς κατεμήνυεν, ἀδελφοὶ κατ' ἀλλήλων ἐμαίνοντο καὶ δοῦλοι δεσπόταις ἑαυτῶν ἐπανίσταντο· δεινὴ δέ τις νὺξ κατειλήφει τὸν βίον, πάντων ἀγνοησάντων ἀλλήλους ἐκ τῆς τοῦ διαβόλου φρενοβλαβείας· κατεβάλλοντο μὲν οἶκοι προσευχῆς ὑπὸ χειρῶν ἀνοσίων, ἀνετρέπετο δὲ θυσιαστήρια καὶ οὐκ ἦν προσφορὰ οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι, ἀλλὰ κατήφεια δεινή, ὥσπερ τις νεφέλη, τὰ πάντα κατεῖχεν· ἀπελήλαντο μὲν οἱ τοῦ θείου θεραπευταί, διεπτόητο δὲ πᾶς τῆς εὐσεβείας θίασος, δαίμονες δὲ κατεχόρευον, κνίσσαις καὶ αἵμασι τὰ πάντα καταμιαίνοντες· τότε ὁ γενναῖος οὗτος προλαβὼν τὴν ἐκ τῶν δικαστηρίων ἀνάγκην, ῥίψας τὴν ζώνην, ὑπερόριος ἦν, ὑπεριδὼν δυναστείας, ὑπεριδὼν δόξης, πλούτου παντοδαποῦ, συγγενείας, φίλων, οἰκετῶν, ἀπολαύσεως βίου, πάντων ὅσα ἀνθρώποις ἐστὶ περισπούδαστα, πρὸς τὰς βαθυτάτας καὶ ἀνθρώποις ἀβάτους ἐρημίας ἀπέδραμε, τὸν μετὰ τῶν θηρίων βίον τῆς πρὸς τοὺς εἰδωλολατροῦντας κοινωνίας ἡμερώτερον ἡγησάμενος, κατὰ τὸν ζηλωτὴν Ἠλίαν· ὅς, ὅτε εἶδεν ἐπικρατοῦσαν τὴν εἰδωλολατρίαν τῆς Σιδωνίας, ἐπὶ τὸ ὄρος ἀνέδραμε τὸ Χωρὴβ καὶ ἐν τῷ σπηλαίῳ διῆγεν, ἐκζητῶν τὸν Θεόν, ἕως εἶδε τὸν περιπόθητον, ὡς ἰδεῖν ἀνθρώπῳ Θεὸν δυνατόν[1].

3. Τοιοῦτος οὖν ἦν καὶ ὁ Γόρδιος, ἀποφυγὼν θορύβους πολιτικούς, ὄχλον ἀγοραῖον, ἀρχοντικοὺς τύφους, τὰ δικαστήρια, τοὺς συκοφάντας, τοὺς πωλοῦντας, τοὺς ὠνουμένους, τοὺς ὀμνύοντας, τοὺς ψευδομένους, τὴν αἰσχρολογίαν, τὴν εὐτραπελίαν, τἄλλα ὅσα, ὥσπερ

1. Πρβλ. Γ' Βασ. 19,1 ἑξ.

ἐφόλκια, αἱ πολυάνθρωποι τῶν πόλεων ἐπισύρονται. Καθαρεύων τὰ ὦτα, καθαρεύων τοὺς ὀφθαλμούς· καὶ πρό γε πάντων τὴν καρδίαν κεκαθαρμένος, ἵνα Θεὸν ἰδεῖν δυνηθῇ καὶ μακάριος γένηται· εἶδε δι' ἀποκαλύψεων, ἐδιδάχθη τὰ μυστήρια, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων, ἀλλ' ἔχων τὸν μέγαν διδάσκαλον τὸ Πνεῦμα τῆς ἀληθείας. Ὅθεν ἐλθὼν εἰς ἔννοιαν τοῦ βίου, ὡς ἀνωφελής, ὡς μάταιος, ὡς ὀνείρου παντὸς καὶ σκιᾶς ἀδρανέστερος, ἠρεθίσθη σφοδρότερον πρὸς τὴν ἐπιθυμίαν τῆς ἄνω κλήσεως. Καὶ οἷον ἀθλητής, αἰσθόμενος ἑαυτοῦ ἱκανῶς γυμνασθέντος καὶ ἀλειψαμένου πρὸς τὸν ἀγῶνα, ταῖς νηστείαις, ταῖς ἀγρυπνίαις, ταῖς προσευχαῖς, τῇ διηνεκεῖ καὶ ἀπαύστῳ μελέτῃ τῶν λογίων τοῦ Πνεύματος, τηρήσας τὴν ἡμέραν ταύτην, ἐν ᾗ πανδημεὶ πᾶσα ἡ πόλις ἑορτὴν ἄγουσα φιλοπο[497]λέμῳ δαίμονι κατειλήφει θέατρον, ἀγῶνα ἱππικὸν θεωμένη. Ἐπεὶ οὖν πᾶς ὁ δῆμος ἄνω συνείλεκτο, οὐκ Ἰουδαῖος ἀπῆν, οὐχ Ἕλλην· καὶ Χριστιανῶν δὲ πλῆθος οὐκ ὀλίγον αὐτοῖς συνανεφύρετο, οἱ ἀφυλάκτως βιοῦντες καὶ καθήμενοι μὲν μετὰ συνεδρίου ματαιότητος, μὴ ἐκκλίνοντες δὲ συστροφὰς πονηρευομένων, οἳ καὶ τότε παρῆσαν θεαταὶ τοῦ τάχους τῶν ἵππων καὶ τῆς ἐμπειρίας τῶν ἡνιόχων· ἀλλὰ καὶ δούλους ἀνῆκαν δεσπόται καὶ παῖδες ἐκ διδασκαλείων πρὸς τὴν θέαν ἔτρεχον, παρῆν δὲ καὶ γυναικῶν ὅσον δημῶδες καὶ ἄσημον, πλῆρες δὲ ἦν τὸ στάδιον καὶ πάντες ἤδη πρὸς τὴν θέαν τῆς τῶν ἵππων ἁμίλλης ἦσαν συντεταμένοι· τότε δὴ ὁ γενναῖος ἐκεῖνος καὶ μέγας τὴν ψυχήν, μέγας τὸ φρόνημα, ἄνωθεν ἐκ τῶν ὀρέων ἐπικαταβὰς τῷ θεάτρῳ, οὐ κατεπλάγη τὸν δῆμον, οὐκ ἐλογίσατο πόσαις χερσὶ πολεμίαις ἑαυτὸν παραδίδωσιν· ἀλλ' ἀτρόμῳ τῇ καρδίᾳ καὶ γαύρῳ τῷ φρονήματι, οἱονεὶ πέτρας συνεχεῖς, ἢ δένδρα πολλά, τοὺς τὸ στάδιον περικαθημένους παραδραμών, εἰς τὸ μέσον κατέστη, βεβαιῶν τὸν λόγον, ὅτι «δίκαιος ὡς λέων πέποιθε»[1]. Καὶ οὕτως ἀπτόητος ἦν τὴν ψυχήν, ὥστε, ἐν περιφανεῖ τοῦ θεάτρου γενόμενος, ἀτρέπτῳ τῇ παρρησίᾳ ἐξεβόησε τὴν φωνὴν ἐκείνην, ἧς μέχρι τοῦ νῦν εἰσί τινες οἱ ἀκούσαντες· «εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι»[2]· δηλῶν διὰ τούτων, ὅτι οὐ πρὸς ἀνάγκην ἦχθη πρὸς τοὺς κινδύνους, ἀλλ' ἑκουσίως ἐπέδωκεν ἑαυτὸν τῷ ἀγῶνι, μιμησάμενος τὸν Δεσπότην, ὃς ἐν τῷ σκότει τῆς νυκτὸς ἀγνοούμενος τοῖς Ἰουδαίοις ἑαυτὸν κατεμήνυσεν.

4. Εὐθὺς μὲν οὖν ἐπέστρεφε τὸ θέατρον τῷ παραδόξῳ τῆς θέας, ἀνὴρ ἀπηγριωμένος τὴν ὄψιν, διὰ τὴν χρονίαν ἐν τοῖς ὄρεσι δίαιταν αὐχμηρὰν ἔχων τὴν κεφαλήν, βαθὺς τὴν ὑπήνην, τὴν ἐσθῆτα ῥυπῶν, κατεσκληκὼς ἅπαν τὸ σῶμα, βακτηρίαν φέρων καὶ πήραν ἐνημμένος· οἷς πᾶσιν ἐπέπρεπέ τις χάρις ἐκ τοῦ ἀφανοῦς αὐτὸν περιλάμπουσα. Ὡς δ' οὖν ἐγνώσθη ὅστις ἐστίν, εὐθὺς βοὴ συμμιγὴς παρὰ πάντων ἤρθη, τῶν μὲν οἰκείων τῆς πίστεως ὑπὸ περιχαρείας

1. Παρμ. 28,1. 2. Ἡσ. 65,1.

κροτούντων, τῶν δὲ πολεμούντων τῇ ἀληθείᾳ εἰς τὸν κατ' αὐτοῦ φόνον τὸν δικαστὴν παρορμώντων καὶ προκαταδικαζόντων εἰς θάνατον. Πάντα δ' οὖν βοῆς καὶ θορύβου πεπλήρωτο· παρώφθησαν μὲν ἵπποι, παρώφθησαν δὲ ἡνίοχοι· ἡ δὲ τῶν ἁρμάτων ἐπίδειξις ψόφος μάταιος ἦν. Οὐδενὸς γὰρ ἐσχόλαζεν ὀφθαλμὸς ἄλλο τι βλέπειν ἢ Γόρδιον, οὔτε τις ἀκοὴ ἄλλο τι ἠνείχετο ἀκούειν ἢ **[500]** τὰ ἐκείνου ῥήματα. Καὶ θροῦς τις ἄσημος, οἷον αὔρα, διὰ παντὸς τοῦ θεάτρου διεξιών, τὸν ἱππόδρομον ὑπερήχει. Ἐπεὶ δὲ διὰ τῶν κηρύκων σιωπῇ τῷ δήμῳ ὑπεσημάνθη, ἐκοιμήθησαν μὲν αὐλοί, κατεσιγάσθησαν δὲ ὄργανα πολυαρμόνια· ἠκούετο Γόρδιος, ἐθεωρεῖτο Γόρδιος. Καὶ εὐθὺς ἀνάρπαστος ἦν πρὸς τὸν ἄρχοντα αὐτοῦ που καθήμενον καὶ τὸν ἀγῶνα διατιθέντα. Τέως μὲν οὖν παρεῖα καὶ ἡμέρῳ φωνῇ τίς καὶ πόθεν εἴη διεπυνθάνετο. Ὡς δὲ εἶπε τὴν πατρίδα, τὸ γένος, τὸ εἶδος τοῦ ἀξιώματος ἐν ᾧ ἦν, τὴν αἰτίαν τῆς φυγῆς, τὴν ἐπάνοδον, ὅτι πάρειμι, ἔργῳ καὶ τὴν τῶν ὑμετέρων προσταγμάτων καταφρόνησιν καὶ τὴν εἰς Θεόν, ἐφ' ὃν ἤλπισα, πίστιν ἐπιδειξόμενος· καὶ γὰρ ἤκουσά σε, φησί, πολλῶν διαφέρειν τῇ ἀγριότητι· ὡς οὖν ἐπιτήδειόν μοι τὸν καιρὸν τοῦτον εἰς τὸ πληρωθῆναί μου τὴν ἐπιθυμίαν ἐξελεξάμην. Τούτοις τοῖς λόγοις τὸν θυμὸν τοῦ ἄρχοντος ὡς πῦρ ἀναφλέξας, ὅλην ἤγειρεν ἐφ' ἑαυτὸν τοῦ ἀνδρὸς τὴν μανίαν. Καί, κάλει, φησί, δημίους. Ποῦ δὲ αἱ μολυβίδες; ποῦ δὲ αἱ μάστιγες; Ἐπὶ τροχοῦ κατατεινέσθω, ἐπὶ τοῦ ξύλου στρεβλούσθω, φερέσθω τὰ κολαστήρια· τὰ θηρία, τὸ πῦρ, τὸ ξίφος, ὁ σταυρός, ὁ βόθρος εὐτρεπιζέσθω. Ἀλλὰ γὰρ οἷα κερδαίνει, φησίν, ἅπαξ μόνον ἀποθνήσκων ὁ ἀλιτήριος; Οἷα μὲν οὖν ζημιοῦμαι, ὑποφθάσας εἶπεν ὁ Γόρδιος, μὴ δυνάμενος ὑπὲρ Χριστοῦ πολλάκις ἀποθανεῖν! Ὁ δὲ πρὸς τῇ ἐκ φύσεως ἀγριότητι, ἔτι χαλεπώτερος ἦν πρὸς τὸ ἀξίωμα τοῦ ἀνδρὸς ἀποβλέπων, οἰκείαν ἀτιμίαν ἡγούμενος τὸ νεανικὸν τῆς διανοίας ἀνάστημα. Καὶ ὅσῳ μᾶλλον ἑώρα τὴν καρδίαν ἀπτόητον, τοσούτῳ μειζόνως ἠξηγριοῦτο καὶ φιλονεικότερος ἦν νικῆσαι τὴν ἔνστασιν τοῦ ἀνδρὸς τῇ ἐπινοίᾳ τῶν ἀλγεινῶν. Καὶ ὁ μὲν ταῦτα.

5. Ὁ δὲ πρὸς τὸν Θεὸν ἀποβλέπων, ἐκ τῶν ἱερῶν Ψαλμῶν κατεπῇδεν ἑαυτοῦ τῇ ψυχῇ, λέγων· «Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος»[1]· καὶ τό· «οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ»[2]· καὶ ὅσα συγγενῆ τούτοις, πρὸς ἀνδρίαν παρακαλοῦντα, ἐκ τῶν θείων λογίων δεδιδαγμένος ἦν· ὅς γε τοσοῦτον ἀπεῖχεν εἶξαι τοῖς ἀπειλουμένοις καὶ ὑποπτῆξαι, ὥστε καὶ προεκαλεῖτο ἐφ' ἑαυτὸν τὰ δεινά. Τί μέλλετε; φησί· τί ἑστήκατε; Ξαινέσθω σῶμα, στρεβλούσθω μέλη· βασανιζέσθω ὡς ἂν ἐθέλητε. Μή μοι βασκήνητε τῆς μακαρίας ἐλπίδος. Ὅσῳ γὰρ ἂν ἐπιτείνητε τὰ δεινά, τοσούτῳ μείζονά μοι τὴν ἀντίδοσιν προξενεῖτε. Συναλλάγματα ἡμῖν ἐστι ταῦτα

1. Ψαλ. 117,6. 2. Ψαλ. 22,4.

πρὸς τὸν Δεσπότην. **[501]** Ἀντὶ τῶν μωλώπων, τῶν ἐπανισταμένων τῷ σώματι, φωτεινὸν ἔνδυμα ἡμῖν ἐν τῇ ἀναστάσει ἐπανθήσει· ἀντὶ τῆς ἀτιμίας στέφανοι, ἀντὶ δεσμωτηρίου παράδεισος, ἀντὶ τῆς μετὰ τῶν κακούργων καταδίκης ἡ μετ' ἀγγέλων διαγωγή. Σπείρατε πολλὰ ἐν ἐμοὶ ἵνα θερίσω πολλαπλασίονα. Ὡς δὲ τοῖς φοβεροῖς ἐλεῖν αὐτὸν οὐκ ἠδύνατο καὶ τὸ πρᾶγμα ἀμήχανον ἦν, μεταβαλόντες ἐθώπευον. Τοιαύτη γὰρ ἡ τοῦ διαβόλου μεθοδεία· τὸν δειλὸν ἐκπλήσσει, τὸν ἀνδρεῖον μαλάσσει. Ὁποῖα ἦν καὶ τὰ τότε τεχνάσματα τοῦ κακούργου. Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν οὐκ ἐνδιδόντα ταῖς ἀπειλαῖς, ἀπάταις αὐτὸν καὶ δελεάσμασι περιελθεῖν ἐπειρᾶτο. Καὶ δωρεὰς καθυπισχνεῖτο, τὰς δὲ ἐδίδου καὶ ἄλλας παρὰ βασιλέως ἥξειν διηγγυᾶτο, τὴν ἐν στρατείᾳ περιφάνειαν, χρημάτων πόρους, πᾶν ὅ τι ἂν βούλοιτο.

6. Ἐπειδὴ δὲ ἀπετύγχανε τῆς πείρας (ἀκούσας γὰρ τῶν ὑποσχέσεων ὁ μακάριος, κατεγέλασεν αὐτοῦ τῆς ἀνοίας, εἴ τι νομίζοι βασιλείας οὐρανῶν ἀντάξιον δώσειν), τότε δὴ ἀφόρητος ἦν τῷ θυμῷ καὶ ξίφος ἐγύμνου καὶ τὸν δήμιον παρεστήσατο καὶ χειρὶ καὶ γλώσσῃ μιαιφονῶν θανάτῳ κατεδίκαζε τὸν μακάριον. Μετέβαινε δὲ πᾶν τὸ θέατρον ἐπὶ τὸν τόπον τοῦτον· καὶ ὅσον λειπόμενον ἦν τῶν οἰκητόρων, ἐκχυθὲν πρὸ τοῦ τείχους, ἑώρα τὸ μέγα ἐκεῖνο καὶ ἐναγώνιον θέαμα, τὸ θαυμαστὸν καὶ ἀγγέλοις καὶ πάσῃ τῇ κτίσει, ὀδυνηρὸν τῷ διαβόλῳ καὶ φοβερὸν δαίμοσιν. Ἐκενώθη τῶν οἰκητόρων ἡ πόλις, ὥσπερ τινὸς ῥεύματος, τοῦ πλήθους ἁθρόως ἐπὶ τὸν τόπον τοῦτον μεταρρυέντος. Οὐ γυνὴ κατεδέξατο τῆς θέας ἀπολειφθῆναι, οὐκ ἀνὴρ ἀφανὴς ἢ ἐπίσημος. Ἐξέλειπον τὰς φυλακὰς τῶν οἴκων οἱ φύλακες· ἄκλειστα μὲν ἦν τῶν ἐμπόρων τὰ ἐργαστήρια· διέρριπτο δὲ κατὰ τὴν ἀγορὰν τὰ ὤνια· μία δὲ πάντων φυλακὴ καὶ ἀσφάλεια, τὸ πάντας ὁμοίως ὑπεξελθεῖν καὶ μηδὲ κακοῦργον ἐναπομεῖναι τῇ πόλει. Κατέλειπον δοῦλοι δεσποτῶν θεραπείας· καὶ ὅσον ξένον τοῦ δήμου καὶ ὅσον ἐγχώριον, ὧδε παρῆν πρὸς τὸν ἄνδρα. Τότε καὶ παρθένος ὄψεως ἀρρένων κατατολμήσασα καὶ πρεσβύτης καὶ ἄρρωστος τὴν ἀσθένειαν βιασάμενοι, ἔξω τοῦ τείχους ἦσαν. Ἤδη δὲ ὁρμῶντα πρὸς τὴν διὰ τοῦ θανάτου ζωὴν τὸν μακάριον περιστάντες οἱ ἐπιτήδειοι, περιεπτύσσοντο, ποτνιώμενοι καὶ τὰ τελευταῖα κατασπαζόμενοι· καὶ θερμὸν ἐπ' αὐτῷ δάκρυον ἀφιέντες, ἱκέτευον μὴ παραδοῦναι ἑαυτὸν τῷ πυρί, μὴ παραναλῶσαι ἑαυτοῦ τὴν νεότητα, μὴ καταλιπεῖν τὸν γλυκὺν τοῦτον ἥλιον. Ἄλλοι δὲ συμβουλαῖς πιθαναῖς ἐπειρῶντο παραλογίζεσθαι· ῥήματι μόνῳ εἰπὲ τὴν ἄρνησιν, ψυχῇ δὲ ἔχε τὴν πίστιν ὡς ἂν ἐθέλῃς. Πάντως οὐχὶ τῇ γλώσσῃ προσ-**[504]** έχει Θεός, ἀλλὰ τῇ διανοίᾳ τοῦ φθεγγομένου. Οὕτω γὰρ ὑπάρξει σοι καὶ τὸν κριτὴν ἐκμειλίξασθαι καὶ τὸν Θεὸν ἐξιλεώσασθαι.

7. Ὁ δὲ ἄκαμπτος ἦν καὶ ἀδάμαστος καὶ πάσῃ προσβολῇ πειρατηρίων ἄτρωτος. Εἰκάσαις ἂν αὐτοῦ τῆς διανοίας τὸ ἄσειστον τῇ οἰκίᾳ τοῦ φρονίμου, ἣν οὔτε ἀνέμων ἀφόρητοι βίαι, οὔτε λάβρον

ὕδωρ ἐκ νεφῶν καταρρηγνύμενον, οὔτε χαράδραι περιρρηγνύμεναι, διὰ τὴν ἐκ τῆς πέτρας ἀσφάλειαν, διασαλεῦσαι δύνανται[1]. Τοιοῦτος ἦν ὁ ἀνήρ, ἀσάλευτον τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως διασώζων. Βλέπων τοῖς πνευματικοῖς ὀφθαλμοῖς περιτρέχοντα τὸν διάβολον καὶ τὸν μὲν κινοῦντα πρὸς δάκρυον, τῷ δὲ συνεργοῦντα πρὸς πιθανότητα· τοῖς μὲν κλαίουσιν εἶπε τὸ τοῦ Κυρίου ῥῆμα· «μὴ κλαίετε ἐπ' ἐμοί»[2]· ἀλλὰ κλαύσατε ἐπὶ τοὺς θεομάχους, τοὺς τὰ τοιαῦτα τολμῶντας κατὰ τῶν εὐσεβούντων, τοὺς διὰ τῆς φλογὸς ταύτης, ἣν καθ' ἡμῶν καίουσιν, ἑαυτοῖς τῆς γεέννης τὸ πῦρ θησαυρίζοντας. Παύσασθε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν. Ἐγὼ γὰρ οὐ μόνον ἅπαξ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ[3], ἀλλὰ καὶ μυριάκις, ἐὰν οἷόν τε ᾖ. Τοῖς δὲ τὴν διὰ τῆς γλώσσης ἄρνησιν συμβουλεύουσι τοσοῦτον ἀπεκρίνατο, ὅτι οὐκ ἀνέχεται ἡ γλῶσσα κτισθεῖσα παρὰ Χριστοῦ φθέγξασθαί τι κατὰ τοῦ κτίσαντος. Καρδίᾳ γὰρ πιστεύομεν εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογοῦμεν εἰς σωτηρίαν[4]. Μὴ γὰρ ἀπεγνωσμένον ἐστὶ πρὸς σωτηρίαν τὸ στρατιωτικὸν τάγμα; μὴ γὰρ οὐδεὶς ἑκατόνταρχος εὐσεβής; Μέμνημαι τοῦ πρώτου ἑκατοντάρχου, ὃς, παρεστὼς τῷ σταυρῷ τοῦ Χριστοῦ, ἐκ τῶν θαυμάτων τὴν δύναμιν ἐπιγνούς, ἔτι θερμοῦ τοῦ τολμήματος ὄντος τῶν Ἰουδαίων, οὐκ ἐφοβήθη τὸν θυμὸν αὐτῶν, οὐδὲ μὴν ὑπεστάλη ἀναγγεῖλαι τὴν ἀλήθειαν, ἀλλ' ὡμολόγησε καὶ οὐκ ἠρνήσατο, ὅτι «ἀληθῶς Θεοῦ Υἱὸς ἦν»[5]. Οἶδα καὶ ἄλλον ἑκατόνταρχον, ἐν σαρκὶ ἔτι τὸν Κύριον ἐπιγνόντα, ὅτι Θεός ἐστι καὶ βασιλεὺς τῶν δυνάμεων καὶ προστάγματι μόνῳ διὰ τῶν λειτουργικῶν πνευμάτων ἱκανὸς ἐξαποστέλλειν τὰς βοηθείας τοῖς δεομένοις· οὗ καὶ τὴν πίστιν ὁ Κύριος μείζονα εἶναι παντὸς τοῦ Ἰσραὴλ ἀπεφήνατο[6]. Κορνήλιος δὲ οὐχί, ἑκατόνταρχος ὤν, τῆς ὀπτασίας ἠξιώθη τῆς τοῦ ἀγγέλου καὶ τὸ τελευταῖον διὰ τοῦ Πέτρου τῆς σωτηρίας ἔτυχεν; Αἱ γὰρ ἐλεημοσύναι αὐτοῦ καὶ αἱ δεήσεις εἰσηκούσθησαν παρὰ τῷ Θεῷ[7]. Ἐκείνων εἶναι βούλομαι μαθητής. Πῶς οὖν ἀρνήσομαι τὸν Θεόν **[505]** μου, ὃν ἐκ παιδὸς προσεκύνησα; Οὐχὶ δὲ φρίξει ὁ οὐρανὸς ἄνωθεν; οὐ συσκοτάσει δὲ ἐπ' ἐμοὶ τὰ ἄστρα, ἡ γῆ δέ με ὑποστήσεται ὅλως; «Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται»[8]. Ἐκ τοῦ στόματος ἡμᾶς τοῦ ἡμετέρου κρίνει[9], ἐκ τῶν λόγων δικαιοῖ καὶ ἐκ τῶν λόγων καταδικάζει[10]. Οὐκ ἀνέγνωτε τὴν φοβερὰν ἀπειλὴν τοῦ Κυρίου; ὅτι «ὃς ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς»[11];

8. Ἀντὶ τίνος δέ με καὶ ταῦτα σοφίζεσθαι συμβουλεύετε; Ἵνα τί ἐμαυτῷ ἐκ τῆς τοιαύτης καταπράξωμαι τέχνης; ἵνα μικρὰς ἡμέρας

1. Πρβλ. Ματθ. 7,24-25. 2. Πρβλ. Λουκ. 23,28. 3. Πρβλ. Πράξ. 21,13. 4. Πρβλ. Ρωμ. 10,10. 5. Ματθ. 27,54. 6. Πρβλ. Ματθ. 8,8-10. 7. Πρβλ. Πράξ. 10,1 ἑξ. 8. Γαλ. 6,7. 9. Πρβλ. Λουκ. 19,22. 10. Πρβλ. Ματθ. 12,37. 11. Ματθ. 10,33.

κερδήσω; Ἀλλ' αἰῶνα ὅλον ζημιωθήσομαι. Ἵνα φύγω τῆς σαρκὸς τὰ ἐπίπονα; Ἀλλ' οὐκ ὄψομαι τὰ ἀγαθὰ τῶν δικαίων. Μανία σαφὴς μετὰ τέχνης ἀπόλλυσθαι, μετὰ πανουργίας καὶ δόλου τὴν αἰωνίαν κόλασιν ἑαυτῷ πραγματεύεσθαι. Ἀλλὰ καὶ ὑμῖν συμβουλεύω. Εἰ μὲν κακῶς φρονεῖτε, μεταμάθετε τὴν εὐσέβειαν· εἰ δὲ καθυποκρίνεσθε τὸν καιρόν, «ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν»[1]. Εἴπατε· «ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός»[2]. Ταύτην γὰρ τὴν φωνὴν πᾶσα ἀφήσει γλῶσσα, ὅταν «ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων»[3]. Θνητοὶ πάντες ἄνθρωποι, μάρτυρες δὲ ὀλίγοι. Μὴ ἀναμείνωμεν γενέσθαι νεκροί, ἀλλ' ἀπὸ ζωῆς εἰς ζωὴν μεταβῶμεν. Τί τὸν αὐτόματον ἐκδέχεσθε θάνατον; Ἄκαρπός ἐστιν, ἀκερδής, κοινὸς κτηνῶν καὶ ἀνθρώπων. Τὸν γὰρ διὰ γενέσεως εἰς τὸν βίον ἐλθόντα ἢ χρόνος ἀνάλωσεν, ἢ νόσος διέλυσεν, ἢ βιαιότεραι συμπτωμάτων ἀνάγκαι διέφθειραν. Ἐπεὶ οὖν δεῖ πάντως ἀποθανεῖν τὴν ζωὴν ἑαυτοῖς διὰ τοῦ θανάτου πραγματευσώμεθα. Ἑκούσιον ποιήσατε τὸ κατηναγκασμένον. Μὴ φείδεσθε ζωῆς, ἧς ἀναγκαία ἡ στέρησις. Καίτοι εἰ καὶ τὸ διαρκὲς ὅμοιον εἶχε τὰ γήινα, σπουδάζειν ἐχρῆν διαμείβειν αὐτὰ πρὸς τὰ οὐράνια· εἰ δὲ καὶ ὀλιγοχρόνια καὶ τῇ ἀξίᾳ τοσοῦτον ἀπολειπόμενα, παραπληξία δεινὴ τῇ περὶ ταῦτα σπουδῇ τῶν ἐν ταῖς ἐλπίσιν ἀποκειμένων μακαρισμῶν ἐκπίπτειν. Ταῦτα εἰπὼν καὶ ἑαυτῷ τὸν τύπον τοῦ σταυροῦ περιγράψας, ἐχώρει πρὸς τὴν πληγήν, οὐδὲν παρατρέψας τοῦ χρώματος, οὐδ' ἀλλοιώσας τι τῆς τοῦ προσώπου φαιδρότητος. Διέκειτο γὰρ οὐχ ὡς δημίῳ ἐντεύξεσθαι μέλλων, ἀλλ' ὡς ἀγγέλων χερσὶν ἑαυτὸν παραθήσεσθαι, οὓς εὐθὺς αὐτὸν νεοσφαγῆ παραλαβόντας πρὸς τὴν μακαρίαν ζωὴν μεταθήσειν, ὥσπερ τὸν Λάζαρον. Τίς ἐκείνου τοῦ δήμου τὴν βοὴν διηγήσεται; Ποία βροντὴ τοσοῦτον ἐκ νεφῶν ἦχον ἐπαφῆκε τῇ γῇ, ὅσος ἐκ τῶν κάτω τότε πρὸς οὐρανὸν ἀνεδόθη; Τοῦτό ἐστι τὸ στάδιον **[508]** ἐκείνου τοῦ στεφανίτου. Αὕτη ἐπεῖδεν ἡ ἡμέρα τὸ θαυμαστὸν ἐκεῖνο θέαμα, ὃ οὐκ ἠμαύρωσεν ὁ χρόνος, οὐδὲ ἐξέλυσεν ἡ συνήθεια· οὐκ ἐνίκησεν ἡ τῶν ἐπιγινομένων ὑπερβολή. Ὥσπερ γὰρ τὸν ἥλιον ἀεὶ καθορῶντες, ἀεὶ θαυμάζομεν, οὕτω καὶ τοῦ ἀνδρὸς ἐκείνου ἀεὶ νεαρὰν τὴν μνήμην ἔχομεν. «Εἰς μνημόσυνον» γὰρ «αἰώνιον ἔσται δίκαιος»[4] καὶ παρὰ τοῖς ἐπὶ γῆς, ἕως ἐστὶν ἡ γῆ, καὶ ἐν τοῖς οὐρανοῖς καὶ παρὰ τῷ δικαίῳ κριτῇ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Ἐφ. 4,25. 2. Φιλιπ. 2,11. 3. Φιλιπ. 2,10. 4. Ψαλ. 111,6.

ΟΜΙΛΙΑ ΙΘ'

ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΜΑΡΤΥΡΑΣ

1. Μαρτύριον μνήμης τίς ἂν γένοιτο κόρος τῷ φιλομάρτυρι; διότι ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην εὐνοίας. Δῆλον γὰρ ὅτι ὁ τοὺς γενναίους ἄνδρας ἀποδεχόμενος ἐν τοῖς ὁμοίοις καιροῖς οὐκ ἀπολειφθήσεται τῆς μιμήσεως. Μακάρισον γνησίως τὸν μαρτυρήσαντα, ἵνα γένῃ μάρτυς τῇ προαιρέσει καὶ ἐκβῇς χωρὶς διωγμοῦ, χωρὶς πυρός, χωρὶς μαστίγων, τῶν αὐτῶν ἐκείνοις μισθῶν ἠξιωμένος. Ἡμῖν δὲ οὐχ ἕνα πρόκειται θαυμάζειν, οὐδὲ δύο μόνους, οὐδὲ μέχρι δεκάδος ὁ ἀριθμὸς πρόεισι τῶν μακαριζομένων· ἀλλὰ τεσσαράκοντα ἄνδρες, ὡς μίαν ψυχὴν ἐν διῃρημένοις σώμασιν ἔχοντες, ἐν μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τῆς πίστεως, μίαν καὶ τὴν πρὸς τὰ δεινὰ καρτερίαν καὶ τὴν ὑπὲρ τῆς ἀληθείας ἔνστασιν ἐπεδείξαντο. Πάντες παραπλήσιοι ἀλλήλοις, ἴσοι τὴν γνώμην, ἴσοι τὴν ἄθλησιν. Διὸ καὶ ὁμοτίμων τῶν στεφάνων τῆς δόξης κατηξιώθησαν. Τίς ἂν οὖν ἐφίκοιτο λόγος τῆς τούτων ἀξίας; Οὐδὲ τεσσαράκοντα γλῶσσαι ἐξήρκεσαν ἂν τοσούτων ἀνδρῶν ἀρετὴν ἀνυμνῆσαι. Καίτοι, εἰ καὶ εἷς ἦν ὁ θαυμαζόμενος, τήν γε τῶν ἡμετέρων λόγων δύναμιν ἐξήρκει καταπαλαῖσαι, μὴ ὅτι πλῆθος τοσοῦτον, φάλαγξ στρατιωτική, σύστημα δυσκαταγώνιστον, ὁμοίως ἔν τε πολέμοις ἀήττητον καὶ ἐν ἐπαίνοις ἀπρόσιτον.

2. Δεῦρο δὴ οὖν, εἰς μέσον αὐτοὺς ἀγαγόντες διὰ τῆς ὑπομνήσεως, κοινὴν τὴν ἀπ' αὐτῶν ὠφέλειαν τοῖς παροῦσι καταστησώμεθα, προδείξαντες πᾶσιν, ὥσπερ ἐν γραφῇ, τὰς τῶν ἀνδρῶν ἀριστείας. Ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα καὶ λογογράφοι **[509]** πολλάκις καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ διακοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες καὶ πολλοὺς ἐπήγειραν πρὸς ἀνδρίαν ἑκάτεροι. Ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας διὰ τῆς ἀκοῆς παρίστησι, ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσιν. Οὕτω δὴ καὶ ἡμεῖς ἀναμνήσωμεν τῆς ἀρετῆς τῶν ἀνδρῶν τοὺς παρόντας καὶ οἱονεὶ ὑπ' ὄψιν αὐτῶν ἀγαγόντες τὰς πράξεις, κινήσωμεν πρὸς τὴν μίμησιν τοὺς γενναιοτέρους καὶ οἰκειοτέρους αὐτοῖς τὴν προαίρεσιν. Τοῦτο γάρ ἐστι μαρτύρων ἐγκώμιον, ἡ πρὸς ἀρετὴν παράκλησις τῶν συνειλεγμένων. Οὐδὲ γὰρ καταδέχονται νόμοις ἐγκωμίων δουλεύειν οἱ περὶ τῶν ἁγίων λόγοι. Διότι οἱ εὐφημοῦντες ἐκ τῶν τοῦ κόσμου ἀφορμῶν τὰς ἀρχὰς τῶν εὐφημιῶν λαμβάνουσιν· οἷς δὲ ὁ κόσμος ἐσταύρωται, πῶς δύναταί τι τῶν ἐν αὐτῷ ἀφορμὴν παρέχειν εἰς περιφάνειαν; Οὐκ ἦν μία πατρὶς τοῖς ἁγίοις, ἄλλος γὰρ ἀλλαχόθεν ὥρμητο.

Τί οὖν; ἀπόλιδας αὐτοὺς εἴπωμεν, ἢ τῆς οἰκουμένης πολίτας; Ὥσπερ γὰρ ἐν ταῖς τῶν ἐράνων συνεισφοραῖς τὰ παρ' ἑκάστου καταβληθέντα κοινὰ τῶν εἰσενεγκάντων γίνεται, οὕτω καὶ ἐπὶ τῶν μακαρίων τούτων ἡ ἑκάστου πατρὶς κοινὴ πάντων ἐστὶ καὶ πάντες εἰσὶ πανταχόθεν ἀντιδιδόντες ἀλλήλοις τὰς ἐνεγκούσας. Μᾶλλον δὲ τί δεῖ τὰς χαμαὶ κειμένας περιζητεῖν, ἐξὸν τὴν νῦν αὐτῶν πόλιν, ἥτις ἐστίν, ἐννοεῖν; Πόλις τοίνυν μαρτύρων ἡ πόλις ἐστὶ τοῦ Θεοῦ[1], «ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός»[2], ἡ ἄνω Ἱερουσαλὴμ ἡ ἐλευθέρα, ἡ μήτηρ Παύλου καὶ τῶν ἐκείνῳ παραπλησίων. Γένος δὲ τὸ μὲν ἀνθρώπινον, ἄλλο ἄλλου· τὸ δὲ πνευματικὸν ἓν ἁπάντων. Κοινὸς γὰρ αὐτῶν πατὴρ ὁ Θεὸς καὶ ἀδελφοὶ πάντες, οὐκ ἀπὸ ἑνὸς καὶ μιᾶς γεννηθέντες, ἀλλ' ἐκ τῆς υἱοθεσίας τοῦ Πνεύματος εἰς τὴν διὰ τῆς ἀγάπης ὁμόνοιαν ἀλλήλοις συναρμοσθέντες. Χορὸς ἕτοιμος, προσθήκη μεγάλη τῶν ἀπ' αἰῶνος δοξαζόντων τὸν Κύριον, οὐ καθ' ἕνα συναθροισθέντες, ἀλλ' ἀθρόως μετατεθέντες. Τίς δὲ ὁ τρόπος τῆς μεταθέσεως; Οὗτοι μεγέθει σώματος καὶ ἡλικίας ἀκμῇ καὶ δυνάμει τῶν καθ' ἑαυτοὺς ἁπάντων διενεγκόντες, εἰς τοὺς στρατιωτικοὺς τελεῖν ἐτάχθησαν καταλόγους, καὶ δι' ἐμπειρίαν πολεμικὴν καὶ ἀνδρίαν ψυχῆς, ἤδη τὰς πρώτας εἶχον παρὰ βασιλέων τιμάς, ὀνομαστοὶ παρὰ πᾶσιν ὄντες δι' ἀρετήν.

3. Ἐπειδὴ δὲ περιηγγέλη τὸ ἄθεον ἐκεῖνο καὶ ἀσεβὲς κήρυγμα, μὴ ὁμολογεῖν τὸν Χριστόν, ἢ κινδύνους **[512]** ἐκδέχεσθαι, ἠπειλεῖτο δὲ πᾶν εἶδος κολάσεως καὶ πολὺς ὁ θυμὸς καὶ θηριώδης παρὰ τῶν κριτῶν τῆς ἀδικίας κατὰ τῶν εὐσεβούντων κεκίνητο, ἐπιβουλαὶ δὲ καὶ δόλοι κατ' αὐτῶν συνερράπτοντο καὶ ποικίλα εἴδη βασάνων ἐπετηδεύετο καὶ οἱ αἰκιζόμενοι ἀπαραίτητοι, τὸ πῦρ ἕτοιμον, τὸ ξίφος ἠκόνητο, ὁ σταυρὸς ἐπεπήγει, ὁ βόθρος, ὁ τροχός, αἱ μάστιγες, οἱ μὲν ἔφευγον, οἱ δὲ ὑπέκυπτον, οἱ δὲ ἐσαλεύοντο, τινὲς δὲ πρὸ τῆς πείρας μόνην τὴν ἀπειλὴν κατεπλάγησαν, ἕτεροι δέ, ἐγγὺς γενόμενοι τῶν δεινῶν, ἰλιγγίασαν, ἄλλοι δέ, τοῖς ἀγῶσιν ἐμβάντες, εἶτα διαρκέσαι πρὸς τὸ πέρας τῶν πόνων ἀδυνατήσαντες, περὶ τὰ μέσα που τῆς ἀθλήσεως ἀπειπόντες, ὥσπερ οἱ ἐν πελάγει χειμαζόμενοι καὶ ἃ εἶχον ἤδη ἀγώγιμα τῆς ὑπομονῆς ἐναυάγησαν, τότε δὴ οὗτοι, οἱ ἀήττητοι καὶ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται, παρελθόντες εἰς μέσους, ἐπιδεικνύντος τοῦ ἄρχοντος τὰ βασιλέως γράμματα καὶ τὴν ὑπακοὴν ἀπαιτοῦντος, ἐλευθέρᾳ τῇ φωνῇ, εὐθαρσῶς καὶ ἀνδρείως, οὐδὲν ὑποπτήξαντες τῶν ὁρωμένων, οὐδὲ καταπλαγέντες τὰ ἀπειλούμενα, Χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν. Ὦ μακάριαι γλῶσσαι, ὅσαι τὴν ἱερὰν ἐκείνην ἀφῆκαν φωνήν, ἣν ἀὴρ μὲν δεξάμενος ἡγιάσθη, ἄγγελοι δὲ ἀκούσαντες ἐπεκρότησαν, διάβολος δὲ μετὰ δαιμόνων ἐτραυματίσθη, Κύριος δὲ ἐν οὐρανοῖς ἀπεγράψατο.

---

1. Πρβλ. Ἑβρ. 12,22. 2. Ἑβρ. 11,10.

4. Εἶπον τοίνυν ἕκαστος εἰς τὸ μέσον παριών· Χριστιανός εἰμι. Καὶ ὥσπερ ἐν τοῖς σταδίοις οἱ ἐπ' ἄθλησιν παροδεύοντες ὁμοῦ τε λέγουσιν ἑαυτῶν τὰ ὀνόματα καὶ ἐπὶ τὸν τόπον τῆς ἀγωνίας μεθίστανται· οὕτω δὴ καὶ οὗτοι τότε, ῥίψαντες τὰς ἀπὸ γενέσεως αὐτοῖς ἐπιφημισθείσας προσηγορίας, ἀπὸ τοῦ κοινοῦ Σωτῆρος ἕκαστος ἑαυτὸν ἀνηγόρευον. Καὶ τοῦτο ἐποίουν ἅπαντες, τῷ προλαβόντι ἑαυτὸν συνάπτων ὁ ἐφεξῆς. Ὥστε ἐγένετο πάντων προσηγορία μία· οὐκέτι γὰρ ὁ δεῖνα, ἢ ὁ δεῖνα, ἀλλὰ Χριστιανοὶ πάντες ἀνεκηρύττοντο. Τί οὖν ὁ κρατῶν τότε; Δεινὸς γὰρ ἦν καὶ ποικίλος, τὰ μὲν θωπείαις ὑπελθεῖν, τὰ δὲ ἀπειλαῖς παρατρέψαι. Πρῶτον μὲν αὐτοὺς κατεγοήτευε ταῖς θωπείαις, τὸν τόνον τῆς εὐσεβείας παραλύειν πειρώμενος. Μὴ προδῶτε ὑμῶν τὴν νεότητα· μηδὲ θάνατον ἄωρον τῆς ἡδείας ταύτης ζωῆς διαμείψητε. Ἄτοπον γὰρ τοὺς ἐν τοῖς πολέμοις ἀριστεύειν συνειθισμένους τὸν τῶν κακούργων θάνατον ἀποθνήσκειν. Πρὸς τούτοις χρήματα ὑπισχνεῖτο. Τὰ δὲ ἐδίδου, τιμὰς ἐκ βασιλέως καὶ ἀξιωμάτων **[513]** διανομὰς καὶ μυρίαις αὐτοὺς ἐπινοίαις κατεστρατήγει. Ὡς δὲ οὐκ ἐνεδίδοσαν πρὸς τὴν πεῖραν ταύτην, ἐπὶ τὸ ἕτερον εἶδος τῆς μηχανῆς μετῆει. Πληγὰς αὐτοῖς καὶ θανάτους καὶ κολάσεων ἀνηκέστων πεῖραν ἐπανετείνετο. Καὶ ὁ μὲν τοιαῦτα, τὰ δὲ τῶν μαρτύρων ὁποῖα; Τί, φησί, δελεάζεις ἡμᾶς, ὦ θεομάχε, ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος καὶ δουλεύειν δαίμοσιν ὀλεθρίοις, προτεινόμενος ἡμῖν τὰ σὰ ἀγαθά; Τί τοσοῦτον δίδως, ὅσον ἀφελέσθαι σπουδάζεις; Μισῶ δωρεὰν ζημίας πρόξενον· οὐ δέχομαι τιμὴν ἀτιμίας μητέρα. Χρήματα δίδως τὰ ἀπομένοντα, δόξαν τὴν ἀπανθοῦσαν. Γνώριμον ποιεῖς βασιλεῖ, ἀλλὰ τοῦ ὄντος βασιλέως ἀλλοτριοῖς. Τί μικρολόγως ὀλίγα τῶν ἐκ τοῦ κόσμου προτείνεις; Ὅλος ἡμῖν ὁ κόσμος καταπεφρόνηται. Οὐκ ἔστιν ἡμῖν τῆς ἐπιθυμουμένης ἐλπίδος ἀντάξια τὰ ὁρώμενα. Ὁρᾷς τὸν οὐρανὸν τοῦτον, ὡς καλὸς ἰδεῖν, ὡς δὲ μέγας; καὶ τὴν γῆν, ἡλίκη; καὶ τὰ ἐν αὐτῇ θαύματα; Οὐδὲν τούτων ἐξισοῦται τῇ μακαριότητι τῶν δικαίων. Ταῦτα μὲν γὰρ παρέρχεται· τὰ δὲ ἡμέτερα μένει. Μιᾶς ἐπιθυμῶ δωρεᾶς, τοῦ στεφάνου τῆς δικαιοσύνης· περὶ μίαν δόξαν ἐπτόημαι, τὴν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Φιλότιμός εἰμι πρὸς τὴν ἄνω τιμήν· κόλασιν δέδοικα τὴν ἐν τῇ γεέννῃ. Πῦρ ἐκεῖνό μοι φοβερόν· τὸ δὲ παρ' ὑμῶν ἀπειλούμενον ὁμόδουλόν ἐστιν. Οἶδεν αἰδεῖσθαι τοὺς εἰδώλων καταφρονοῦντας. Βέλη νηπίων λογίζομαι τὰς πληγὰς ὑμῶν. Σῶμα γὰρ τύπτεις· ὅπερ, ἐὰν μὲν ἐπὶ πλεῖον ἀντίσχῃ, λαμπρότερον στεφανοῦται, ἐὰν δὲ θᾶττον ἀπαγορεύσῃ, οἴχεται ἀπαλλαγὲν δικαστῶν οὕτω βιαίων, οἳ, σωμάτων ὑπηρεσίαν παραλαβόντες, ἔτι καὶ τῶν ψυχῶν κατάρχειν φιλονικεῖτε· οἵ γε, εἰ μὴ καὶ τοῦ Θεοῦ ἡμῶν προτιμηθείητε ὡς τὰ ἔσχατα ὑβρισμένοι παρ' ἡμῶν, χαλεπαίνετε καὶ τὰς φοβερὰς ταύτας κολάσεις ἐπανατείνεσθε, ἔγκλημα ἡμῖν ἐπάγοντες τὴν εὐσέβειαν. Ἀλλὰ γὰρ οὐ δειλοῖς, οὐδὲ φιλοζώοις, οὐδ' εὐκαταπλήκτοις ἐντεύξεσθε ὑπὲρ

τῆς εἰς Θεὸν ἀγάπης. Οἶδε ἡμεῖς καὶ τροχίζεσθαι καὶ στρεβλοῦσθαι καὶ καταπίμπρασθαι καὶ πᾶν εἶδος βασανιστηρίων ἕτοιμοι καταδέχεσθαι.

5. Ἐπεὶ δὲ τούτων ἤκουσεν ὁ ἀλαζὼν ἐκεῖνος καὶ βάρβαρος, οὐκ ἐνεγκὼν τῶν ἀνδρῶν τὴν παρρησίαν, ὑπερζέσας τῷ θυμῷ, ἐσκόπει τίνα ἂν ἐξεύροι μηχανήν, ὥστε μακρόν τε αὐτοῖς καὶ πικρὸν ὁμοῦ κατασκευάσαι τὸν θάνατον. Εὗρε δὴ οὖν ἐπίνοιαν καὶ σκοπεῖτε ὡς χαλεπήν. Περισκεψάμενος γὰρ τὴν φύσιν τῆς χώρας, ὅτι κρυμώδης καὶ τὴν ὥραν τοῦ ἔτους, ὅτι χειμέριος, νύκτα ἐπιτηρήσας ἐν ᾗ μάλιστα τὸ **[516]** δεινὸν ἐπιτείνεται, ἄλλως δὲ καὶ τότε βορέου αὐτὴν ἐπιπνέοντος, ἐκέλευσε πάντας γυμνωθέντας ὑπὸ τὸ αἴθριον ἐν μέσῃ τῇ πόλει πηγνυμένους ἀποθανεῖν. Πάντως δὲ ἴστε, οἱ πεπειραμένοι χειμῶνος, ὡς ἀφόρητόν ἐστι τῆς βασάνου τὸ εἶδος. Οὐδὲ γὰρ δυνατὸν ἄλλοις ἐνδείξασθαι ἢ τοῖς προαποκείμενα ἔχουσιν ἐκ τῆς πείρας αὐτῆς τῶν λεγομένων τὰ ὑποδείγματα. Σῶμα γὰρ κρύει παραπεσὸν πρῶτον μὲν ὅλον ἐστὶ πελιδνόν, πηγνυμένου τοῦ αἵματος· ἔπειτα κλονεῖται καὶ ἀναβράσσεται, ὀδόντων ἀρασσομένων, σπωμένων δὲ τῶν ἰνῶν καὶ παντὸς τοῦ ὄγκου ἀπροαιρέτως συνελκομένου. Ὀδύνη δέ τις δριμεῖα καὶ πόνος ἄρρητος αὐτῶν καθικνούμενος τῶν μυελῶν, δυσφορωτάτην ποιεῖται τοῖς πηγνυμένοις τὴν αἴσθησιν. Ἔπειτα ἀκρωτηριάζεται, ὥσπερ ἀπὸ πυρός, καιομένων τῶν ἄκρων. Ἀποδιωκόμενον γὰρ τὸ θερμὸν ἀπὸ τῶν περάτων τοῦ σώματος καὶ συμφεῦγον ἐπὶ τὸ βάθος, τὰ μέν, ὅθεν ἀπέστη, νεκρὰ καταλείπει, τὰ δέ, ἐφ' ἃ συνωθεῖται, ὀδύναις δίδωσι, κατὰ μικρὸν τοῦ θανάτου διὰ τῆς πήξεως προσιόντος. Τότε τοίνυν αἴθριοι διανυκτερεύειν κατεδικάσθησαν, ὅτε λίμνη μέν, περὶ ἣν ἡ πόλις κατῴκισται, ἐν ᾗ ταῦτα διήθλουν οἱ ἅγιοι, οἷόν τι πεδίον ἱππήλατον ἦν, μεταποιήσαντος αὐτὴν τοῦ κρυστάλλου· καὶ ἠπειρωθεῖσα τῷ κρύει, ἀσφαλῶς ὑπὲρ νῶτον πεζεύειν παρείχετο τοῖς περιοίκοις· ποταμοὶ δὲ ἀένναα ῥέοντες, τῷ κρυστάλλῳ δεθέντες, τῶν ῥείθρων ἔστησαν· ἥ τε ἁπαλὴ τοῦ ὕδατος φύσις πρὸς τὴν τῶν λίθων ἀντιτυπίαν μετεποιήθη· βορέου δὲ δριμεῖαι πνοαὶ τὸ ἔμψυχον ἅπαν ἐπὶ τὸν θάνατον ἤπειγον.

6. Τότε τοίνυν ἀκούσαντες τοῦ προστάγματος (καὶ σκόπει μοι ἐνταῦθα τῶν ἀνδρῶν τὸ ἀήττητον), μετὰ χαρᾶς ἀπορρίψαντες ἕκαστος καὶ τὸν τελευταῖον χιτῶνα, πρὸς τὸν διὰ τοῦ κρύους ἐχώρουν θάνατον, ὥσπερ ἐν σκύλων διαρπαγῇ ἀλλήλοις ἐγκελευόμενοι. **[517]** Μὴ γὰρ ἱμάτιον, φησίν, ἀποδυόμεθα, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα, «τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης»[1]. Εὐχαριστοῦμεν σοι, Κύριε, τῷ ἱματίῳ τούτῳ τὴν ἁμαρτίαν συναποβάλλοντες. Ἐπειδὴ διὰ τὸν ὄφιν ἐνεδυσάμεθα[2], διὰ τὸν Χριστὸν ἐκδυσώμεθα. Μὴ ἀντισχώμεθα ἱματίων διὰ τὸν παράδεισον ὃν ἀπωλέσαμεν.

1. Ἐφ. 4,22. 2. Πρβλ. Γεν. 3,21.

Τί ἀνταποδῶμεν τῷ Κυρίῳ[1]; Ἐξεδύθη ἡμῶν καὶ ὁ Κύριος. Τί μέγα δούλῳ τὰ τοῦ Δεσπότου παθεῖν; Μᾶλλον δὲ καὶ αὐτὸν τὸν Κύριον ἡμεῖς ἐσμεν οἱ ἐκδύσαντες[2]. Στρατιωτῶν γὰρ ἐκεῖνο τὸ τόλμημα, ἐκεῖνοι ἐξέδυσαν καὶ «διεμερίσαντο τὰ ἱμάτια»[3]. Ἀνάγραπτον οὖν ἡμῶν κατηγορίαν δι' ἑαυτῶν ἀπαλείψωμεν. Δριμὺς ὁ χειμών, ἀλλὰ γλυκὺς ὁ παράδεισος· ἀλγεινὴ ἡ πῆξις, ἀλλ' ἡδεῖα ἡ ἀνάπαυσις. Μικρὸν ἀναμείνωμεν καὶ ὁ κόλπος ἡμᾶς θάλψει τοῦ πατριάρχου. Μιᾶς νυκτὸς ὅλον αἰῶνα ἀνταλλαξώμεθα. Καυθήτω ὁ ποῦς, ἵνα διηνεκῶς μετ' ἀγγέλων χορεύῃ· ἀπορρυήτω ἡ χείρ, ἵνα ἔχῃ παρρησίαν πρὸς τὸν Δεσπότην ἐπαίρεσθαι. Πόσοι τῶν στρατιωτῶν τῶν ἡμετέρων ἐπὶ παρατάξεως ἔπεσον, βασιλεῖ φθαρτῷ τὴν πίστιν φυλάττοντες; ἡμεῖς δὲ ὑπὲρ τῆς εἰς τὸν ἀληθινὸν βασιλέα πίστεως τὴν ζωὴν ταύτην οὐ προησόμεθα; Πόσοι τὸν τῶν κακούργων ὑπέστησαν θάνατον, ἁλόντες ἐπ' ἀδικήμασιν; ἡμεῖς δὲ ὑπὲρ δικαιοσύνης τὸν θάνατον οὐχ ὑποίσομεν; Μὴ ἐκκλίνωμεν, ὦ συστρατιῶται, μὴ δῶμεν νῶτα τῷ διαβόλῳ. Σάρκες εἰσί, μὴ φεισώμεθα· ἐπειδὴ δεῖ πάντως ἀποθανεῖν, ἀποθάνωμεν ἵνα ζήσωμεν. «Γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου»[4], Κύριε· καὶ προσδεχθείημεν, ὡς «θυσία ζῶσα»[5], εὐάρεστός σοι, τῷ κρύει τούτῳ ὁλοκαυτούμενοι, καλὴ ἡ προσφορά, καινὸν τὸ ὁλοκάυτωμα, οὐ διὰ πυρός, ἀλλὰ διὰ κρύους ὁλοκαρπούμενον. Τούτους τοὺς παρακλητικοὺς ἐνδιδόντες ἀλλήλοις καὶ ἄλλος ἄλλῳ ἐγκελευόμενοι, ὥσπερ τινὰ προφυλακὴν ἐν πολέμῳ πληροῦντες, τὴν νύκτα παρέπεμπον, φέροντες τὰ παρόντα γενναίως, χαίροντες τοῖς ἐλπιζομένοις, καταγελῶντες τοῦ ἀντιπάλου. Μία δὲ ἦν **[520]** πάντων εὐχή. Τεσσαράκοντα εἰσήλθομεν εἰς τὸ στάδιον, οἱ τεσσαράκοντα στρεφανωθείημεν, Δέσποτα. Μὴ λείψῃ τῷ ἀριθμῷ μηδὲ εἷς. Τίμιός ἐστιν, ὃν ἐτίμησας τῇ νηστείᾳ τῶν τεσσαράκοντα ἡμερῶν[6], δι' οὗ νομοθεσία εἰσῆλθεν εἰς τὸν κόσμον[7]. Τεσσαράκοντα ἡμέραις ἐν νηστείᾳ Ἠλίας[8] ἐκζητήσας τὸν Κύριον, τῆς θέας ἔτυχεν. Καὶ ἡ μὲν ἐκείνων εὐχὴ τοιαύτη· εἷς δὲ τοῦ ἀριθμοῦ, ὀκλάσας πρὸς τὰ δεινά, λειποτακτήσας ᾤχετο, πένθος ἀμύθητον τοῖς ἁγίοις καταλιπών. Ἀλλ' οὐ γὰρ ἀφῆκεν αὐτῶν ἀτελεῖς γενέσθαι τὰς δεήσεις ὁ Κύριος. Ὁ γὰρ τὴν φυλακὴν τῶν μαρτύρων πεπιστευμένος, ἐγγύθεν ἀπό τινος γυμνασίου διαθαλπόμενος, ἀπεσκόπει τὸ μέλλον, ἕτοιμος προσδέχεσθαι τῶν στρατιωτῶν τοὺς προσφεύγοντας. Καὶ γὰρ αὖ καὶ τοῦτο, ἐγγύθεν εἶναι λουτρόν, ἐπενοήθη, ὀξεῖαν τὴν βοήθειαν τοῖς μεταβαλλομένοις ἐπαγγελλόμενον. Ὅπερ μέντοι τοῖς ἐναντίοις κακούργως ἐπενοήθη, τοιοῦτον ἐξευρεῖν τῆς ἀθλήσεως τόπον, ἐν ᾧ τὸ ἕτοιμον τῆς παραμυθίας ἐκλύειν ἔμελλε τῶν ἀγωνιζομένων τὴν ἔνστασιν· τοῦτο λαμπροτέραν

---

1. Πρβλ. Ψαλ. 115,3. 2. Πρβλ. Ματθ. 27,28. 3. Ματθ. 27,35. 4. Δαν. 3,40. 5. Ρωμ. 12,1. 6. Πρβλ. Ματθ. 4,2. 7. Πρβλ. Ἐξ. 34,28. 8. Πρβλ. Γ' Βασ. 19,8.

ἐδείκνυε τὴν ὑπομονὴν τῶν μαρτύρων. Οὐ γὰρ ὁ ἀπορῶν τῶν ἀναγκαίων καρτερικός, ἀλλ' ὁ ἐν ἀφθονίᾳ τῆς ἀπολαύσεως ἐγκαρτερῶν τοῖς δεινοῖς.

7. Ὡς δὲ οἱ μὲν ἠγωνίζοντο, ὁ δὲ ἐπετήρει τὸ ἐκβησόμενον, εἶδε θέαμα ξένον, δυνάμεις τινὰς ἐξ οὐρανῶν κατιούσας, καὶ οἷον παρὰ βασιλέως δωρεὰς μεγάλας διανεμούσας τοῖς στρατιώταις· αἱ τοῖς μὲν ἄλλοις πᾶσι διήρουν τὰ δῶρα, ἕνα δὲ μόνον ἀφῆκαν ἀγέραστον, ἀνάξιον κρίνασαι τῶν οὐρανίων τιμῶν· ὃς εὐθὺς πρὸς τοὺς πόνους ἀπαγορεύσας, πρὸς τοὺς ἐναντίους ἀπηυτομόλησεν. Ἐλεεινὸν θέαμα τοῖς δικαίοις ὁ στρατιώτης φυγάς, ὁ ἀριστεὺς αἰχμάλωτος, τὸ Χριστοῦ πρόβατον θηριάλωτον· καὶ τό γε ἐλεεινότερον, ὅτι καὶ τῆς αἰωνίου ζωῆς διήμαρτε καὶ οὐδὲ ταύτης ἀπήλαυσεν, εὐθὺς αὐτῷ τῆς σαρκὸς ἐν τῇ προσβολῇ τῆς θέρμης διαλυθείσης. Καὶ ὁ μὲν φιλόζωος ἔπεσεν ἀνομήσας διακενῆς· ὁ δὲ δήμιος, ὡς εἶδεν αὐτὸν ἐκκλίναντα καὶ πρὸς τὸ βαλανεῖον ἀποδραμόντα, ἑαυτὸν εἰς τὴν τοῦ λειποτακτήσαντος χώραν ἀντικατέστησε καὶ ῥίψας τὰ περιβόλαια, τοῖς γυμνοῖς ἑαυτὸν ἐγκατέμιξε, κράζων τὴν αὐτὴν βοὴν τοῖς ἁγίοις· Χριστιανός εἰμι. Καὶ τῷ ἀθρόῳ τῆς μεταβολῆς ἐκπλήξας τοὺς συμπαρόντας, τόν τε ἀριθμὸν ἀνεπλήρωσε καὶ τὴν ἐπὶ τῷ καταμαλακισθέντι λύπην τῇ παρ' ἑαυτοῦ προσθήκῃ παρεμυθήσατο, μιμησάμενος τοὺς ἐπὶ παρατάξεως, οἳ, τοῦ κατὰ τὴν πρώτην ἀσπίδα πεσόντος, εὐθὺς ἀναπληροῦσι τὴν φάλαγγα, ὡς μὴ τὸν συνασπισμὸν αὐτοῖς διακοπῆναι τῷ λείποντι. Τοιοῦτον δή τι καὶ αὐτὸς ἐποίησεν. Εἶδε τὰ οὐράνια θαύματα, ἐπέγνω τὴν **[521]** ἀλήθειαν, προσέφυγε τῷ Δεσπότῃ, συνηριθμήθη τοῖς μάρτυσι. Τὰ τῶν μαθητῶν ἀνενεώσατο. Ἀπῆλθεν Ἰούδας καὶ ἀντεισήχθη Ματθίας[1]. Μιμητὴς ἐγένετο Παύλου, ὁ χθὲς διώκτης, σήμερον εὐαγγελιζόμενος[2]. Ἄνωθεν ἔσχε καὶ αὐτὸς τὴν κλῆσιν, «οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπου»[3]. Ἐπίστευσεν εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐβαπτίσθη εἰς αὐτόν, οὐχ ὑπὸ ἄλλου, ἀλλ' ὑπὸ τῆς οἰκείας πίστεως· οὐκ ἐν ὕδατι, ἀλλ' ἐν τῷ ἰδίῳ αἵματι.

8. Καὶ οὕτως, ἡμέρας ἀρχομένης, ἔτι ἐμπνέοντες τῷ πυρὶ παρεδόθησαν καὶ τὰ τοῦ πυρὸς λείψανα ἐπὶ τὸν ποταμὸν ἀπερρίφη, ὥστε διὰ πάσης τῆς κτίσεως διεξελθεῖν τῶν μακαρίων τὴν ἄθλησιν. Ἐπὶ τῆς γῆς ἠγωνίσαντο, τῷ ἀέρι ἐνεκαρτέρησαν, τῷ πυρὶ παρεδόθησαν, τὸ ὕδωρ αὐτοὺς ὑπεδέξατο. Ἐκείνων ἐστὶν ἡ φωνή· «διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν»[4]. Οὗτοί εἰσιν οἱ τὴν καθ' ἡμᾶς χώραν διαλαβόντες, οἱονεὶ πύργοι τινὲς συνεχεῖς, ἀσφάλειαν ἐκ τῆς τῶν ἐναντίων καταδρομῆς παρεχόμενοι, οὐχ ἑνὶ τόπῳ ἑαυτοὺς κατακλείσαντες, ἀλλὰ πολλοῖς ἤδη ἐπιξενωθέν-

1. Πρβλ. Πράξ. 1,26. 2. Πρβλ. Πράξ. 9,20. 3. Γαλ. 1,1. 4. Ψαλ. 65,12.

τες χωρίοις καὶ πολλὰς πατρίδας κατακοσμήσαντες. Καὶ τὸ παράδοξον, οὐ καθ' ἕνα διαμερισθέντες τοῖς δεχομένοις ἐπιφοιτῶσιν, ἀλλ' ἀναμιχθέντες ἀλλήλοις, ἡνωμένως χορεύουσιν. Ὢ τοῦ θαύματος! Οὔτε ἐλλείπουσι τῷ ἀριθμῷ, οὔτε πλεονασμὸν ἐπιδέχονται. Ἐὰν εἰς ἕκαστον αὐτοὺς διέλῃς, τὸν οἰκεῖον ἀριθμὸν οὐκ ἐκβαίνουσιν· ἐὰν εἰς ἓν συναγάγῃς, τεσσαράκοντα καὶ οὕτω μένουσι, κατὰ τὴν τοῦ πυρὸς φύσιν. Καὶ γὰρ ἐκεῖνο καὶ πρὸς τὸν ἐξάπτοντα μεταβαίνει καὶ ὅλον ἐστὶ παρὰ τῷ ἔχοντι· καὶ οἱ τεσσαράκοντα καὶ πάντες εἰσὶν ὁμοῦ καὶ πάντες εἰσὶ παρ' ἑκάστῳ. Ἡ ἄφθονος εὐεργεσία, ἡ μὴ δαπανωμένη χάρις· ἑτοίμη βοήθεια Χριστιανοῖς, ἐκκλησία μαρτύρων, στρατὸς τροπαιοφόρων, χορὸς δοξολογούντων. Πόσα ἂν ἔκαμες, ἵνα ἕνα που εὗ[524]ρῃς ὑπὲρ σοῦ δυσωποῦντα τὸν Κύριον; Τεσσαράκοντά εἰσι, σύμφωνον ἀναπέμποντες προσευχήν. Ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου, ἐκεῖ ἐστιν ἐν μέσῳ αὐτῶν[1]. Ὅπου δὲ τεσσαράκοντα, τίς ἀμφιβάλλει Θεοῦ παρουσίαν; Ὁ θλιβόμενος ἐπὶ τοὺς τεσσαράκοντα καταφεύγει, ὁ εὐφραινόμενος ἐπ' αὐτοὺς ἀποτρέχει· ὁ μέν, ἵνα λύσιν εὕρῃ τῶν δυσχερῶν· ὁ δέ, ἵνα φυλαχθῇ αὐτῷ τὰ χρηστότερα. Ἐνταῦθα γυνὴ εὐσεβὴς ὑπὲρ τέκνων εὐχομένη καταλαμβάνεται, ἀποδημοῦντι ἀνδρὶ τὴν ἐπάνοδον αἰτουμένη, ἀρρωστοῦντι τὴν σωτηρίαν. Μετὰ μαρτύρων γενέσθω τὰ αἰτήματα ὑμῶν. Οἱ νεανίσκοι τοὺς ἡλικιώτας μιμείσθωσαν· οἱ πατέρες, τοιούτων εἶναι παίδων πατέρες εὐχέσθωσαν· αἱ μητέρες, καλῆς μητρὸς διήγημα διδαχθήτωσαν. Μήτηρ ἑνὸς τῶν μακαρίων ἐκείνων, θεασαμένη τοὺς ἄλλους ἤδη τῷ κρύει τελειωθέντας, τὸν δὲ ἑαυτῆς υἱὸν ἔτι ἐμπνέοντα ὑπό τε ῥώμης καὶ τῆς πρὸς τὰ δεινὰ καρτερίας, καταλιμπανόντων αὐτὸν τῶν δημίων ὡς δυνάμενόν γε μεταβουλεύσασθαι, αὐτὴ ταῖς οἰκείαις χερσὶν ἀραμένη, ἐπέθηκε τῇ ἀμάξῃ, ἐφ' ἧς οἱ λοιποὶ συγκείμενοι πρὸς τὴν πυρὰν ἤγοντο, μάρτυρος ὄντως μήτηρ. Οὐ γὰρ δάκρυον ἀφῆκεν ἀγεννές· οὐδ' ἐφθέγξατο ταπεινόν τι καὶ ἀνάξιον τοῦ καιροῦ· ἀλλ', ἄπιθι, φησίν, ὦ παῖ, τὴν ἀγαθὴν πορείαν μετὰ τῶν ἡλικιωτῶν, μετὰ τῶν συσκήνων· μὴ ἀπολειφθῇς τῆς χορείας· μὴ δεύτερος τῶν ἄλλων ἐμφανισθῇς τῷ Δεσπότῃ. Ὄντως ἀγαθῆς ῥίζης ἀγαθὸν βλάστημα. Ἔδειξεν ἡ γενναία μήτηρ, ὅτι δόγμασιν εὐσεβείας ἐξέθρεψεν αὐτὸν μᾶλλον ἢ γάλακτι. Καὶ ὁ μὲν οὕτω τραφείς, οὕτω προεπέμφθη παρὰ μητρὸς εὐσεβοῦς· ὁ δὲ διάβολος ἀπῆλθε κατηισχυμμένος. Ἅπασαν γὰρ ἐπ' αὐτοὺς κινήσας τὴν κτίσιν, πάντα εὗρεν ἡττώμενα τῆς τῶν ἀνδρῶν ἀρετῆς, νύκτα δυσήνεμον, πατρίδα χειμέριον, τὴν ὥραν τοῦ ἔτους, τῶν σωμάτων τὴν γύμνωσιν. Ὢ χορὸς ἅγιος! ὦ σύνταγμα ἱερόν! ὦ συνασπισμὸς ἀρραγής! ὦ κοινοὶ φύλακες τοῦ γένους τῶν ἀνθρώπων! ἀγαθοὶ κοινωνοὶ φροντίδων, δεήσεως συνεργοί, πρεσβευταὶ δυνατώτατοι, ἀστέρες τῆς οἰκου-

1. Πρβλ. Ματθ. 18,20.

μένης, ἄνθη τῶν Ἐκκλησιῶν. Ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο· ἠνοίγησαν ὑμῖν παραδείσου πύλαι. Ἄξιον θέαμα τῇ στρατιᾷ τῶν ἀγγέλων, ἄξιον πατριάρχαις, προφήταις, δικαίοις, ἄνδρες ἐν αὐτῷ τῷ ἄνθει τῆς νεότητος, τοῦ βίου καταφρονήσαντες, ὑπὲρ γονεῖς, ὑπὲρ τέκνα τὸν Κύριον ἀγαπήσαντες. Αὐτὸ τῆς ἡλικίας ἄγοντες τὸ **[525]** βιώσιμον, ὑπερεῖδον τῆς προσκαίρου ζωῆς, ἵνα δοξάσωσι τὸν Θεὸν ἐν τοῖς μέλεσιν ἑαυτῶν· θέατρον γενόμενοι τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις[1], τοὺς πεπτωκότας ἤγειραν, τοὺς ἀμφιβόλους ἐβεβαιώσαντο· τοῖς εὐσεβέσι τὴν ἐπιθυμίαν ἐδιπλασίασαν. Ἓν ὑπὲρ τῆς εὐσεβείας ἅπαντες ἀναστήσαντες τρόπαιον, ἑνὶ καὶ τῷ στεφάνῳ τῆς δικαιοσύνης κατεκοσμήθησαν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Πρβλ. Α' Κορ. 4,9.

ΟΜΙΛΙΑ

ΠΕΡΙ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ

1. Ὤφειλεν ἄνθρωπος ἐν τῇ παρὰ Θεῷ δόξῃ μεμενηκέναι καὶ εἶχεν ἂν ὕψος οὐκ ἐπίπλαστον, ἀλλ' ἀληθινόν, δυνάμει Θεοῦ μεγαλυνόμενος, σοφίᾳ θείᾳ φαιδρυνόμενος, αἰωνίᾳ ζωῇ καὶ τοῖς ἀγαθοῖς εὐφραινόμενος. Ἐπειδὴ δὲ τὴν τῆς θείας δόξης ἐπιθυμίαν μετέθηκε καὶ μείζονα προσδοκήσας καὶ σπεύσας ὅπερ οὐκ ἐδύνατο λαβεῖν, ἀπώλεσεν ὅπερ ἔχειν ἐδύνατο· μεγίστη σωτηρία αὐτῷ καὶ τῆς νόσου θεραπεία καὶ πρὸς τὸ ἐξ ἀρχῆς ἐπάνοδος, ἀτυφία καὶ τὸ μὴ φαντάζεσθαι δόξης τινὸς περιβολὴν δι' ἑαυτοῦ, ἀλλὰ ζητεῖν παρὰ Θεοῦ. Οὕτω γὰρ διορθώσει τὸ πταῖσμα, οὕτως ἰάσεται τὸ νόσημα· οὕτως ἀναδραμεῖται πρὸς τὴν ἱεράν, ἣν κατέλιπεν, ἐντολήν. Ἀλλ' ὁ καταβαλὼν ἐλπίδι δόξης ψευδοῦς τὸν ἄνθρωπον διάβολος οὐ παύεται τοῖς αὐτοῖς ἐρεθίσμασιν ἐκκαλούμενος καὶ μυρία μηχανήματα πρὸς τοῦτο ἐξευρίσκων· μέγα μὲν ἐπιδεικνὺς αὐτῷ, χρημάτων περιβολήν, ἵνα ἐπὶ τούτῳ μεγαλύνηται καὶ περὶ τοῦτο σπουδάζῃ· ὅπερ ἐστὶν οὐδὲν μὲν εἰς δόξαν, μέγα δὲ εἰς κίνδυνον. Χρημάτων γὰρ πορισμὸς πλεονεξίας μὲν ὑπόθεσις, κτῆσις δὲ οὐδὲν εἰς εὐδοξίαν· ἀλλὰ μάτην τυφλοῖ, διακενῆς ἐπαίρει, φλεγμονῇ τινι παραπλήσιον πάθος ἐργάζεται περὶ τὴν ψυχήν. Οὐ γὰρ ὑγιὴς ὄγκος οὐδὲ ὠφέλιμος ὁ τῶν φλεγμαινόντων σωμάτων, ἀλλὰ νοσώδης, ἐπιβλαβής, ἀρχὴ κινδύνου καὶ πρόφασις ἀπωλείας. Τοιοῦτο καὶ περὶ ψυχὴν ὑπερηφανία. Καὶ γὰρ οὐ μόνον ἐπὶ χρήμασιν ἔπαρσις γίνεται, οὐδὲ μόνον ταῖς ἀπὸ τῶν χρημάτων κομπώδεσι διαίταις τε καὶ περιβολαῖς ἐπαίρονται ἄνθρωποι, πολυτελεῖς ὑπὲρ τὴν χρείαν παρατιθέμενοι τραπέζας τρυφηλάς, οὐκ ἀναγκαίας περιβαλλόμενοι τὰς ἐσθῆτας, οἴκων μεγέθη κατασκευάζοντες καὶ κάλλει ποικίλλοντες, οἰκετῶν ἀκολούθων πλήθη καὶ κολάκων ἀναριθμήτων ἐξηρτημένοι συστήματα· ἀλλὰ καὶ χειροτονητοῖς ἀξιώμασιν ὑπὲρ φύσιν ὑψοῦνται. Εἰ δῆμος ἀξίωμα δῷ· εἴ τινος προεδρίας ἀξιώσειε καὶ τὸ τῆς ὑπεροχῆς ἀξίωμα ψηφίσαιτο αὐτῷ· καὶ ἐνταῦθα δή, καθάπερ ὑπερβάλλοντες τὴν ἀνθρώπειον φύσιν, μόνον τὴν οὐκ ἐπὶ νεφελῶν ἱδρῦσθαι νο[528]μίζουσι, πάτημα τοὺς ὑποκειμένους ἀνθρώπους ἡγούμενοι καὶ κατὰ τῶν τὴν ἀξίαν δεδωκότων αὐτοῖς ἐπαιρόμενοι καὶ δι' ὧν εἶναι δοκοῦσί τινες, κατὰ τούτων ἀλαζονευόμενοι· πρᾶγμα πλῆρες ἀνοίας ὑπομένοντες, ὀνείρου σαθροτέραν ἔχοντες δόξαν καὶ ματαιοτέραν φασμάτων νυκτερινῶν περιβεβλημένοι λαμπρότητα, νεύματι δήμου συνισταμένην καὶ νεύματι διαλυομένην. Οἷος ἦν ὁ παράφρων ἐκεῖνος, ὁ τοῦ Σολομῶντος υἱός,

ὁ νέος τὴν ἡλικίαν καὶ τὰς φρένας νεώτερος, ὁ τῷ δήμῳ ζητοῦντι πραοτέραν ἡγεμονίαν ἀπειλήσας χαλεπωτέραν καὶ διὰ τῆς ἀπειλῆς ἀπολέσας τὴν βασιλείαν, δι' ἧς προσεδόκησε βασιλικώτερος ὀφθήσεσθαι, διὰ ταύτης καθαιρεθεὶς ἧς εἶχεν ἀξίας[1]. Θρασύνει δὲ ἄνθρωπον καὶ χειρῶν δύναμις καὶ τάχος ποδῶν καὶ σώματος εὐμορφία, νόσων παραναλώματα καὶ χρόνου δαπανήματα· καὶ οὐκ αἰσθάνεται, ὅτι «πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε»[2]. Τοιαῦται γιγάντων ἐπὶ δυνάμει ἀλαζονεῖαι[3] καὶ Γολιὰθ ἀνοήτου φρόνημα θεομάχον[4] καὶ ὁ κάλλει μέγα φρονῶν Ἀδωνίας[5] καὶ μεγέθει κόμης ἐπαιρόμενος Ἀβεσσαλώμ[6].

2. Ὃ δὲ δοκεῖ τῶν ἄλλων τῶν ὑπαρχόντων ἀνθρώποις καλῶν μέγιστον εἶναι καὶ βεβαιότερον, ἡ σοφία καὶ ἡ φρόνησις καὶ τοῦτο ματαίαν ἔχει τὴν ἔπαρσιν καὶ ὕψος οὐκ ἀληθὲς παρασκευάζει· τῆς παρὰ Θεοῦ σοφίας ἀπούσης, εἰς οὐδὲν τούτων λογιζομένων. Διαπίπτει μὲν γὰρ αὐτῷ τῷ διαβόλῳ τὸ κατὰ τοῦ ἀνθρώπου σόφισμα καὶ καθ' ἑαυτοῦ τεχνάσας ἔλαθεν ὃ κατὰ τοῦ ἀνθρώπου μεμηχάνηται, οὐδὲν τοσοῦτον ἐκεῖνον ζημιώσας, ὃν ἤλπισεν ἀπαλλοτριώσειν Θεοῦ καὶ ζωῆς αἰωνίου, ὅσον ἑαυτὸν προδούς, ἀποστάτης Θεοῦ γεγονὼς καὶ θανάτῳ καταδικασθεὶς αἰωνίῳ. Καὶ τὴν κατὰ τοῦ Κυρίου στήσας παγίδα, διὰ ταύτης ἑάλω, σταυρωθεὶς ἐν ᾧ σταυρώσειν προσεδόκησε καὶ ἀποθανὼν ἐν ᾧ τὸν Κύριον ἤλπισεν ἀναιρήσειν θανάτῳ. Εἰ δὲ ὁ τοῦ κόσμου ἄρχων, ὁ πρῶτος καὶ μέγιστος καὶ ἀόρατος τῆς κοσμικῆς σοφίας σοφιστής, ἁλίσκεται τοῖς ἑαυτοῦ σοφίσμασιν, εἰς τὴν ἐσχάτην περιιστάμενος ἀφροσύνην, πολλῷ μᾶλλον οἱ ἐκείνου μαθηταὶ καὶ ζηλωταί, κἂν μυρία σοφίσωνται, «φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν»[7]. Κατασοφίζεται Φαραὼ ἐπ' ὀλέθρῳ Ἰσραήλ· ἀλλ' ἔλαθεν ὁ κατασοφισμὸς αὐτῷ διαλυθείς, ὅθεν οὐ προσεδόκησε. Καὶ βρέφος ἐκτεθὲν διὰ τὸ πρόσταγμα αὐτοῦ εἰς θάνατον λανθάνει τρεφόμενον ἐπὶ τῆς οἰκίας τῆς βασιλικῆς[8] καὶ καθαιροῦν τὴν ἐκείνου δύναμιν καὶ τὴν τοῦ παντὸς ἔθνους καὶ τὸν Ἰσραὴλ ἐξάγον εἰς **[529]** σωτηρίαν. Ὁ δὲ ἀνδροφόνος Ἀβιμέλεχ, ὁ τοῦ Γεδεὼν νόθος υἱός, ὁ τοὺς ἑβδομήκοντα παῖδας τοὺς γνησίους ἀποκτείνας καὶ σοφὸν τοῦτο νομίσας ἐξευρηκέναι πρὸς τὸ βεβαίως τὴν βασιλείαν κατασχεῖν, συντρίβει μὲν τοὺς συνεργοὺς αὐτῷ τοῦ φόνου γενομένους, συντρίβεται δὲ ὑπ' αὐτῶν· καὶ τέλος ἀπόλλυται χειρὶ γυναικὸς καὶ λίθου βολῇ. Καὶ ἐσοφίσαντο πάντες Ἰουδαῖοι κατὰ τοῦ Κυρίου βούλευμα ὀλέθριον, ἑαυτοῖς λέγοντες· «ἐὰν ἀφῶμεν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν τὸν τόπον

---

1. Πρβλ. Γ' Βασ. 12,4,14. 2. Ἡσ. 40,6-7. 3. Πρβλ. Γεν. 6,4. 4. Πρβλ. Α' Βασ. 17,4. 5. Πρβλ. Γ' Βασ. 1,5 ἑξ. 6. Πρβλ. Β' Βασ. 14,26. 7. Ρωμ. 1,22. 8. Πρβλ. Ἐξ. 2,1 ἑξ.

καὶ τὸ ἔθνος»[1]. Ἐκ τούτου τοῦ βουλεύματος ἐπὶ τὴν χριστοκτονίαν ἐλθόντες, ὡς τὸ ἔθνος αὐτοὶ καὶ τὴν χώραν διασώσοντες, ἀπολώλασι δι' ὧν ἐβουλεύσαντο καὶ ἐκ τῆς χώρας ἀνάστατοι καὶ τῶν νόμων ἀλλότριοι καὶ τῆς λατρείας γεγενημένοι. Καὶ ὅλως ἐν μυρίοις ἄν τις καταμάθοι παραδείγμασι σαθρὸν τὸ τῆς ἀνθρωπίνης σοφίας πλεονέκτημα, μικρόν τε καὶ ταπεινὸν μᾶλλον ἢ μέγα καὶ ὑψηλόν.

3. Ὥστε οὐδεὶς εὖ φρονῶν, οὔτε ἐπὶ τῇ σοφίᾳ τῇ ἑαυτοῦ μέγα φρονήσει, οὔτε ἐπὶ τοῖς ἄλλοις τοῖς προειρημένοις, ἀλλὰ πεισθήσεται τῇ καλλίστῃ παραινέσει τῆς μακαρίας Ἄννης καὶ τοῦ προφήτου Ἱερεμίου· «μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ»[2]. Ἀλλὰ τί τὸ καύχημα τὸ ἀληθές; καὶ ἐν τίνι μέγας ὁ ἄνθρωπος; «Ἐν τούτῳ», φησί, «καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν ὅτι ἐγὼ Κύριος»[3]. Τοῦτο ὕψος ἀνθρώπου, τοῦτο δόξα καὶ μεγαλειότης, ἀληθῶς γνῶναι τὸ μέγα καὶ τούτῳ προσφύεσθαι καὶ δόξαν τὴν παρὰ τοῦ Κυρίου τῆς δόξης ἐπιζητεῖν. Λέγει δὲ ὁ Ἀπόστολος· «ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω»[4], λέγων ὅτι «Χριστὸς ἡμῖν ἐγενήθη σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις· ἵνα καθὼς γέγραπται, ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω»[5]. Αὕτη γὰρ δὴ ἡ τελεία καὶ ὁλόκληρος καύχησις ἐν Θεῷ, ὅτε μήτε ἐπὶ δικαιοσύνῃ τις ἐπαίρεται τῇ ἑαυτοῦ, ἀλλ' ἔγνω μὲν ἐνδεῆ ὄντα ἑαυτὸν δικαιοσύνης ἀληθοῦς, πίστει δὲ μόνῃ τῇ εἰς Χριστὸν δεδικαιωμένον. Καὶ καυχᾶται Παῦλος ἐπὶ τῷ καταφρονῆσαι τῆς ἑαυτοῦ δικαιοσύνης, ζητεῖν δὲ τὴν διὰ Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην «ἐπὶ τῇ πίστει, τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφιζόμενος τῷ θανάτῳ αὐτοῦ, εἴ πως καταντήσει εἰς τὴν ἐξανάστασιν **[532]** τὴν ἐκ νεκρῶν»[6]. Ἐνταῦθα πέπτωκε πᾶν ὕψος ὑπερηφανίας. Οὐδὲν ὑπολέλειπταί σοι πρὸς ἀλαζονείαν, ὦ ἄνθρωπε, ᾧ τὸ καύχημα καὶ ἡ ἐλπὶς ἐν τῷ νεκρῶσαι μὲν πάντα τὰ σεαυτοῦ, ζητῆσαι δὲ τὴν ἐν Χριστῷ ζωὴν τὴν μέλλουσαν· ἧς ἀπαρχὰς ἔχοντες, ἤδη ἐν τούτοις ἐσμέν, τὸ ὅλον ἐν χάριτι ζῶντες καὶ δωρεᾷ Θεοῦ. Καὶ Θεὸς μέν ἐστιν, «ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας»[7]· Θεὸς δὲ τὴν ἑαυτοῦ σοφίαν τὴν προωρισμένην εἰς δόξαν ἡμῶν ἀποκαλύπτει διὰ τοῦ ἰδίου Πνεύματος[8]· Θεὸς δὲ τὴν ἐν πόνοις δίδωσι δύναμιν. «Περισσότερον πάντων ἐκοπίασα», φησὶ Παῦλος, «οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί»[9]. Θεὸς δὲ ἐξαιρεῖται κινδύνων παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα. «Αὐτοί», φησίν, «ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ

1. Ἰω. 11,48. 2. Ἱερ. 9,22. Πρβλ. Α' Βασ. 2,3. 3. Ἱερ. 9,23. 4. Α' Κορ. 1,31. 5. Α' Κορ. 1,30-31. Πρβλ. Β' Κορ. 10,17. Ἱερ. 9,22-23. 6. Φιλιπ. 3,9-11. 7. Φιλιπ. 2,13. 8. Πρβλ. Α' Κορ. 2,7,10. 9. Α' Κορ. 15,10.

πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς· ὃς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύεται, εἰς ὃν ἠλπίκαμεν, ὅτι καὶ ἔτι ῥύσεται»[1].

4. Τί οὖν ἐπαίρεις, εἰπέ μοι, σαυτὸν ὡς ἐπὶ καλοῖς ἰδίοις, ἀντὶ τοῦ χάριν ἐπὶ τοῖς δώροις ὁμολογεῖν τῷ δεδωκότι; «Τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών»[2]; Οὐ σὺ Θεὸν ἔγνως διὰ δικαιοσύνης, ἀλλὰ Θεός σε διὰ χρηστότητα ἔγνω. «Γνόντες», φησί, «Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ»[3]. Οὐ σὺ Χριστὸν κατείληφας διὰ τῆς ἀρετῆς, ἀλλὰ Χριστός σε διὰ τῆς παρουσίας κατείληφε. «Διώκω», φησίν, «εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ»[4]. «Οὐχ ὑμεῖς με ἐξελέξασθε», φησὶν ὁ Κύριος, «ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς»[5]. Ἀλλ' ὅτι τετίμησαι, μέγα φρονεῖς καὶ τὸν ἔλεον πρόφασιν ὑπερηφανίας λαμβάνεις; Καὶ τότε γνώσῃ σεαυτὸν ὅστις εἶ, ὡς Ἀδὰμ ἐκβληθεὶς ἐκ τοῦ παραδείσου[6], ὡς Σαοὺλ καταλειφθεὶς ὑπὸ Πνεύματος Θεοῦ[7], ὡς Ἰσραὴλ τῆς ἁγίας ῥίζης ἀποτμηθείς. «Τῇ πίστει», φησίν, «ἕστηκας· μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ»[8]. Κρίσις ἔπεται χάριτι καὶ ὅπως ἐχρήσω τοῖς χαρισθεῖσιν, ὁ κριτὴς ἐξετάσει. Εἰ δὲ μηδὲ τοῦτο αὐτὸ συνίῃς ὅτι χάριτος τετύχηκας, ἀλλ' ἴδιον ποιῇ κατόρθωμα τὴν χάριν ὑπερβολῇ τῆς ἀναισθησίας, οὐκ εἶ τοῦ μακαρίου τιμιώτερος ἀποστόλου Πέτρου. Οὐδὲ γὰρ ἀγάπῃ τῇ πρὸς τὸν Κύριον ὑπερβαλέσθαι δυνήσῃ τὸν οὕτω σφοδρῶς ἀγαπῶντα, ὡς καὶ ὑπεραποθνήσκειν ἐθέλειν. Ἀλλ' ὅτι μεγαλοφρονέστερον ἐφθέγξατο, λέγων, «εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί, ἀλλ' ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι»[9], παρεδόθη τῇ ἀνθρωπίνῃ δειλίᾳ καὶ πέπτωκεν εἰς ἄρνησιν σωφρονιζόμενος τῷ σφάλματι πρὸς εὐλάβειαν καὶ διδασκόμενος φείδεσθαι τῶν ἀσθενούν**[533]**των, τῷ καὶ τὴν ἑαυτοῦ καταμαθεῖν ἀσθένειαν καὶ γνῶναι σαφῶς, ὅτι καθάπερ ἐν τῷ πελάγει καταποντιζόμενος, ἐκουφίσθη τῇ τοῦ Χριστοῦ δεξιᾷ, οὕτως ἐν τῷ κλύδωνι τοῦ σκανδαλισμοῦ κινδυνεύσας ἀπολέσθαι δι' ἀπιστίας, ἐφυλάχθη δυνάμει Χριστοῦ, ὃς καὶ προεῖπεν αὐτῷ τὸ συμβησόμενον, λέγων· «Σίμων, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο τοῦ σινιάσαι ὑμᾶς ὡς τὸν σῖτον. Κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου»[10]. Καὶ Πέτρος μὲν οὕτως ἐλεγχθείς, δικαίως ἐβοηθεῖτο, πρὸς ἀπόθεσιν ἀλαζονείας καὶ φειδὼ τῶν ἀσθενούντων ἐκπαιδευόμενος· ὁ δὲ φαρισαῖος ἐκεῖνος, ὁ βαρὺς καὶ καθ' ὑπερβολὴν ὑπερήφανος, ὁ μὴ μόνον ἐφ' ἑαυτῷ θρασυνόμενος, ἀλλὰ καὶ τὸν τελώνην ἐπὶ Θεοῦ διασύρων, ἀπώλεσε τῆς δικαιοσύνης τὸ καύχημα διὰ τὸ τῆς ὑπερηφανίας ἔγκλημα. Καὶ κατῆλθεν ὁ τελώνης δεδικαιωμένος ὑπὲρ αὐτόν, ὅτι τὸν ἅγιον ἐδό-

1. Β' Κορ. 1,9-10. 2. Α' Κορ. 4,7. 3. Γαλ. 4,9. 4. Φιλιπ. 3,12· 5. Ἰω. 15,16. 6. Πρβλ. Γεν. 3,24. 7. Πρβλ. Α' Βασ. 16,14. 8. Ρωμ. 11,20. 9. Ματθ. 26,33. 10. Λουκ. 22,31-32.

ξασε Θεὸν καὶ οὐδὲ ἀναβλέπειν ἐτόλμα, ἀλλ' ἱλασμὸν ἐζήτει μόνον, κατήγορος ὢν ἑαυτοῦ καὶ τῷ σχήματι καὶ τῇ κατὰ στήθους πληγῇ καὶ τῷ ζητεῖν οὐδὲν ἄλλο πλὴν ἱλασμόν[1]. Ὅρα δὴ οὖν καὶ φυλάττου τὸ παράδειγμα τῆς χαλεπῆς δι' ὑπερηφανίαν ζημίας. Ἐζημιώθη τὴν δικαιοσύνην ὑπερηφανευσάμενος, ἀπώλεσε τὸν μισθὸν θρασυνόμενος· ἠλαττώθη τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ, μεγαλύνας ἑαυτὸν ὑπὲρ ἐκεῖνον καὶ οὐκ ἀναμείνας τὴν παρὰ Θεοῦ κρίσιν, ἀλλὰ τὴν παρὰ αὐτοῦ ἐξενεγκών. Σὺ δὲ κατ' οὐδενὸς ἐπαρθήσῃ ποτέ, οὐδὲ κατὰ τῶν ἄγαν ἁμαρτωλῶν. Ῥύεται πολλάκις ἡ ταπεινοφροσύνη τὸν ἡμαρτηκότα πολλὰ καὶ μεγάλα. Μὴ οὖν σεαυτὸν δικαιώσῃς ὑπὲρ ἕτερον, μήποτε, δικαιωθεὶς τῇ σεαυτοῦ ψήφῳ, τῇ τοῦ Θεοῦ κατακριθῇς. «Οὐκ ἀνακρίνω», φησίν, «ἐμαυτόν», ὁ Παῦλος. «Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν»[2].

5. Οἶει κατορθοῦν ἀγαθὸν; Εὐχαρίστει τῷ Θεῷ μὴ κατὰ τοῦ πλησίον ἐπαίρου. «Τὸ ἔργον ἑαυτοῦ» φησί, «δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει καὶ οὐκ εἰς τὸν ἕτερον»[3]. Τί γὰρ ὤνησας τὸν πλησίον, ὅτι πίστιν ὡμολόγησας, ἢ φυγὴν ὑπέμεινας διὰ ὄνομα Χριστοῦ, ἢ τοῖς νηστείας ἐνεκαρτέρησας πόνοις; Οὐχ ἑτέρου τὸ κέρδος, ἀλλὰ σόν. Φοβήθητι τῆς τοῦ διαβόλου πτώσεως τὴν ὁμοίωσιν· ὅς, ἐπαρθεὶς κατὰ τοῦ ἀνθρώπου, πέπτωκεν ὑπ' ἀνθρώπου καὶ παραδέδοται πάτημα τῷ πεπατημένῳ. Τοιαύτη καὶ τῶν Ἰσραηλιτῶν ἡ πτῶσις. Ἐπαιρόμενοι γὰρ κατὰ τῶν ἐθνῶν, ὡς ἀκαθάρτων, ἀκάθαρτοι γεγόνασιν ἀληθῶς· τὰ δὲ ἔθνη **[536]** κεκάθαρται. Καὶ τῶν μὲν ἡ δικαιοσύνη γέγονεν «ὡς ῥάκος ἀποκαθημένης»[4], τῶν δὲ ἐθνῶν ἡ ἀνομία καὶ ἡ ἀσέβεια διὰ πίστεως ἐξήλειπται. Καθόλου μέμνησο τῆς ἀληθοῦς παροιμίας· «ὑπερηφάνοις Θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν»[5]. Ἔχε τοῦ Κυρίου τὸ ῥῆμα πρόχειρον· «πᾶς ὁ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται· καὶ ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται»[6]. Μὴ γίνου κριτὴς ἄνισος σεαυτοῦ, μηδὲ πρὸς χάριν ἐξέταζε· εἰ μέν τι δοκεῖς ἔχειν καλόν, τοῦτο ἐν ψήφῳ τιθείς, τῶν δὲ πταισμάτων ἑκὼν ἐπιλανθανόμενος, μηδὲ ἐφ' οἷς μὲν σήμερον κατορθοῖς μεγαλυνόμενος, ἐφ' οἷς δὲ πρώην καὶ πάλαι κακῶς εἰργάσω, συγχώρησιν σεαυτῷ διδούς· ἀλλ' ὅταν σε τὸ παρὸν ἐπάρῃ, τὸ παλαιὸν εἰς ἀνάμνησιν ἀγέτω καὶ παύσῃ τῆς ἀναισθήτου φλεγμονῆς. Καὶ εἰ τὸν πέλας ἁμαρτάνοντα θεωρήσεις, μὴ τοῦτο μόνον αὐτοῦ σκοπήσῃς· ἐνθυμήθητι δὲ καὶ ὅσα πέπραχεν ἢ πράττει καλῶς καὶ πολλάκις εὑρήσεις αὐτὸν ἀμείνονα σεαυτοῦ, διὰ πάντων ἐξετάζων καὶ μὴ μερικὰ ψηφιζόμενος. Οὐδὲ γὰρ Θεὸς μερικῶς ἐξετάζει τὸν ἄνθρωπον· ἐγὼ γάρ, φησί, τὰ ἔργα καὶ τοὺς λογισμοὺς αὐτῶν ἔρχομαι συναναγεῖν[7]. Καὶ τῷ Ἰωσαφὰτ ἐπιτιμήσας ποτὲ

1. Πρβλ. Λουκ. 18,11-14. 2. Α' Κορ. 4,3-4. 3. Γαλ. 6,4. 4. Ἡσ. 64,5. 5. Παρμ. 3,34. Ἰακ. 4,6. Α' Πέτρ. 5,5. 6. Λουκ. 14,11. 7. Πρβλ. Ἡσ. 66.18,

διὰ τὴν παραπόδας ἁμαρτίαν, ἐμνήσθη καὶ τῶν κατωρθωμένων αὐτῷ, λέγων· «πλὴν ἀλλὰ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί»[1].

6. Ταῦτα καὶ τὰ τοιαῦτα πρὸς τὴν ὑπερηφανίαν ἐπάδωμεν ἑαυτοῖς ἑκάστοτε, καθαιροῦντες ἑαυτοὺς ἵν' ὑψωθῶμεν, μιμούμενοι τὸν ἐξ οὐρανοῦ καταβάντα Κύριον πρὸς τὴν ἐσχάτην ταπεινότητα καὶ τοὐναντίον ἐκ ταπεινότητος εἰς ὕψος αἴσιον ἐξογκούμενοι. Πάντα γὰρ δὴ πρὸς ταπεινοφροσύνην παιδεύοντα τὰ τοῦ Κυρίου εὑρίσκομεν. Βρέφος ὤν, εὐθὺς ἐν σπηλαίῳ καὶ οὐδὲ ἐπὶ κλίνης, ἀλλ' ἐπὶ φάτνης· ἐν οἴκῳ τέκτονος καὶ μητρὸς πενιχρᾶς, ὑποτασσόμενος τῇ μητρὶ καὶ τῷ ταύτης μνηστῆρι· διδασκόμενος, ἀκούων ὢν οὐκ ἐδεῖτο, ἐπερωτῶν δὲ ὅμως καὶ διὰ τῆς ἐρωτήσεως ἐπὶ τῇ σοφίᾳ θαυμαζόμενος· ὑποτασσόμενος Ἰωάννῃ καὶ βάπτισμα παρὰ τοῦ δούλου δεχόμενος ὁ Δεσπότης· οὐδενὶ τῶν ἐπανισταμένων ἀνθιστάμενος, οὐδὲ τὴν ἄφατον ἐξουσίαν, ἣν εἶχεν, ἐπανατεινόμενος· ἀλλ' ὡς δυνατωτέροις ὑποχωρῶν καὶ τῇ προσκαίρῳ ἐξουσίᾳ τὸ κατ' αὐτὴν ἰσχυρὸν ἐπιτρέπων· ἐπὶ τῶν ἀρχιερέων ἱστάμενος ἐν σχήματι δικαζομένου, ἡγεμόνι προσαγόμενος καὶ κρίσιν ὑποφέρων καὶ παρὸν ἐλέγχειν τοὺς συκοφαντοῦντας, σιωπῇ φέρων τὰς συκοφαντίας· ἐμπτυόμενος ὑπὸ δούλων καὶ παιδαρίων εὐτελεστάτων, θανάτῳ παραδιδόμενος καὶ θανάτῳ τῷ παρὰ **[537]** ἀνθρώποις αἰσχίστῳ. Οὕτω τὸν ἄνθρωπον διεξῆλθε πάντα τὰ ἀπὸ γενέσεως εἰς τέλος· καὶ μετὰ τοσαύτην ταπεινοφροσύνην ὕστερον τὴν δόξαν ἐκφαίνει, συνδοξάζων ἑαυτῷ τοὺς συναδοξήσαντας. Ὧν οἱ μακάριοι μαθηταὶ πρῶτοι, πένητες καὶ γυμνοὶ τὴν οἰκουμένην διαδραμόντες, οὐκ ἐν σοφίᾳ λόγου, οὐκ ἐν ἀκολούθων πλήθει, μόνοι καὶ ἀλῆται καὶ ἔρημοι, γῆν τε καὶ θάλατταν ἐξαμείβοντες, μαστιζόμενοι, λιθοβολούμενοι, διωκόμενοι, τέλος ἀναιρούμενοι. Ταῦτα ἡμῖν πατρῷα καὶ θεῖα παιδεύματα. Πρὸς τὴν τούτων ἔλθωμεν μίμησιν, ἵν' ἡμῖν ἐκ τῆς ταπεινότητος ἀνατείλῃ δόξα αἰώνιος, ἡ τελεία καὶ ἀληθὴς Χριστοῦ δωρεά.

7. Πῶς οὖν εἰς τὴν σωτήριον ταπεινοφροσύνην καταβησόμεθα, τὸν ὀλέθριον ὄγκον τῆς ὑπερηφανίας καταλιπόντες; Ἐὰν διὰ πάντων ἀσκῶμεν τὸ τοιοῦτο καὶ μηδὲν παρορῶμεν ὡς οὐ παρὰ τοῦτο βλαβησόμενοι. Τοῖς γὰρ ἐπιτηδεύμασιν ὁμοιοῦται ψυχὴ καὶ πρὸς ἃ πράττει τυποῦται καὶ πρὸς ταῦτα σχηματίζεται. Ἔστω σοι καὶ σχῆμα καὶ ἱμάτιον καὶ βάδισμα καὶ καθέδρα καὶ τροφῆς κατάστασις καὶ στρωμνῆς παρασκευὴ καὶ οἶκος καὶ τὰ ἐν οἴκῳ σκεύη πάντα πρὸς εὐτέλειαν ἠσκημένα· καὶ λόγος καὶ ᾠδὴ καὶ ἡ τοῦ πλησίον ἔντευξις καὶ ταῦτα πρὸς μετριότητα μᾶλλον ἢ πρὸς ὄγκον ὁράτω. Μή μοι κόμπους ἐν λόγῳ σοφιστικούς, μηδὲ ἐν ᾠδαῖς ἡδυφωνίας ὑπερβαλλούσας, μηδὲ διαλέξεις ὑπερηφάνους καὶ βαρείας· ἀλλ' ἐν ἅπασιν ὑφαίρει τοῦ μεγέθους· χρηστὸς πρὸς τὸν φίλον, ἥπιος πρὸς τὸν οἰκέτην, ἀνεξίκακος

1. Β' Παρλ. 19,3.

πρὸς τοὺς θρασεῖς, φιλάνθρωπος πρὸς τοὺς ταπεινούς, παρηγορῶν κακουμένους, ἐπισκεπτόμενος τοὺς ἐν ὀδύναις, μηδένα καθάπαξ ὑπερορῶν, γλυκὺς ἐν προσηγορίᾳ, φαιδρὸς ἐν ἀποκρίσει, δεξιός, εὐπρόσιτος ἅπασι, μήτε σεαυτοῦ διεξιὼν ἐγκώμια, μηδὲ ἑτέρους λέγειν παρασκευάζων, μηδὲ λόγον ἄσεμνον ἀποδεχόμενος, ἐπικαλύπτων ὅσα δυνατὸν τῶν σεαυτοῦ πλεονεκτημάτων· ἐπὶ δὲ τοῖς ἁμαρτήμασι κατηγορῶν σεαυτοῦ καὶ μὴ τοὺς ἑτέρων ἐλέγχους ἀναμένων, ἵνα γένῃ κατὰ τὸν δίκαιον τὸν ἑαυτοῦ κατήγορον ἐν πρωτολογίᾳ[1], ἵνα ᾖς κατὰ τὸν Ἰώβ, ὃς οὐ διετράπη πολυοχλίαν πόλεως[2], ἐπ' αὐτῶν ἐξαγορεῦσαι τὸ ἴδιον πταῖσμα. Μὴ βαρὺς ἐν ἐπιτιμήσεσι γίνου, μηδὲ ταχέως, μηδὲ ἐμπαθῶς ἐξελέγχων (αὔθαδες γὰρ τὸ τοιοῦτον), μηδὲ ἐπὶ μικροῖς καταδικάζων, ὡς ἀκριβοδίκαιος αὐτὸς ὑπάρχων· τοὺς ἐν παραπτώμασι προσλαμβανόμενος καὶ πνευματικῶς καταρτίζων αὐτούς, ὡς ὁ Ἀπόστολος παραινεῖ· «σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς»[3]· τοσαύτην ποιούμενος σπουδὴν μὴ δοξάζεσθαι παρὰ ἀνθρώποις, ὅσην ἕτεροι περὶ τοῦ δοξάζεσθαι, εἴ γε **[540]** μέμνησαι τοῦ Χριστοῦ, ζημίαν λέγοντος εἶναι τοῦ παρὰ Θεῷ μισθοῦ, τὴν ἑκούσιον παρὰ ἀνθρώποις ἐπιφάνειαν καὶ τὸ ποιεῖν ἀγαθὸν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. «Ἀπέχουσι» γάρ, φησίν, «τὸν μισθὸν αὐτῶν»[4]. Μὴ τοίνυν ζημίου σεαυτόν, ἐπὶ ἀνθρώπων φαίνεσθαι βουλόμενος. Ἐπειδὴ Θεὸς μέγας θεατής, φιλοδόξησον ἐπὶ Θεοῦ· λαμπρὸν γὰρ ἀποδίδωσι τὸν μισθόν. Ἀλλὰ προεδρίας ἠξιώθης καὶ περιέπουσί σε ἄνθρωποι καὶ δοξάζουσι; Γίνου τοῖς ὑπηκόοις ἴσος, μὴ ὡς κατεξουσιάζων τῶν κλήρων[5], φησί, μηδὲ κατὰ τοὺς κοσμικοὺς ἄρχοντας. Τὸν γὰρ θέλοντα πρῶτον εἶναι, δοῦλον εἶναι πάντων[6] ὁ Κύριος ἐκέλευσε. Καθόλου δὲ εἰπεῖν, οὕτω δίωξον τὴν ταπεινοφροσύνην, ὡς ἐραστὴς αὐτῆς. Ἐράσθητι αὐτῆς καὶ δοξάσει σε[7]. Οὕτω καλῶς ἐπὶ δόξαν ὁδεύσεις τὴν ἀληθῆ, τὴν ἐν ἀγγέλοις, τὴν παρὰ Θεῷ. Ὁμολογήσει δέ σε Χριστὸς ὡς ἴδιον μαθητὴν ἐπὶ τῶν ἀγγέλων[8] καὶ δοξάσει σε, ἂν γένῃ ταπεινοφροσύνης αὐτοῦ μιμητής, τοῦ λέγοντος· «μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν»[9], ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Πρβλ. Παρμ. 18,17. 2. Πρβλ. Ἰώβ 31,34. 3. Γαλ. 6,1. 4. Ματθ. 6,2. 5. Πρβλ. Α' Πέτρ. 5,3. 6. Πρβλ. Μάρκ. 10,44. 7. Πρβλ. Παρμ. 4,6. 8. Πρβλ. Λουκ. 12,8. 9. Ματθ. 11,29.

ΟΜΙΛΙΑ ΚΑ'

ΠΕΡΙ ΤΟΥ ΜΗ ΠΡΟΣΗΛΩΣΘΑΙ ΤΟΙΣ ΒΙΩΤΙΚΟΙΣ

ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΕΜΠΡΗΣΜΟΥ ΕΞΩΘΕΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

1. Ἐγὼ μὲν ᾤμην, ἀγαπητοί, σφοδρότερον ἑκάστοτε τοῦ λόγου τὸ κέντρον προσάγων, λυπηρός τις εἶναι δόξειν ὑμῖν, ὡς περιττήν τινα παρρησίαν ἐπιδεικνύμενος καὶ οὔτε ξένῳ πρέπουσαν, οὔτε ἀνδρὶ κατειλημμένῳ παραπλησίοις ἐγκλήμασιν· ὑμεῖς δὲ ἐκ τῶν ἐλέγχων εἰς εὔνοιαν ἠρεθίσθητε καὶ τὰς ἀπὸ τῆς γλώττης πληγὰς ὑπέκκαυμα πόθον πεποίησθε πλείονος. Καὶ οὐδὲν ξένον. Ἐστὲ γὰρ σοφοὶ τὰ τοῦ πνεύματος. «Ἔλεγχε δὲ σοφόν, καὶ ἀγαπήσει σε»[1], φησί που τῶν αὐτοῦ λόγων ὁ Σολομών. Διὰ τοῦτο, ἀδελφοί, καὶ νῦν ἐπὶ τὴν αὐτὴν ἥκω παραίνεσιν, ὅπηπερ ἂν οἷός τε ὦ, τῶν τοῦ διαβόλου δικτύων ὑμᾶς ἀπάγειν βουλόμενος. Πολὺν γάρ, ἀγαπητοὶ καὶ ποικίλον ἐφ' ἡμέραν ἡμῖν ὁ τῆς ἀληθείας ἐχθρὸς προσάγει τὸν πόλεμον. Προσάγει δέ, ὡς ἴστε, τὰς ἡμετέρας ἐπιθυμίας καθ' ἡμῶν βέλη ποιούμενος καὶ παρ' ἡμῶν εἰς τὸ βλάπτειν ἡμᾶς ἀεὶ λαμβάνων ἰσχύν. Ἐπειδὴ γὰρ τὸ πολὺ τῆς ἐκείνου δυνάμεως ὁ Δεσπότης νόμοις ἀλύτοις κατέδησε καὶ οὐκ εἴασεν εἰς ἅπαξ ὁρμήσαντα τὸ γένος ἐκτρῖψαι τῆς γῆς, κλέπτει τὴν καθ' ἡμῶν νίκην λοιπὸν ἐκ τῆς ἡμετέρας ἀνοίας ὁ βάσκανος. Καὶ καθάπερ οἱ πονηροὶ καὶ πλεονεκτικοὶ τῶν ἀνθρώπων, οἷς ἔργον μέν ἐστι καὶ προαί- **[541]** ρεσις ἐκ τῶν ἀλλοτρίων πλουτεῖν, δύναμις δὲ οὐ πάρεστιν ὥστε μετὰ παρρησίας βιάζεσθαι, ταῖς ὁδοῖς ἐφεδρεύειν εἰώθασι· καὶ εἴ ἴδωσί τι χωρίον περὶ αὐτάς, ἢ φάραγξι βαθείαις διερρωγός, ἢ φυτῶν πυκνότητι σύσκιον, εἰς τοῦτο καταδυόμενοι καὶ τὴν ἐκ πολλοῦ πρόοψιν τῶν ὁδοιπορούντων τοιούτοις ὑποτεμνόμενοι προκαλύμμασιν, ἀθρόον ἐπιπηδῶσιν αὐτοῖς, ὥστε μὴ πρότερον δυνηθῆναί τινα τοὺς τοῦ κινδύνου βρόχους ἰδεῖν πρὶν εἰς τούτους πεσεῖν· οὕτως ὁ δυσμενὴς ἄνωθεν ἡμῖν καὶ πολέμιος τὰς τῶν κοσμικῶν τέρψεων ὑποτρέχων σκιάς, αἱ περὶ τὴν ὁδὸν τοῦ βίου τούτου πεφύκασι δειναὶ κρῦψαι λῃστὴν καὶ τὸν ἐπιβουλεύοντα ποιῆσαι λαθεῖν, ἐντεῦθεν ἀπροόπτως τὰς τῆς ἀπωλείας ὑποσπείρει παγίδας ἡμῖν. Δεῖ τοίνυν ἡμᾶς, εἴπερ ἐθέλοιμεν ἀσφαλῶς τὴν ὑποκειμένην ὁδὸν τοῦ βίου διαδραμεῖν καὶ παραστῆσαι Χριστῷ τὴν ψυχήν τε ὁμοῦ καὶ τὸ σῶμα τῆς ἐκ τῶν τραυμάτων αἰσχύνης ἐλεύθερα καὶ τοὺς ἐπὶ τῇ νίκῃ στεφάνους λαβεῖν, ἐγρηγορότας περιάγειν ἀεὶ πανταχόσε

1. Παρμ. 9,8.

τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς καὶ πάντα ὑποπτεύειν ὅσα τερπνὰ καὶ παρατρέχειν εὐθὺς καὶ μηδενὶ προσερείδειν τὴν ἔννοιαν, μηδὲ εἰ χρυσὸς φαίνοιτο χύδην προκείμενος, ἕτοιμος εἰς τὰς τῶν βουλομένων χεῖρας ἐλθεῖν («πλοῦτος» γάρ, φησίν, «ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίᾳ»[1])· μηδὲ εἰ γῆ βλαστάνουσα πᾶσαν τρυφὴν καὶ πολυτελεῖς δεικνύουσα σκηνὰς («ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανῷ, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Χριστόν»[2])· μηδὲ εἰ χορεῖαι καὶ κῶμοι καὶ μέθαι καὶ καταυλούμεναι τράπεζαι («ματαιότης» γάρ, φησίν, «ματαιοτήτων, τὰ πάντα ματαιότης»[3])· μηδὲ εἰ σωμάτων κάλλη προτείνοιτο, παρὰ πονηρῶν ψυχῶν ἐνοικούμενα (ἀπὸ προσώπου γὰρ γυναικὸς «ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε»[4], φησὶν ὁ Σοφός)· μηδὲ εἰ δυναστεῖαι καὶ τυραννίδες καὶ δορυφόρων ἢ κολάκων ἑσμοί· μηδὲ εἰ θρόνος ὑψηλὸς καὶ λαμπρός, ὑποζεύξας ἔθνη καὶ πόλεις εἰς δουλείαν ἑκούσιον («πᾶσα γὰρ σάρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε»[5]). Τούτοις γὰρ δὴ πᾶσι τοῖς οὕτω τερπνοῖς ὁ κοινὸς ὑποκάθηται δυσμενής, ἀναμένων εἴ ποτε, τοῖς ὁρωμένοις δελεασθέντες, τῆς μὲν εὐθείας ἐκτραπῶμεν ὁδοῦ, πρὸς δὲ τὸν ἐκείνου λόχον ἑαυτοὺς ἀποκλίνωμεν. Καὶ δέος πολὺ μή ποτε προσδραμόντες ἀφυλάκτως αὐτοῖς καὶ τῆς ἐκ τῆς ἀπολαύσεως τέρψιν οὐδὲν ἡγησάμενοι βλαβερόν, ἐγκεκρυμμένον τῇ πρώτῃ γεύσει τὸ τοῦ δόλου καταπίωμεν ἄγκιστρον· εἶτα ὑπὸ τούτου τὰ μὲν ἑκόντες τὰ δὲ ἄκοντες, προσδεθῶμεν αὐτοῖς καὶ πρὸς τὸ φοβερὸν τοῦ λῃστοῦ καταγώγιον τὸν θάνατον λάθωμεν ἑλκυσθέντες ὑπὸ τῶν ἡδονῶν.

[544] 2. Ὥστε ἀναγκαῖον καὶ λυσιτελὲς ἅπασιν, ἀδελφοί, καθάπερ ὁδοιπόρους ἢ δρομέας στειλαμένους ἡμᾶς καὶ πανταχόθεν τὸ κοῦφον ταῖς ψυχαῖς πρὸς τὸν δρόμον τοῦτον ἐπινοήσαντας, ἀμεταστρέπτως ἐπὶ τὸ τῆς ὁδοῦ πέρας ἐπείγεσθαι. Καί με μηδεὶς ὑπολάβοι καινῶν ὀνομάτων γίνεσθαι ποιητήν, ὅτι τὴν ἀνθρωπίνην ζωὴν ὁδὸν ἐκάλεσα νῦν, ἐπεὶ καὶ Δαβὶδ ὁ προφήτης οὕτω τὸν βίον ὠνόμασε· νῦν μὲν ᾧδέ πη λέγων· «μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου»[6]· νῦν δὲ πρὸς τὸν ἑαυτοῦ Δεσπότην βοῶν· «ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ καὶ τῷ νόμῳ σου ἐλέησόν με»[7]. Ποτὲ δὲ ὑμνῶν τὴν ὀξεῖαν τοῦ Θεοῦ κατὰ τῶν ἐπηρεαζόντων βοήθειαν καὶ τῇ λύρᾳ προσάγων μεθ' ἡδονῆς, «καὶ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;» ἔλεγεν· «ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου»[8]· πανταχοῦ τὴν ἐπὶ γῆς τῶν ἀνθρώπων διατριβήν, ἢ θαυμαζομένην ἢ φαύλην, οὕτω δεῖν προσαγορεύειν ἡγούμενος εἰκότως. Ὥσπερ γὰρ οἱ τινα συντεταμένην πορείαν ἀνύοντες, ἐπὶ τὰ πρόσω τὰς τῶν ποδῶν βάσεις ἀμιλλωμένας ἀλλήλαις εἰς δρόμον ἀμείβοντες καὶ τὴν ἀεὶ προτέραν ἐπὶ τῆς γῆς ἐρεισθεῖσαν δευτέραν ἀποδεικνύντες τῇ ταχείᾳ

1. Ψαλ. 61,11. 2. Φιλιπ. 3,20. 3. Ἐκκλ. 1,2. 4. Σ. Σειρ. 21,2. 5. Ἡσ. 40,6-7. 6. Ψαλ. 118,1. 7. Ψαλ. 118,29. 8. Ψαλ. 17,32-33.

μεταθέσει τῆς ἄλλης, ῥᾳδίως ἐπὶ τὸ τῆς ὁδοῦ τέρμα χωροῦσιν· οὕτως οἱ πρὸς τὸ ζῆν παραχθέντες ὑπὸ τοῦ κτίσαντος, εὐθὺς ἐν ἀρχῇ τοῖς τοῦ χρόνου τμήμασιν ἐπεμβαίνοντες καὶ τὸ πρότερον ἀεὶ καταλιμπάνοντες ὕστερον, ἐπὶ τὸ πέρας φθάνουσι τῆς ζωῆς. Ἢ οὐχὶ καὶ ὑμῖν δοκεῖ συνεχής τις ὁδὸς ὑφηπλῶσθαι ἡ παροῦσα ζωὴ καὶ πορεία διειλημμένη ταῖς ἡλικίαις καθάπερ σταθμοῖς, ἀρχὴν μὲν ἑκάστῳ τῆς ὁδοιπορίας παρέχουσα τὰς τῶν μητρῶν ὠδῖνας, τέρμα δὲ ὑποδεικνῦσα τοῦ δρόμου τὰς τῶν τάφων σκηνὰς καὶ πρὸς ἐκείνας ἅπαντας ἄγουσα, τοὺς μὲν θᾶττον, τοὺς δὲ βραδύτερον καὶ τοὺς μὲν διὰ πάντων τῶν τοῦ χρόνου διαστημάτων ὁδεύσαντας, τοὺς δὲ οὐδὲ τοῖς πρώτοις ἐναυλισθέντας τοῦ βίου σταθμοῖς; Τὰς μὲν οὖν ἄλλας ὁδούς, ὅσαι πρὸς πόλιν ἐκ πόλεως ἄγουσιν, ἔστιν ἐκκλῖναι καὶ μὴ ὁδεῦσαι τὸν μὴ βουλόμενον· αὕτη δέ, κἂν ἡμεῖς ἀναβάλλεσθαι βουληθῶμεν τὸν δρόμον, περιλαβοῦσα πρὸς βίαν, ἐπὶ τὸ τεταγμένον ὑπὸ τοῦ Δεσπότου πέρας ἕλκει τοὺς ἐπ' αὐτῆς· καὶ οὐκ ἔστιν, ἀγαπητοί, τὸν ἅπαξ ὑπεκδραμόντα τὴν ἐπὶ τόνδε τὸν βίον φέρουσαν πύλην καὶ τῆς ὁδοῦ ταύτης ἐπιβάντα, μὴ καὶ πρὸς τὸ τέλος ταύτης ἐλθεῖν· ἕκαστος δὲ ἡμῶν, μετὰ τὸ τοὺς μητρῴους κόλπους ἀποφυγεῖν, εὐθὺς τοῖς τοῦ χρόνου ῥεύμασιν ἐνδεθεὶς ὑποσύρεται, κατόπιν ἀεὶ τὴν βεβιωμένην ἡμέραν ἐῶν καὶ πρὸς τὴν χθὲς ἐπανελθεῖν οὐδέποτε, κἂν θελήσοι, δυνάμενος. Ἡμεῖς δὲ ἡδόμεθα μὲν ἐπὶ τὰ πρόσω φερόμενοι καὶ τὰς ἡλικίας ἀμείβοντες, ὥς τι προσλαμβάνοντες, χαίρομεν· καὶ μακάριον κρίνομεν, ὅταν ἐκ παιδὸς μὲν ἀνήρ, ἐκ **[545]** δὲ ἀνδρὸς γένηταί τις πρεσβύτης· ἀγνοοῦμεν δὲ ἄρα, τοσοῦτον ἀπολλύντες ἑκάστοτε τῆς ζωῆς, ὅσον ἐζήσαμεν καὶ οὐκ αἰσθανόμεθα δαπανωμένου τοῦ βίου, καίτοιγε ἀεὶ μετροῦντες αὐτὸν ἀπὸ τοῦ παραδραμόντος καὶ παραρρεύσαντος, οὐδὲ ἐννοοῦμεν, ὡς ἄρα ἄδηλον ὁπόσον ὁ πρὸς τὴν ὁδοιπορίαν ταύτην ἐκπέμψας ἡμᾶς ἐνδοῦναι τῷ δρόμῳ χρόνον βουλήσεται καὶ πότε ἑκάστῳ τῶν δρομέων ἀνοίξει τῆς εἰσόδου τὰς πύλας καὶ ὅτι δεῖ παρεσκευασμένους ἐφ' ἡμέραν εἶναι πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν ἡμᾶς καὶ τὸ τοῦ Δεσπότου νεῦμα παριμένειν ἑστῶσι τοῖς ὀφθαλμοῖς. «Ἔστωσαν» γάρ, φησίν, «αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι· καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ»[1].

3. Οὐδὲ ἐθέλομεν σκοπεῖν ἀκριβῶς ποῖα μὲν κοῦφα φορτία πρὸς τὸν τοιοῦτον δρόμον ἡμῖν καὶ συμμεθίστασθαι δύναται τοῖς συλλέξασι καὶ τὸν ἐκεῖ περιχαρῆ ποιεῖ βίον ἡμῖν, ἴδια τῶν κτησαμένων γινόμενα· ποῖα δὲ βαρέα καὶ δυσχερῆ καὶ προσηλωμένα τῇ γῇ καὶ οὐ πεφυκότα τοῖς ἀνθρώποις οἰκειοῦσθαι καθάπαξ, οὐδὲ συγχωρούμενα διὰ τῆς στενῆς ἐκείνης πύλης ἀκολουθῆσαι τοῖς ἔχουσιν. Ἀλλ' ὅσα μὲν συλλέγειν ἐχρῆν, κατελίπομεν· ὧν δὲ ὑπερορᾶν προσήκει, ταῦτα συλλέγο-

1. Λουκ. 12,35-36.

μεν· καὶ ἃ μὲν ἡμῖν ἑνωθῆναι καὶ κόσμος ὄντως γενέσθαι δύναται συμφυὴς ψυχῇ τε καὶ σώματι, τούτοις οὐδὲ προσέχομεν· ἃ δὲ ἀλλότρια μένει διηνεκῶς, μόνην ἡμῖν ἐναποματτόμενα τὴν αἰσχύνην, ταῦτα ἀθροίζειν ἐπιχειροῦμεν, μοχθοῦντες διακενῆς καὶ πονοῦντες πόνον, οἱονεί τις ἑαυτὸν ἀπατῶν, εἰς τετρημένον πίθον ἀντλεῖν ἐθελήσειε. Τοῦτο γὰρ δήπου γνώριμον οἶμαι καὶ νηπίοις πᾶσιν, ὡς οὐδὲν τῶν ἐν τῷ βίῳ τερπνῶν, ἐφ' οἷς οἱ πλείους μεμήνασιν, ἡμέτερον ὄντως ἐστίν, ἢ γίνεσθαι πέφυκεν, ἀλλ' ὁμοίως ἁπάντων ἀλλότρια φαίνεται, τῶν τε ἀπολαύειν δοκούντων, τῶν τε οὔτε προσπελαζόντων αὐτοῖς. Οὐδὲ γὰρ εἰ χρυσόν τινες ἐν τῷ βίῳ συναγάγοιεν ἄπλετον, ἴδιος αὐτῶν μένει διηνεκῶς· ἀλλ' ἢ ζῶντας ἔτι πανταχόθεν αὐτὸν περισφίγγοντας ἀποδιδράσκει, πρὸς τοὺς δυνατωτέρους μεταρρυείς, ἢ πρὸς τῷ θανάτῳ γεγενημένους ἤδη καταλιμπάνει καὶ οὐκ ἐθέλει τοῖς κτησαμένοις συνεκδημεῖν. Ἀλλ' οἱ μὲν ὑπὸ τοῦ πρὸς βίαν χωρίζοντος τὰς ψυχὰς τῆς ταλαιπώρου ταύτης σαρκὸς ἑλκόμενοι πρὸς τὴν ἀναγκαίαν ὁδόν, πυκνὰ μεταστρεφόμενοι πρὸς τὰ χρήματα, τοὺς ἐκ νεότητος ἐπ' αὐτοῖς ἱδρῶτας ἀποδακρύουσιν· ὁ πλοῦτος δὲ εἰς ἑτέρων χεῖρας ὁρᾷ, μόνον ἐκείνοις τὸν ἐπὶ τῇ συλλογῇ μόχθον καὶ τὸ τῆς πλεονεξίας ἔγκλημα προστριψάμενος. Οὔτε εἰ ἐπὶ γῆς πλέθρα κτήσαιτό τις μυρία καὶ μεγαλοπρεπεῖς οἰκίας καὶ ζῴων ἀγέλας παντοδαπῶν καὶ τὴν ἐν ἀνθρώποις ἅπασαν περιβάλοιτο δυναστείαν, ἀπολαύει **[548]** δι' αἰῶνος αὐτῶν· ἐπ' ὀλίγον δὲ ἀπὸ τούτων ὀνομασθεὶς ἄλλοις πάλιν τῆς εὐπορίας ἐκστήσεται, βραχεῖαν γῆν αὐτὸς ὑποδύς, πολλάκις δὲ καὶ πρὸ τοῦ τάφου καὶ πρὸ τῆς ἐντεῦθεν ἀπαναστάσεως εἰς ἑτέρους καὶ πολεμίους τυχόν, τὴν εὐπραγίαν ὄψεται μεταβαίνουσαν. Ἢ οὐκ ἴσμεν ὁπόσοι μὲν ἀγροί, πόσαι δὲ οἰκίαι, πόσα δὲ ἔθνη καὶ πόλεις καὶ ζώντων ἔτι τῶν κτησαμένων, ἑτέρων ὀνόματα μετημφιάσαντο δεσποτῶν; καὶ ὡς οἱ μὲν πάλαι δουλεύοντες ἐπὶ τὸν τῆς ἀρχῆς θρόνον ἀνέβησαν, οἱ δὲ κύριοι καὶ δεσπόται καλούμενοι στῆναι μετὰ τῶν ἀρχομένων ἠγάπησαν καὶ τοῖς ἑαυτῶν δούλοις ὑπέκυψαν, ὥσπερ ἐν κύβων περιτροπαῖς, μεταχθέντων ἄφνω τῶν πραγμάτων αὐτοῖς;

4. Τά γε μὴν εἰς βρῶσιν ἡμῖν ἐπινενοημένα καὶ πόσιν καὶ πάντα, ὅσα πέρα τῆς χρείας ὁ πλοῦτος ὑβρίζων ἐμηχανήσατο πρὸς θεραπείαν τῆς ἀχαρίστου καὶ μηδὲν στεγούσης γαστρός, πότ' ἂν ἡμέτερα γένοιτο, κἂν ἐπαντλῆται διηνεκῶς; Ἅ γε μικράν τινα τῇ γεύσει μόνον ἐναποθέμενα κατὰ τὴν πάροδον ἡδονήν, εὐθὺς ὡς ὀχληρὰ καὶ περιττὰ δυσχεραίνομεν καὶ μετὰ σπουδῆς ἔξω ποι βάλλομεν, ὡς εἰ τοῖς σπλάχνοις ἐγχρονίσοι, τὰ μέγιστα περὶ τοῦ ζῆν κινδυνεύσοντες. Πολλοῖς γοῦν ὁ κόρος ἤγαγε θάνατον καὶ τοῦ μηδενὸς ἀπολαύειν ἔτι γεγένηται πρόξενος. Κοῖται δὲ ἀσελγεῖς καὶ βέβηλοι συμπλοκαὶ καὶ πάντα ὅσα λυττώσης ἔργα καὶ παραφόρου ψυχῆς, οὐχὶ πρόδηλος πάντῃ ζημία τῇ φύσει καὶ βλάβη περιφανὴς καὶ τῶν ἰδίων ὄντως ἑκάστου μᾶλλον ἀλλοτρίωσίς τε καὶ μείωσις, ἐλαττουμένου τοῦ σώ-

ματος ἐν ταῖς μίξεσι καὶ τῆς γνησιωτάτης καὶ συνεκτικωτάτης τῶν μελῶν ἀποσυλωμένου τροφῆς; Τοιγαροῦν ἑκάστου τῶν ταῖς ἀσελγέσιν ἐγκαλινδηθέντων εὐναῖς, μετὰ τὴν πρᾶξιν εὐθύς, ὅταν ὁ μὲν τῆς σαρκὸς οἶστρος ἀπομαρανθῇ πρὸς τὸ βδελυρὸν δὲ ὧν ἐνεχείρησε πέρας ἐλθὼν ὁ νοῦς, ὥσπερ ἐκ μέθης ἢ χειμῶνός τινος, τοῦ λογίσασθαι, ποῖ ποτέ ἐστι, λάβοι σχολήν, σφοδρός τις εἰσέρχεται τῆς ἀκρασίας μετάμελος. Ἀδρανεστέρου τε γὰρ αἰσθάνεται γεγενημένου τοῦ σώματος καὶ πρὸς τὴν τῶν ἀναγκαίων ἐργασίαν νωθροῦ καὶ παντάπασιν ἀσθενοῦς. Τοῦτο δὴ ἄρα καὶ τοῖς παιδοτρίβαις κατανοήσασιν ὁ τῆς σωφροσύνης ἐν ταῖς παλαίστραις γέγραπται νόμος, ἄσυλα παρὰ τῶν ἡδονῶν τοῖς νεανίσκοις φυλάττων τὰ σώματα καὶ οὐκ ἐπιτρέπων ἀγωνιζομένοις αὐτοῖς, οὐδὲ ὅσον προσβλέψαι ταῖς λαμπούσαις μορφαῖς, εἴγε ἐθέλοιεν στεφανωθῆναι τὴν κεφαλήν, ὡς τῆς ἀκρασίας γέλωτα ἀγούσης ἐν τῷ παλαίειν, οὐ στέφανον.

5. Ταῦτα μὲν ὡς ἀλλότρια πάντη καὶ περιττὰ καὶ οὐδενὸς ἴδια γενέσθαι δυνάμενα, παρατρέχειν καλόν, τοὺς ὀφθαλμοὺς ἐπιμύσαντας· τῶν δὲ ὄντως ἡμετέρων πρόνοιαν προσήκει ποιεῖσθαι πολλήν. Τί δὲ ὄντως **[549]** ἡμέτερον; Ψυχή τε, ᾗ ζῶμεν, λεπτή τις οὖσα καὶ νοερὰ καὶ οὐδὲν δεομένη τῶν βαρυνόντων· καὶ σῶμα, τὸ ταύτῃ δοθὲν ὄχημα πρὸς τὸν βίον παρὰ τοῦ κτίσαντος. Τοῦτο γὰρ ἄνθρωπος· νοῦς ἐνδεδεμένος προσφόρῳ καὶ πρεπούσῃ σαρκί. Τοῦτο ὑπὸ τοῦ πανσόφου τεχνίτου τῶν ὅλων ἐν τοῖς μητρῴοις ἡμῶν πλάττεται κόλποις. Τοῦτο εἰς φῶς ἐκ τῶν σκοτεινῶν ἐκείνων θαλάμων ὁ τῶν ὠδίνων ἄγει καιρός. Τοῦτο ἄρχειν ἐτάχθη τῶν ἐπὶ γῆς. Τούτῳ γυμνάσιον ἀρετῆς ἡ κτίσις ὑφήπλωται. Τούτῳ κεῖται νόμος, μιμεῖσθαι τὸν πλάστην εἰς δύναμιν καὶ τὴν ἐν οὐρανοῖς εὐταξίαν σκιαγραφεῖν ἐπὶ γῆς. Τοῦτο, ἐντεῦθεν καλούμενον, ἀπανίσταται. Τοῦτο τῷ τοῦ πέμψαντος Θεοῦ παρίσταται βήματι. Τοῦτο εὐθύνεται· τοῦτο δέχεται τὴν τῶν ἐνταῦθα πεπολιτευμένων ἀντίδοσιν. Καὶ τὰς ἀρετὰς δὲ ἡμέτερα κτήματα γινόμενα εὕροι τις ἄν, ὅταν ἐξ ἐπιμελείας συνυφανθῶσι τῇ φύσει· καὶ οὔτε ἐπὶ γῆς μοχθοῦντας ἡμᾶς ἀπολιμπάνειν ἐθέλουσιν, ἢν μὴ πρὸς βίαν αὐτὰς ἑκόντες ἀποδιώξωμεν ταῖς τῶν χειρόνων ἐπαγωγαῖς· ἐκεῖσέ τε ἐπειγομένων προτρέχουσι καὶ τοῖς ἀγγέλοις τὸν κτησάμενον συντάττουσι καὶ λάμπουσι δι' αἰῶνος ὑπὸ τοῖς τοῦ κτίσαντος ὀφθαλμοῖς. Πλοῦτος δὲ καὶ δυναστεία καὶ περιφάνεια καὶ τρυφὴ καὶ πᾶς ὁ τοιοῦτος ὄχλος, ὁ καθ' ἡμέραν ἐκ τῆς ἡμετέρας ἀνοίας αὐξανόμενος, οὔτε συμπροῆλθε πρὸς τὸν βίον ἡμῖν, οὔτε συναπῆλθέ τισιν, ἀλλὰ τὸ τῷ δικαίῳ πάλαι ῥηθὲν ἐπὶ παντὸς ἀνθρώπου πέπηγε καὶ κρατεῖ· «γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι»[1].

6. Ὁ μὲν οὖν ἄριστα βουλευόμενος, τῆς ψυχῆς ὅτι μάλιστα φρον-

1. Ἰὼβ 1,21.

τίσει καὶ τοῦτο διὰ πάντων πειράσεται σώζειν εἰλικρινές τε καὶ γνήσιον· τῆς σαρκὸς δὲ ἢ λιμῷ τηκομένης, ἢ κρυμῷ καὶ θάλπει προσπαλαιούσης, ἢ νόσοις ἀλγυνομένης, ἢ πασχούσης τι παρά τινων βίαιον, ὀλίγον ποιήσεται τὸν λόγον, τὸ τοῦ Παύλου φωνῶν ἐφ' ἑκάστου τῶν δυσχερῶν καὶ φθεγγόμενος· «εἰ καὶ ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος φθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέραν καθ' ἡμέραν»[1]. Καὶ οὔτε τοὺς ὑπὲρ τοῦ ζῆν κινδύνους προϊόντας ὁρῶν, φανήσεται δεδιώς, ἀλλ' ἑαυτῷ λέξει θαρρῶν· «οἴδαμεν, ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς»[2]. Εἰ δέ τις ἐθέλοι φείδεσθαι καὶ τοῦ σώματος, ὡς μόνου κτήματος ἀναγκαίου ψυχῇ καὶ συνεργοῦντος αὐτῇ πρὸς τὸ ζῆν ἐπὶ γῆς, μικρὰ πρὸς τὰς τούτου χρείας ἐπιστραφήσεται καὶ ὥστε συνέχειν μόνον αὐτὸ καὶ τῇ τῆς ψυχῆς ὑπηρεσίᾳ διὰ μετρίας ἐπιμελείας ἐρρωμένον τηρεῖν, μὴ μέντοιγε ἐπιτρέπειν ὑπὸ κόρου σκιρτᾶν. Εἰ δὲ ἴδοι ποτὲ ταῖς τοῦ πλείονος καὶ πέρα τοῦ λυσιτελοῦντος ἐπιθυμίαις φλεγόμενον, βοήσει πρὸς αὐτὸ τὸ τοῦ Παύλου νομοθετῶν· «οὐδὲν **[552]** εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα· ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα»[3]. Ταῦτα μὲν γὰρ ἐπάδων αὐτῷ συνεχῶς καὶ βοῶν, εὐήνιόν τε αὐτὸ καὶ κοῦφον ἀεὶ πρὸς τὴν οὐράνιον ὁδοιπορίαν ἐργάσεται καὶ μᾶλλον εἰς τὰ προκείμενα κτήσεται συνεργόν· εἰ δὲ ὑβρίζειν αὐτὸ συγχωρήσοι καὶ πάντων ἐφ' ἡμέραν ἐμπίπλασθαι, καθάπερ τι θηρίον ἀνήμερον, ὕστερον ταῖς βιαίοις αὐτοῦ πρὸς γῆν ἀνθολκαῖς συνεπισπασθείς, κείσεται στένων ἀνόνητα. Καὶ πρὸς τὸν Δεσπότην ἀχθεὶς καὶ τῆς ἐπὶ γῆς πορείας τῆς ἐνδοθείσης αὐτῷ τὸν καρπὸν ἀπαιτούμενος, εἶτα οὐκ ἔχων δοῦναι, θρηνήσει μακρὰ καὶ σκότος οἰκήσει διηνεκές, πολλὰ τῇ τρυφῇ καὶ τῇ ταύτης πλάνῃ μεμφόμενος, ὑφ' ἧς τὸν τῆς σωτηρίας ἐσυλήθη καιρόν· οὐδὲν δὲ ἐκ τῶν δακρύων ἔτι κερδαίνων. «Ἐν γὰρ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;»[4] φησὶν ὁ Δαβίδ.

7. Φύγωμεν οὖν ὅπως ἕνι τάχους, μὴ ἑαυτοὺς ἑκόντες συμπνίξωμεν. Εἰ δ' ἄρα τις καὶ πάλαι δελεασθείς, ἢ πλούτου κόνιν ἐξ ἀδικίας ἐφ' ἑαυτὸν συνεφόρησε καὶ τὸν νοῦν ταῖς τούτου μερίμναις κατέδησεν, ἢ μύσος ἀσελγείας προσῆψε τῇ φύσει δυσέκνιπτον, ἢ τῶν ἄλλων ἐγκλημάτων ἐπλήρωσεν ἑαυτόν· οὗτος, ὡς ἔτι καιρός, πρὶν ἐλθεῖν εἰς τελείαν ἀπώλειαν, ἀποθέσθω τῶν φορτίων τὰ πλείονα καὶ πρὶν ὑποβρύχιον γενέσθαι τὸ σκάφος, ἐκβολὴν ποιησάσθω τῶν ἀγωγίμων, ἃ μὴ δεόντως συνέλεξε καὶ μιμησάσθω τοὺς τῆς θαλάττης ἐργάτας. Ἐκεῖνοι γάρ, εἰ καί τι τῶν ἀναγκαίων ἐπὶ τῆς νηὸς ἄγοντες τύχοιεν, κλύδων δὲ ἐπαναστῇ ζέων ἐκ τοῦ πελάγους αὐτοῖς καὶ καλύπτειν ἀπειλήσῃ πεπιεσμένην τῷ φόρτῳ τὴν ναῦν, ὅπως ἔχουσι τάχους,

1. Β' Κορ. 4,16. 2. Β' Κορ. 5,1. 3. Α' Τιμ 6,7-8. 4. Ψαλ. 6,6.

τὸ πολὺ τοῦ βάρους ἀποσκευάζουσι καὶ τὴν ἐμπορίαν ἀφειδῶς ἀντλοῦσιν εἰς θάλασσαν, ὥστε ὑψηλοτέραν ποιῆσαι τὴν ναῦν τοῦ κύματος καὶ μόναις ταῖς ψυχαῖς, εἴπερ οἷόν τε καὶ τοῖς σώμασιν ἐκ τοῦ κινδύνου δοῦναι φυγήν. Πολλῷ δὲ ἐκείνων δήπου μᾶλλον ταῦτα ἡμᾶς βουλεύεσθαί τε προσήκει καὶ πράττειν. Ἐκεῖνοι μὲν γὰρ ὅπερ ἂν ἀπορρίψωσιν, εὐθέως ἀπώλεσαν καὶ περίεσταται λοιπὸν βία πενίας αὐτοῖς· ἡμεῖς δὲ ἐφ' ὅσον ἂν τὸν πονηρὸν ἐξαντλήσωμεν φόρτον, πλείονα καὶ βελτίονα ταῖς ψυχαῖς πλοῦτον ἐπισωρεύσομεν. Πορνεία μὲν γὰρ καὶ ὅσα τοιαῦτα, ῥιφέντα διόλλυται καὶ πρὸς τὸ μηδὲ εἶναι χωρεῖ, λυθέντα τοῖς δάκρυσιν· ἀγιότης δὲ καὶ δικαιοσύνη λοιπὸν εἰς τὸν ἐκείνων μεθίσταται χῶρον, πράγματα κοῦφα καὶ οὐκ εἰδότα κύμασι καλυφθῆναί τισι. Τὰ χρήματά γε μήν, ἐκβληθέντα καλῶς, οὔτε ἀπόλλυται τοῖς ἐκβαλοῦσι καὶ ῥίψασιν· ἀλλ' ὥσπερ εἰς ὁλκάδας ἄλλας ἀσφαλεστέρας τινάς, τὰς **[553]** τῶν πενήτων μετατεθέντα γαστέρας, διασώζεται καὶ φθάνει πρὸς λιμένας ἐλθόντα καὶ φυλάττεται τοῖς ἐκβάλλουσι, κόσμος, οὐ κίνδυνος.

8. Βουλευσώμεθα τοίνυν, ἀγαπητοί, περὶ ἑαυτούς τι φιλάνθρωπον καὶ τὸ τῆς εὐπορίας ἄχθος, εἴπερ ὅλως ἐθέλοιμεν ποιήσασθαι κέρδος ἡμέτερον, πολλοῖς διανείμωμεν, οἳ βαστάσουσί τε αὐτὸ περιχαρῶς καὶ τοῖς τοῦ Δεσπότου κόλποις, ἀσύλοις ταμείοις, ἐναποκλείσουσιν, «ὅπου σὴς οὐκ ἀφανίζει, οὐδὲ λῃσταὶ διορύττουσιν, οὐδὲ κλέπτουσι»[1]. Δῶμεν ἐξουσίαν ὑπερχυθῆναι βουλομένῳ πρὸς τοὺς δεομένους τῷ πλούτῳ. Μὴ παραδράμωμεν τοὺς ἐν ὀφθαλμοῖς ἡμῶν ἔτι καὶ νῦν κειμένους Λαζάρους, μηδὲ τῶν ψιχίων τῆς ἡμετέρας τραπέζης ἀρκούντων αὐτοῖς εἰς κόρον βασκήνωμεν[2]· μηδέ, τὸν ἀνήμερον ἐκεῖνον ζηλώσαντες πλούσιον, πρὸς τὴν αὐτὴν ἐκείνῳ τῆς γεέννης φλόγα μετέλθωμεν. Ἐπεὶ πολλὰ μὲν τοῦ Ἀβραὰμ δεηθησόμεθα τότε, πολλὰ δὲ ἑκάστου τῶν βεβιωκότων καλῶς· οὐδὲν δὲ ἔσται κέρδος ἡμῖν τῆς βοῆς· «ἀδελφὸς γὰρ οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;»[3]. Ἐρεῖ δὲ ἕκαστος ἐκείνων ἡμῖν κεκραγώς· μὴ ζήτει φιλανθρωπίαν, ἣν αὐτὸς ἐφ' ἑτέρων ἠγνόησας· μηδὲ βούλου λαβεῖν οὕτω μεγάλα σὺ τῶν ἐλαττόνων φεισάμενος. Ἀπόλαυε τούτων ὧν ἐν τῷ βίῳ συνέλεξας. Δάκρυε νῦν, ἐπειδὴ τότε δακρύοντα τὸν ἀδελφὸν ὁρῶν οὐκ ἠλέησας. Ταῦτα ἐροῦσι καὶ δικαίως ἡμῖν. Δέδοικα δὲ ἐγώ, μὴ καὶ πικροτέροις ἡμᾶς τούτων βάλωσι ῥήμασιν, ἐπειδὴ καὶ νικῶμεν ἐκεῖνον, ὡς ἴστε, τῇ πονηρίᾳ τὸν πλούσιον. Οὐδὲ γὰρ φειδόμενοι καθάπαξ πλούτου, τοὺς ἐρριμμένους χαμαὶ παρατρέχομεν ἀδελφούς, οὐδὲ τοῖς παισὶν ἢ τοῖς ἄλλοις οἰκείοις τὴν εὐπορίαν φυλάττοντες, ἀποκλείομεν τοῖς δεομένοις τὰς ἀκοάς· ἀλλὰ τὴν δαπάνην μετατιθέντες ἐπὶ τοῖς χείροσι καὶ τὸ φιλότιμον ἀκόνην πονηρίας ποιούμενοι τοῖς ταύτην ἐπιτηδεύουσι. Πόσαι γὰρ ἢ πόσοι τῶν ἐνίων

1. Πρβλ. Ματθ. 6,20. 2. Πρβλ. Λουκ. 16,20. 3. Ψαλ. 48,8.

περιεστήκασι τράπεζαν[1] οἱ μὲν αἰσχροῖς ῥήμασι τὸν ἑστιάτορα θέλγοντες, οἱ δὲ ἀτόποις βλέμμασί τε καὶ σχήμασι τὸ τῆς ἀκρασίας ἐκκαίοντες πῦρ· οἱ δὲ τοῖς εἰς ἀλλήλους σκώμμασι γέλωτα τῷ κεκληκότι κατασκευάζειν ἐθέλοντες· ἄλλοι δὲ ἐψευσμένοις ἐπαίνοις ἀπατῶντες αὐτόν. Καὶ οὐ τὸ μὲν οὕτως ἑστιαθῆναι λαμπρῶς μόνον κερδαίνουσιν, ἀλλὰ καὶ τὰς χεῖρας πεπληρωμένας πολυτελῶν δώρων κατάγουσι καὶ μανθάνουσι παρ' ἡμῶν, ὅτι λυσιτελεῖ μᾶλλον τῶν ἀρετῶν τὰ τοιαῦτα μετιέναι καὶ πράττειν αὐτοῖς. Εἰ δὲ παρασταίη πένης ἡμῖν, **[556]** μόλις ὑπὸ τοῦ λιμοῦ καὶ φθεγγόμενος, ἀποστρεφόμεθα τὸν ὀμοφυῆ, βδελυττόμεθα, μετὰ σπουδῆς ἀποτρέχομεν, ὥσπερ δεδοικότες μὴ καὶ τῆς δυσπραγίας αὐτῆς ἐκ τοῦ σχολαίτερον βαδίσαι μετάσχωμεν. Καί, εἰ μὲν εἰς γῆν νεύσοι, τὴν συμφορὰν αἰσχυνόμενος, ὑποκρίσεως εἶναι λέγομεν ἐργάτην αὐτόν· εἰ δὲ μετὰ παρρησίας προσβλέψοι διὰ τὸ βαρὺ τοῦ λιμοῦ κέντρον ἡμᾶς, ἀναιδῆ πάλιν καλοῦμεν καὶ βίαιον. Καί, εἰ μὲν τύχοι καλυπτόμενος ὑγιέσιν ἐσθήμασιν δεδωκότος τινός, ὡς ἄπληστον ἀπελαύνομεν καὶ ὀμνύμεθα προσποιεῖσθαι πενίαν αὐτόν· εἰ δὲ σκεπάζοιτο σεσηπόσι ῥακίοις, ὡς ὀδωδότα πάλιν διώκομεν καὶ οὔτε τὸ τοῦ κτίσαντος ὄνομα ταῖς ἱκετηρίαις ἐκεῖνος ἀναμιγνύς, οὔτε τὸ μὴ τοιούτοις πάθεσι περιπεσεῖν ἡμᾶς ἐξορκῶν συνεχῶς, δύναται τὴν ἀνελεῆ κάμψαι προαίρεσιν. Διὰ ταῦτα ὑφορῶμαι βαρύτερον τῆς γεέννης τὸ πῦρ ἤπερ ἐκεῖνος ὁ πλούσιος[1]. Εἰ μὲν οὖν ὁ καιρὸς ἐνεδίδου, δύναμίς τε ἀρκοῦσα ὑπῆν, πάντα ἂν ὑμῖν τὰ κατ' ἐκεῖνον, ὅπως ἔδειξεν ἡ Βίβλος, ἐπεξελθὼν ἀπέδωκα τὴν ἐργασίαν τῶν λόγων· νῦν δὲ ὥρα διαφεῖναι πεπονηκότας ὑμᾶς. Αὐτοὶ δέ, εἰ καί τι παραλελοίπαμεν δι' ἀσθένειαν ἐννοίας ἅμα καὶ γλώττης, ἑαυτοῖς ἀναπλάττοντες, ὥσπερ τινὰ φάρμακα τοῖς τῶν ψυχῶν προσαγάγετε τραύμασι. «Δίδου γὰρ σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται»[2], φησὶν ἡ Γραφή. «Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα, ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν»[3].

9. Ἀλλὰ γὰρ ἤδη πρὸς λιμένας ἡμῖν, ὡς ὁρᾶτε, καταχθέντα τὸν λόγον, εἰς τὸν τῆς συμβουλῆς δρόμον αὖθις ἀδελφοί τινες ἐπανάγουσι, μὴ παραδραμεῖν τὰ χθὲς ὑπὸ τοῦ Δεσπότου θαυματουργηθέντα κελεύοντες, μηδὲ σιγῆσαι τὸ τρόπαιον, ὃ κατὰ τῆς τοῦ διαβόλου λύττης ἔστησεν ὁ Σωτήρ, δοῦναι δὲ ἀφορμὴν τῶν τῆς ὑμνῳδίας σκιρτημάτων ὑμῖν. Πάλιν μὲν γάρ, ὡς ἴστε, τὴν οἰκείαν ὁ διάβολος καθ' ἡμῶν ἐπεδείξατο λύτταν καὶ φλογὶ πυρὸς ὁπλίσας ἑαυτόν, τοῖς τῆς Ἐκκλησίας σηκοῖς ἐπεστράτευσε. Πάλιν δὲ ἡ κοινὴ μήτηρ ἐνίκησε καὶ τῷ πολεμίῳ περιέτρεψε τὸ μηχάνημα καὶ οὐδὲν ὑπῆρξεν αὐτῷ πλὴν τοῦ δημοσιεῦσαι τὴν ἔχθραν. Ἀντέπνευσεν ἡ χάρις ταῖς τοῦ πολεμίου ῥοπαῖς· ἔμεινε ὁ νεὼς ἀπαθής. Οὐκ ἴσχυσεν ὁ προσαχθεὶς ὑπὸ τοῦ

1. Πρβλ. Λουκ. 16,24. 2. Παρμ. 9,9. 3. Β' Κορ. 9,8.

πολεμίου χειμὼν τινάξαι τὴν πέτραν, ἐφ' ἧς ὁ Χριστὸς τὴν τῆς ἑαυτοῦ ποίμνης ὠκοδόμησε μάνδραν[1]. Ἐτάχθη καὶ νῦν μεθ' ἡμῶν ὁ καὶ πάλαι σβέσας ἐν Βαβυλῶνι τὴν κάμινον[2]. Πῶς οἴεσθε στένει σήμερον ὁ διάβολος, οὐκ ἀπολαύσας ἐφ' ὥπερ ἠβουλήθη τῆς ἐγχειρήσεως; Γείτονα μὲν γὰρ τῆς Ἐκκλησίας ὁ δυσμενὴς ἀνῆψε πυράν, ἵνα ταῖς ἡμετέραις εὐπραγίαις λυμήνηται· καὶ πανταχόθεν ἡ [557] φλὸξ ἀναρριπιζομένη ταῖς βιαίοις ἐκείνου πνοαῖς, ὑπερεχεῖτο τῶν ὑποκειμένων αὐτῇ καὶ τὸν ἀέρα τὸν ἐγγὺς ἐπενέμετο, ψαῦσαι τῶν ἀνακτόρων ἀναγκαζομένη καὶ πρὸς κοινωνίαν ἡμᾶς καθέλκουσα τῆς συμφορᾶς. Ὁ Σωτὴρ δὲ ἐπὶ τὸν ἀνάψαντα ταύτην ῥυῆναι πεποίηκε καὶ συστεῖλε τὴν μανίαν αὐτοῦ εἰς ἑαυτὸν πάλιν προσέταξε. Καὶ τὸ μὲν τῆς ἐπιβουλῆς τόξον ηὐτρέπισεν ὁ πολέμιος· ἀφεῖναι δὲ τὸ βέλος κεκώλυται· μᾶλλον δὲ ἀφῆκε μέν, ἀντέστραπται δὲ ἐπὶ τὴν ἑαυτοῦ κεφαλήν. Αὐτὸς ἀπολαύει τῶν πικρῶν ἐκείνων δακρύων, ἅπερ ἡμῖν παρεσκεύασεν. Ἀλλὰ ποιήσωμεν, ἀδελφοί, τὸ τραῦμα τῷ δυσμενεῖ φορτικώτερον, ἐπιτείνωμεν τὸ πένθος αὐτοῦ. Τὸ δὲ ὅπως, λέξω μὲν ἐγώ, πράξατε δὲ ὑμεῖς. Εἰσί τινες ἐκ τῆς ἐπικρατείας τοῦ πυρὸς ἁναρπασθέντες ὑπὸ τοῦ κτίσαντος καὶ μηδεμίαν ἔχοντες περιλελειμμένην αὐτοῖς βίου λοιπὸν ἀφορμήν, ἀλλὰ μόνῃ τῇ ψυχῇ καὶ τῷ σώματι διαφυγόντες τὸν κίνδυνον. Ἡμεῖς τοίνυν ὅσοι τῆς τῶν δυσχερῶν ἄγευστοι πείρας ἐμείναμεν, κοινὴν ἐκείνοις προθῶμεν τὴν εὐπορίαν τὴν ἑαυτῶν. Ἐναγκαλισώμεθα τοὺς περισωθέντας μόλις τῶν ἀδελφῶν, εἴπωμεν πρὸς ἕκαστον ἕκαστος· «νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπολωλὼς καὶ εὑρέθη»[3]· καὶ τὸ συγγενὲς σῶμα σκεπάσωμεν. Ἀντιστήσωμεν ταῖς τοῦ δυσμενοῦς ἐπηρείαις τὴν ἡμετέραν παράκλησιν, ἵνα καὶ βλάπτων ἐκεῖνος μηδὲν μέγα βλάψαι δοκῇ καὶ πολεμήσας, μηδένα δεῖξαι νενικημένον καὶ περιελὼν τὴν εὐπορίαν τῶν ἀδελφῶν, ὑπὸ τῆς ἡμετέρας φιλοτιμίας φανείη νικώμενος.

10. Ὑμεῖς δὲ οἱ διαφυγόντες τὸν κίνδυνον, ἀδελφοί, μὴ σφόδρα ἄχθεσθε τοῖς συμβεβηκόσι κακοῖς, μηδὲ κατασεισθῆτε τὴν ἔννοιαν, ἀλλ' ἀποτινάξασθε τὴν τῆς λύπης ἀχλὺν καὶ τὰς ψυχὰς ἀναρρώσατε λογισμοῖς ἀνδρειοτέροις χρησάμενοι καὶ τὸ συμβεβηκὸς στεφάνων ποιήσασθε πρόφασιν. Ἂν γὰρ ἀκατάσειστοι μείνητε καὶ τῇ πίστει φανήσεσθε δοκιμώτεροι, καθάπερ χρυσὸς εὐγενὴς ἐκ τοῦ πυρὸς ἀναλάμψαντες καὶ τῷ δυσμενεῖ τὴν αἰσχύνην αὐξήσετε μᾶλλον, ὡς οὐδὲ δάκρυον ὑμῖν δυνηθέντι κινῆσαι, δι' ὧν ἐπεβούλευσεν. Ἀναμνήσατε τῆς τοῦ Ἰὼβ ἑαυτοὺς καρτερίας. Εἴπατε πρὸς ἑαυτούς ἅπερ ἐκεῖνος· «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο»[4]. Καὶ μηδεὶς ἐξ ὧν ἔπαθεν ἀναπεισθῇ λογίσασθαί τε καὶ λέγειν, ὡς ἄρα οὐδεμία πρόνοια τάττει τὰ καθ' ἡμᾶς, μηδὲ κατη-

1. Πρβλ. Ματθ. 16,18. 2. Πρβλ. Δαν. 3,49. 3. Λουκ. 15,24. 4. Ἰὼβ 1,21.

γορείτω τῆς οἰκονομίας τοῦ Δεσπότου καὶ κρίσεως· ἀλλ' εἰς τὸν ἀθλητὴν ἐκεῖνον ὁράτω, κἀκεῖνον σύμβουλον ποιείσθω τοῦ κρείττονος. Ἀναλογιζέσθω τοὺς ἀγῶνας ἅπαντας ἐφεξῆς, ἐφ' οἷς ἐκεῖνος ἠρίστευσε· καὶ πόσοις βέλεσιν ὑπὸ τοῦ διαβόλου βληθείς, οὐκ ἐδέξατο καιρίαν πληγήν. Περιεῖλε μὲν γὰρ αὐτοῦ τὴν εὐπραγίαν τῶν οἰκείων, καταχῶσαι δὲ αὐτὸν ταῖς ἐπαλλήλοις τῶν κακῶν ἐβουλεύσατο φήμαις. Ἔτι **[560]** γὰρ τοῦ προτέρου τὴν τοιάνδε συμφορὰν ἐξαγγέλοντος, ἕτερος ἄγγελος ἤρχετο, χειρόνων πραγμάτων φέρων κατήφειαν· ἀλλήλοις τε ἐπισυνήπτετο τὰ δεινὰ καὶ τὴν τῶν κυμάτων ἐπιδρομὴν ἐζήλουν αἱ συμφοραὶ καὶ πρὶν ἢ παυθῆναι τὸ πρότερον δάκρυον, ἑτέρου προσήγετο πρόφασις. Ὁ δίκαιος δὲ ὥσπερ τις πρόβολος εἱστήκει τὰς τοῦ χειμῶνος ὑποδεχόμενος προσβολὰς καὶ ἀλλοιῶν εἰς ἀφρὸν τῶν κυμάτων τὴν βίαν καὶ τὴν εὐγνώμονα πρὸς τὸν Δεσπότην ἠφίει φωνήν· «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο»[1]· καὶ οὐδὲν τῶν συμβαινόντων δακρύων ἠξίωσεν. Ἐπειδὴ δὲ ἦκέ τις ἀγγέλλων, ὡς τοῖς παισὶ καὶ ταῖς θυγατράσιν εὐωχουμένοις ἐπετίναξε πνεῦμά τι βίαιον τὸ τῆς εὐφροσύνης δωμάτιον, τότε μόνον τὴν ἐσθῆτα διέρρηξε, τὸ τῆς φύσεως ἐπιδεικνύμενος συμπαθὲς καὶ ὅτι πατὴρ εἴη φιλόστοργος οἷς ἔπραττε μαρτυρόμενος. Πλὴν καὶ τότε ταῖς λύπαις ὅρον καὶ μέτρον ἐπιτιθεὶς καὶ ταῖς εὐσεβέσιν ἐκείναις φωναῖς κοσμῶν τὸ γινόμενον, ἔλεγεν· «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος, ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο»[2], μονονουχὶ τοιαῦτα βοῶν· ἐκλήθην πατὴρ ἐφ' ὅσον ὁ τοῦτό με ποιήσας ἐβούλετο χρόνον. Περιελεῖν μου τὸν ἐκ τῆς γονῆς στέφανον ἐβουλεύσατο πάλιν, οὐ διαμάχομαι περὶ τῶν ἰδίων αὐτῷ. Κρατείτω τὸ τῷ Δεσπότῃ δοκοῦν· αὐτός ἐστιν ὁ πλάστης τοῦ γένους, ἐγὼ δὲ ὄργανον. Τί με χρὴ δοῦλον ὄντα δυσχεραίνειν ἀνόνητα καὶ μέμφεσθαι ψῆφον, ἣν οὐ δύναμαι λύειν; Τοιούτοις τὸν διάβολον ὁ δίκαιος κατηκόντιζε ῥήμασιν.

11. Ἐπειδὴ δὲ αὐτὸν νικῶντα εἶδε πάλιν ὁ δυσμενὴς καὶ οὐδενὶ τούτων τιναχθῆναι δυνάμενον, αὐτῇ τῇ σαρκὶ τὸ τῆς πείρας προσῆγε μηχάνημα καὶ τὸ σῶμα μαστίξας ἀῤῥήτοις πληγαῖς, σκωλήκων ἀναδίδοσθαι πηγὰς ἐξ αὐτοῦ παρεσκεύασε· καὶ τῶν τῆς βασιλείας θρόνων τὸν ἄνδρα καταγαγὼν ἐπὶ κοπρίας ἐκάθισεν. Ὁ δὲ καὶ τοιούτοις βαλλόμενος πάθεσιν, ἀκίνητος ἔμεινε· καὶ σπαραττομένου τοῦ σώματος, ἄσυλον ἐφύλαττε τὸν τῆς εὐσεβείας θησαυρὸν ἐν τῷ κρυπτῷ τῆς ψυχῆς. Οὐκ ἔχων τοίνυν ὅ τι ποιήσει λοιπὸν ὁ πολέμιος, ἐπὶ τὴν τῆς ἀρχαίας ἐπιβουλῆς ἔρχεται μνήμην καὶ τὴν τοῦ γυναίου διάνοιαν ὑποσύρας εἰς ἀσεβῆ γνώμην καὶ βλάσφημον, δι' ἐκείνης σαλεύειν ἐπειρᾶτο τὸν ἀθλητήν. Καὶ ἡ μὲν πρὸς τὸν μακρὸν χρόνον ἀπαγορεύσασα, τῷ δικαίῳ παρίστατο, κάτω νενευκυῖα καὶ τὰς χεῖ-

1. Ἰὼβ 1,21. 2. Αὐτόθι.

ρας ἐπὶ τοῖς ὁρωμένοις συγκρούουσα καὶ τοὺς τῆς εὐσεβείας αὐτῷ καρποὺς ὀνειδίζουσα καὶ καταλέγουσα μὲν τὴν παλαιὰν εὐθηνίαν τῶν οἰκείων, ὑποδεικνύουσα δὲ τὰ παρόντα κακὰ καὶ οἷον ἐξ οἵων ἔλαχε βίον καὶ τίνα τῶν πολλῶν θυσιῶν ἐδέξατο παρὰ τοῦ Δεσπότου μισθόν, ἔλεγέ τε ἀεὶ τῆς μὲν τῶν γυναικῶν ὀλιγο[561]ψυχίας ἄξια ῥήματα, ταράξαι δὲ πάντα ἄνδρα δυνάμενα καὶ περιτρέψαι καὶ γενναίαν διάνοιαν· πλανῆτις γὰρ καὶ λάτρις περιέρχομαι, ἡ βασιλὶς δουλεύω καὶ πρὸς τὰς τῶν ἐμῶν οἰκετῶν χεῖρας ἠνάγκασμαι βλέπειν καὶ τρέφουσα πάλαι πολλούς, ἀγαπητῶς ἐκ τῶν ἀλλοτρίων παρατρέφομαι νῦν· καὶ ὅτι καλὸν εἴη καὶ χρήσιμον, ἀσεβέσι χρησάμενον ῥήμασιν ἑαυτὸν τῆς γῆς ἐκτεμεῖν, τὸ τῆς τοῦ κτίσαντος ὀργῆς ἀκονήσαντα ξίφος, ἢ διακαρτεροῦντα πρὸς τὰ δεινά, τὸν ἐν τοῖς ἀγῶσι μόχθον ἑαυτῷ καὶ τῇ συνοικούσῃ μηκύνειν. Ὁ δέ, ἐπὶ τούτοις τοῖς ῥήμασιν ἀχθεσθείς, ὡς ἐπ' οὐδενὶ τῶν προτέρων κακῶν καὶ θυμοῦ τὸ βλέμμα πληρώσας καὶ πρὸς τὴν γυναῖκα καθάπερ πρὸς πολεμίαν ἀποστραφείς, τί φησιν; Ἵνα τί ὡς μία τῶν ἀφρόνων γυναικῶν ἐφθέγξω; Κατάθου, φησίν, ὦ γύναι, τὴν συμβουλήν. Μέχρι τίνος τὴν κοινὴν ἐν οἷς λέγεις ὑβρίζεις ζωήν; Ἐψεύσω καὶ τὴν ἐμήν, ὡς οὐκ ηὐχόμην, ἀναστροφήν, διέβαλες ἐν οἷς ἐλάλησας καὶ τὸν ἐμὸν βίον. Ἐξ ἡμισείας ἠσεβηκέναι νενόμικα νῦν, ἐπειδήπερ ἓν μὲν σῶμα ἀμφοτέρους ἡμᾶς ὁ γάμος ἐποίησε, σὺ δὲ εἰς βλασφημίαν κατέπεσες. «Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;»[1]. Ἀνάμνησον τῶν φθασάντων σεαυτὴν ἀγαθῶν. Ἀντισήκωσον τὰ κρείττω τοῖς χείροσιν. Οὐδενὸς ἀνθρώπων ὁ βίος διόλου μακάριος. Τὸ διὰ παντὸς εὖ πράττειν μόνου Θεοῦ. Σὺ δέ, εἰ τοῖς παροῦσιν ἀλγεῖς, ἀπὸ τῶν προλαβόντων σαυτὴν παραμύθησαι. Νῦν δακρύεις, ἀλλ' ἐγέλασας πρότερον· νῦν πτωχεύεις, ἀλλ' ἐπλούτησας πρότερον. Ἔπιες τὸ διειδὲς νᾶμα τοῦ βίου καὶ τὸ θολερὸν τοῦτο πίνουσα καρτέρησον. Οὐδὲ τὰ τῶν ποταμῶν ῥεύματα διόλου φαίνεται καθαρά. Ποταμὸς δέ, ὡς οἶσθα, ὁ βίος ἡμῶν, ῥέων ἐνδελεχῶς καὶ κύμασιν ἀλλεπαλλήλοις πληρούμενος. Τὸ μὲν γὰρ αὐτοῦ προέρρευσεν ἤδη, τὸ δὲ ἔτι πορεύεται· καὶ τὸ μὲν ἄρτι προέκυψε τῶν πηγῶν, τὸ δὲ μέλλει· καὶ πρὸς τὴν κοινὴν ἅπαντες τοῦ θανάτου σπεύδομεν θάλατταν. «Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;»[2]. Ἀναγκάζομεν τὸν κριτὴν ὅμοια χορηγεῖν πράγματα δι' αἰῶνος ἡμῖν; Διδάσκομεν τὸν Δεσπότην, ὅπως χρὴ διεξάγειν τὸν ἡμέτερον βίον; Αὐτὸς τῶν οἰκείων ψήφων ἔχει τὴν ἐξουσίαν. Ὅπως βούλεται τάττει τὰ καθ' ἡμᾶς. Σοφὸς δέ ἐστι καὶ τὸ λυσιτελοῦν ἐπιμετρεῖ τοῖς οἰκέταις.

12. Μὴ περιεργάζου τοῦ Δεσπότου τὴν κρίσιν. Ἀγάπα μόνον τὰ παρὰ τῆς αὐτοῦ σοφίας οἰκονομούμενα. Ὅπερ ἂν δῷ σοι, τοῦτο

1. Ἰὼβ 2,10. 2. Αὐτόθι.

δέχου μεθ' ἡδονῆς. Δεῖξον ἐν τοῖς ἀλγεινοῖς, ὡς καὶ τῆς εὐφροσύνης ἀξία τῆς πρόσθεν ἐτύγχανες. Ταῦτα ὁ Ἰὼβ λέγων, ἀπεκρούσατο καὶ ταύτην τοῦ διαβόλου τὴν προσβολὴν καὶ τελείαν αὐτῷ τῆς ἥττης αἰσχύνην ἐπήγαγε. Τί οὖν ἐντεῦθεν συνέβαινεν; Ἔφυγεν αὖθις ἡ νόσος αὐτόν, ὡς εἰκῆ προσελθοῦσα καὶ μηδὲν ἀνύσασα πλέον. Ἀνέθαλεν εἰς δευτέραν ἥβην ἡ σάρξ, ἤνθησεν ὁ βίος πάλιν πᾶσι τοῖς ἀγαθοῖς καὶ διπλασίων ἐπὶ τὸν οἶκον **[564]** πανταχόθεν ὁ πλοῦτος συνέρρευσεν, ἵνα τὸ μὲν ὡς μηδὲν ἀπολωλεκὼς ἔχῃ, τὸ δὲ ὑπάρξῃ τῆς καρτερίας τῷ δικαίῳ μισθός. Διὰ τί δὲ ἵππους μὲν καὶ ἡμιόνους καὶ καμήλους καὶ πρόβατα καὶ γεώργια καὶ πᾶσαν τὴν τῆς περιουσίας τρυφὴν ἐκ τοῦ διπλασίονος ὑπεδέξατο, ὁ τῶν παίδων δὲ ἀριθμὸς ἴσος τοῖς ἀποθανοῦσιν ἐβλάστησεν; Ὅτι τὰ μὲν ἄλογα κτήνη καὶ πᾶς ὁ πλοῦτος διαφθειρόμενος, εἰς τελείαν ἦλθεν ἀπώλειαν· οἱ παῖδες δέ, καὶ τεθνεῶτες, ἔζων τῷ καλλίστῳ μέρει τῆς φύσεως. Κοσμηθεὶς οὖν αὖθις ἑτέροις υἱοῖς καὶ θυγατράσιν ὑπὸ τοῦ κτίσαντος καὶ τοῦτο εἶχε κτῆμα διπλοῦν. Οἱ μὲν γὰρ παρῆσαν τὴν ἐν τῷ βίῳ τοῖς γεννήσασιν εὐφροσύνην παρέχοντες, οἱ δὲ προοδεύσαντες ἀνέμενον τὸν φυτεύσαντα· τότε πάντες περιστησόμενοι τὸν Ἰώβ, ὅταν ὁ κριτὴς τῆς ἀνθρωπίνης ζωῆς συναγάγῃ τὴν Ἐκκλησίαν τὴν πάνδημον· ὅταν ἡ σάλπιγξ, ἡ τὴν τοῦ βασιλέως ἐπιδημίαν σημαίνουσα, τοῖς τάφοις σφοδρότερον ἐμβοήσασα, τὴν τῶν σωμάτων ἀπαιτήσῃ παρακαταθήκην. Τότε καὶ οἱ νῦν εἶναι δοκοῦντες νεκροὶ θᾶττον τῶν ζώντων παραστήσονται τῷ τῶν ὅλων δημιουργῷ. Διὰ τοῦτο, οἶμαι, διπλοῦν τὸν ἄλλον πλοῦτον ἐπιμετρήσας αὐτῷ, τοῖς παισὶν ἀρκεῖσθαι τοῖς ἴσοις αὐτὸν ἐδικαίωσεν. Ὁρᾷς ὁπόσα ὁ δίκαιος Ἰὼβ ἐκ τῆς ὑπομονῆς ἑαυτῷ συνέλεξεν ἀγαθά; Καὶ σὺ τοίνυν, εἴ τι σοι προσεπέλασε δυσχερὲς ἀπὸ τοῦ χθὲς ἀναφθέντος πυρὸς ἐκ τῆς τῶν δαιμόνων ἐπιβουλῆς, τοῦτο καρτέρησον καὶ τὴν ἐκ τοῦ πάθους ἀνίαν κρείττοσι κατεύνασον λογισμοῖς· καὶ κατὰ τὸ γεγραμμένον, «ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει»[1]. Αὐτῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Ψαλ. 54,23.

ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΥΣ

ΟΠΩΣ ΑΝ ΕΞ ΕΛΛΗΝΙΚΩΝ ΩΦΕΛΟΙΝΤΟ ΛΟΓΩΝ *

41 [564] 1. Πολλά με τὰ παρακαλοῦντά ἐστι συμβουλεῦσαι ὑμῖν, ὦ παῖδες, ἃ βέλτιστα εἶναι κρίνω, καὶ ἃ συνοίσειν ὑμῖν ἐλομένοις πεπίστευκα. Τό τε γὰρ ἡλικίας οὕτως ἔχειν καὶ τὸ διὰ πολλῶν ἤδη γεγυμνάσθαι πραγμάτων καὶ μὴν καὶ τὸ τῆς πάντα παιδευούσης ἐπ' ἄμφω μεταβολῆς ἱκανῶς μετασχεῖν, ἔμπειρόν με εἶναι τῶν ἀνθρωπίνων πεποίηκεν, ὥστε τοῖς ἄρτι καθισταμένοις τὸν βίον ἔχειν ὥσπερ ὁδοῦ τὴν ἀσφαλεστάτην ὑποδεικνύναι· τῇ τε παρὰ τῆς φύσεως οἰκειότητι εὐθὺς μετὰ τοὺς γονέας ὑμῖν τυγχάνω, ὥστε μήτ' αὐτὸς ἔλαττόν τι πατέρων εὐνοίας νέμειν ὑμῖν, ὑμᾶς δὲ νομίζω, εἰ μή τι ὑμῶν διαμαρτάνω τῆς γνώμης, μὴ ποθεῖν τοὺς τεκόντας, πρὸς ἐμὲ βλέ**[565]**ποντας. Εἰ μὲν οὖν προθύμως δέχοισθε τὰ λεγόμενα, τῆς δευτέρας τῶν ἐπαινουμένων ἔσεσθε παρ' Ἡσιόδῳ[α] τάξεως· εἰ δὲ μή, ἐγὼ μὲν οὐδὲν ἂν εἴποιμι δυσχερές, αὐτοὶ δὲ μέμνησθε τῶν ἐπῶν δηλονότι, ἐν οἷς ἐκεῖνός φησιν ἄριστον μὲν εἶναι τὸν παρ' ἑαυτοῦ τὰ δέοντα συνορῶντα, **42** ἐσθλὸν δὲ κἀκεῖνον τὸν τοῖς παρ' ἑτέρων ὑποδειχθεῖσιν ἑπόμενον, τὸν δὲ πρὸς οὐδέτερον ἐπιτήδειον ἀχρεῖον εἶναι πρὸς ἅπαντα. Μὴ θαυμάζετε δὲ εἰ καθ' ἑκάστην ἡμέραν εἰς διδασκάλου φοιτῶσι καὶ τοῖς ἐλλογίμοις τῶν παλαιῶν ἀνδρῶν δι' ὧν καταλελοίπασι λόγων συγγινομένοις ὑμῖν, αὐτός τι παρ' ἐμαυτοῦ λυσιτελέστερον ἐξευρηκέναι φημί. Τοῦτο μὲν οὖν αὐτὸ καὶ συμβουλεύσων ἧκω, τὸ μὴ δεῖν εἰς ἅπαξ τοῖς ἀνδράσι τούτοις, ὥσπερ πλοίου τὰ πηδάλια τῆς διανοίας ὑμῶν παραδόντας, ἥπερ ἂν ἄγωσι, ταύτῃ συνέπεσθαι, ἀλλ' ὅσον ἐστὶ χρήσιμον αὐτῶν δεχομένους, εἰδέναι τί χρὴ καὶ παριδεῖν. Τίνα οὖν ἐστι ταῦτα καὶ ὅπως διακρινοῦμεν, τοῦτο δὴ καὶ διδάξω ἔνθεν ἐλών.

2. Ἡμεῖς, ὦ παῖδες, οὐδὲν εἶναι χρῆμα παντάπασι τὸν ἀνθρώπινον βίον τοῦτον ὑπολαμβάνομεν, οὔτ' ἀγαθόν τι νομίζομεν ὅλως, οὔτ' ὀνομάζομεν, ὃ τὴν συντέλειαν ἡμῖν ἄχρι τούτου παρέχεται. Οὐκοῦν οὐ προγόνων περιφάνειαν, οὐκ ἰσχὺν σώματος, οὐ κάλλος[β], οὐ μέγεθος, οὐ τὰς παρὰ πάντων ἀνθρώπων τιμάς, οὐ βασιλείαν αὐτήν, οὐχ ὅ τι ἂν εἴποι τις τῶν ἀνθρωπίνων, μέγα, ἀλλ' οὐδ' εὐχῆς ἄξιον κρίνομεν, ἢ τοὺς ἔχοντας ἀποβλέπομεν, ἀλλ' ἐπὶ μακρότερον πρόϊμεν ταῖς ἐλπίσι καὶ πρὸς ἑτέρου βίου[1] παρασκευὴν ἅπαντα πράττομεν.

1. Πρβλ. Ματθ. 6,33.

α. Ἡσιόδου, Ἔργα καὶ Ἡμέραι 293 ἑξ. β. Πρβλ. Πλάτ. Πολιτ. 491c.

* Κατὰ τὴν ἔκδοσιν F. Boulenger, Aux jeunes gens, sur la manière de tirer profit des lettres helléniques, Paris 1935.

Ἃ μὲν οὖν ἂν συντελῇ πρὸς τοῦτον ἡμῖν, ἀγαπᾶν τε καὶ διώκειν παντὶ σθένει χρῆναί φαμεν, τὰ δ' οὐκ ἐξικνούμενα πρὸς ἐκεῖνον ὡς οὐδενὸς ἄξια παρορᾶν. Τίς δὴ οὖν οὗτος ὁ βίος καὶ ὅπῃ καὶ ὅπως αὐτὸν βιωσόμεθα, μακρότερον μὲν ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν ἐφικέσθαι, μειζόνων δὲ ἢ καθ' ὑμᾶς **43** ἀκροατῶν ἀκοῦσαι. Τοσοῦτόν γε μὴν εἰπὼν ἱκανῶς ἂν ἴσως ὑμῖν ἐνδειξαίμην ὅτι πᾶσαν ὁμοῦ τὴν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι τῷ λόγῳ τις συλλαβὼν καὶ εἰς ἓν ἀθροίσας εὐδαιμονίαν οὐδὲ πολλοστῷ μέρει τῶν ἀγαθῶν ἐκείνων εὑρήσει παρισουμένην, ἀλλὰ πλεῖον τοῦ ἐν ἐκείνοις ἐλαχίστου τὰ σύμπαντα τῶν τῇδε καλῶν κατὰ τὴν ἀξίαν ἀφεστηκότα ἢ καθ' ὅσον σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀπολείπεται. Μᾶλλον δέ, ἵν' οἰκειοτέρῳ χρήσωμαι τῷ παραδείγματι, ὅσῳ ψυχὴ τοῖς πᾶσι τιμιωτέρα σώματος, τοσούτῳ καὶ τῶν βίων ἑκατέρων ἐστὶ τὸ διάφορον.

Εἰς δὴ τοῦτον ἄγουσι μὲν Ἱεροὶ Λόγοι, δι' ἀπορρήτων ἡμᾶς ἐκπαιδεύοντες. Ἕως γε μὴν ὑπὸ τῆς ἡλικίας ἐπακούειν τοῦ βάθους τῆς διανοίας αὐτῶν οὐχ οἷόν τε, ἐν ἑτέροις οὐ πάντῃ διεστηκόσιν, ὥσπερ ἐν σκιαῖς τισι καὶ κατόπτροις, τῷ τῆς ψυχῆς ὄμματι τέως προγυμναζόμεθα, τοὺς ἐν τοῖς τακτικοῖς τὰς μελέτας ποιουμένους μιμούμενοι· **[568]** οἵ γε, ἐν χειρονομίαις καὶ ὀρχήσεσι τὴν ἐμπειρίαν κτησάμενοι, ἐπὶ τῶν ἀγώνων τοῦ ἐκ τῆς παιδιᾶς ἀπολαύουσι κέρδους. Καὶ ἡμῖν δὴ οὖν ἀγῶνα[1α] προκεῖσθαι πάντων ἀγώνων μέγιστον νομίζειν χρεών, ὑπὲρ οὗ πάντα ποιητέον ἡμῖν καὶ πονητέον εἰς δύναμιν ἐπὶ τὴν τούτου παρασκευὴν καὶ ποιηταῖς καὶ λογοποιοῖς καὶ ῥήτορσι καὶ πᾶσιν ἀνθρώποις ὁμιλητέον ὅθεν ἂν μέλλῃ πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ὠφέλειά τις ἔσεσθαι. Ὥσπερ οὖν οἱ δευσοποιοίᵝ, παρασκευάσαντες πρότερον θεραπείαις τισὶν ὅ τι ποτ' ἂν ᾖ τὸ δεξόμενον τὴν βαφήν, οὕτω τὸ ἄνθος ἐπάγουσιν, ἄν τε ἁλουργόν, ἄν τέ τι ἕτερον ᾖ· τὸν αὐτὸν δὴ καὶ ἡμεῖς τρόπον, εἰ μέλλει ἀνέκπλυτος ἡμῖν ἡ τοῦ καλοῦ παραμένειν δόξα, τοῖς ἔξω δὴ τούτοις προτελεσθέντες, τηνικαῦτα τῶν ἱερῶν καὶ ἀπορρήτων ἐπακουσόμεθα **44** παιδευμάτων· καὶ οἷον ἐν ὕδατι τὸν ἥλιονᵞ ὁρᾶν ἐθισθέντες οὕτως αὐτῷ προσβαλοῦμεν τῷ φωτὶ τὰς ὄψεις.

3. Εἰ μὲν οὖν ἔστι τις οἰκειότης πρὸς ἀλλήλους τοῖς λόγοις, προὔργου ἂν ἡμῖν αὐτῶν ἡ γνῶσις γένοιτο· εἰ δὲ μή, ἀλλὰ τό γε παράλληλα θέντας καταμαθεῖν τὸ διάφορον οὐ μικρὸν εἰς βεβαίωσιν τοῦ βελτίονος. Τίνι μέντοι καὶ παρεικάσας τῶν παιδεύσεων ἑκατέραν, τῆς εἰκόνος ἂν τύχοις; Ἤπου καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ τῷ καρπῷ βρύειν ὡραίῳ, φέρει δέ τινα κόσμον καὶ φύλλα τοῖς κλάδοις περισειόμενα· οὕτω δὴ καὶ ψυχῇ προηγουμένως μὲν καρπὸς ἡ ἀλήθεια, οὐκ

1. Πρβλ. Ἑβρ. 12,1. Α' Κορ. 9,25.

α. Πρβλ. Πλάτ. Πολιτ. 608b. β. Πρβλ. Πλάτ. Πολιτ. 429de. Ἰαμβλ. Πυθαγορικὸς βίος 17,76. γ. Πρβλ. Πλάτ. Πολιτ. 516b. Πλουτάρχου, Πῶς δεῖ τὸν νέον τῶν ποιημάτων ἀκούειν 14,36e.

ἄχαρί γε μὴν οὐδὲ τὴν θύραθεν σοφίαν περιβεβλῆσθαι, οἷόν τινα φύλλα σκέπην τε τῷ καρπῷ καὶ ὄψιν οὐκ ἄωρον παρεχόμενα. Λέγεται τοίνυν καὶ Μωυσῆς ἐκεῖνος ὁ πάνυ, οὗ μέγιστόν ἐστιν ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ἀνθρώποις ὄνομα, τοῖς Αἰγυπτίων[1] μαθήμασιν ἐγγυμνασάμενος τὴν διάνοιαν, οὕτω προσελθεῖν τῇ θεωρίᾳ Τοῦ ὄντος. Παραπλησίως δὲ τούτῳ, κἂν τοῖς κάτω χρόνοις, τὸν σοφὸν Δανιὴλ ἐπὶ Βαβυλῶνος[2] φασι τὴν Χαλδαίων σοφίαν καταμαθόντα, τότε τῶν θείων ἅψασθαι παιδευμάτων.

4. Ἀλλ' ὅτι μὲν οὐκ ἄχρηστον ψυχαῖς μαθήματα τὰ ἔξωθεν δὴ ταῦτα ἱκανῶς εἴρηται· ὅπως γε μὴν αὐτῶν μεθεκτέον ὑμῖν ἐξῆς ἂν εἴη λέγειν. Πρῶτον μὲν οὖν τοῖς παρὰ τῶν ποιητῶν, ἵν' ἐντεῦθεν ἄρξωμαι, ἐπεὶ παντοδαποί τινές εἰσι κατὰ τοὺς λόγους, μὴ πᾶσιν ἐφεξῆς προσέχειν τὸν νοῦν, ἀλλ' ὅταν μὲν [τὰς] τῶν ἀγαθῶν ἀνδρῶν πράξεις ἢ λόγους ὑμῖν διεξίωσιν, ἀγαπᾶν τε καὶ ζηλοῦν καὶ ὅτι μάλιστα πειρᾶσθαι τοιούτους εἶναι, ὅταν δὲ ἐπὶ μοχθηροὺς **45** ἄνδρας ἔλθωσι τῇ μιμήσει, ταῦτα δεῖ φεύγειν ἐπιφρασσομένους τὰ ὦτα οὐχ ἧττον ἢ τὸν Ὀδυσσέα φασὶν ἐκεῖνοι τὰ τῶν Σειρήνων μέλη. Ἡ γὰρ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια ὁδὸς τίς **[569]** ἐστιν ἐπὶ τὰ πράγματα. Διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον[3], μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. Οὐ τοίνυν ⟨ἐν πᾶσιν⟩ ἐπαινεσόμεθα τοὺς ποιητάς, οὐ λοιδορουμένους, οὐ σκώπτοντας, οὐκ ἐρῶντας ἢ μεθύοντας μιμουμένους, οὐχ ὅταν τραπέζῃ πληθούσῃ καὶ ᾠδαῖς ἀνειμέναις τὴν εὐδαιμονίαν ὁρίζωνται. Πάντων δὲ ἥκιστα περὶ θεῶν τι διαλεγομένοις προσέξομεν καὶ μάλισθ' ὅταν ὡς περὶ πολλῶν τε αὐτῶν διεξίωσι καὶ τούτων οὐδ' ὁμονοούντων. Ἀδελφὸς γὰρ δὴ παρ' ἐκείνοις διαστασιάζει πρὸς ἀδελφὸν καὶ γονεὺς πρὸς παῖδας καὶ τούτοις αὖθις πρὸς τοὺς τεκόντας πόλεμός ἐστιν ἀκήρυκτος. Μοιχείας δὲ θεῶν καὶ ἔρωτας καὶ μίξεις ἀναφανδὸν καὶ ταύτας γε μάλιστα τοῦ κορυφαίου πάντων καὶ ὑπάτου Διός, ὡς αὐτοὶ λέγουσιν, ἃ κἂν περὶ βοσκημάτων τις λέγων ἐρυθριάσειε, τοῖς ἐπὶ σκηνῆς καταλείψομεν. Ταὐτὰ δὴ ταῦτα λέγειν καὶ περὶ συγγραφέων ἔχω καὶ μάλισθ' ὅταν ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων λογοποιῶσι. Καὶ ῥητόρων δὲ τὴν περὶ τὸ ψεύδεσθαι τέχνην οὐ μιμησόμεθα. Οὔτε γὰρ ἐν δικαστηρίοις, οὔτ' ἐν ταῖς ἄλλαις πράξεσιν ἐπιτήδειον ἡμῖν τὸ ψεῦδος, τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προελομένοις τοῦ βίου, οἷς τὸ μὴ δικάζεσθαι νόμῳ προστεταγμένον ἐστίν. Ἀλλ' ἐκεῖνα αὐτῶν μᾶλλον ἀποδεξόμεθα, ἐν οἷς ἀρετὴν ἐπήνεσαν, ἢ πονηρίαν διέβαλον. Ὡς γὰρ τῶν ἀνθέων τοῖς μὲν λοιποῖς **46** ἄχρι τῆς εὐωδίας ἢ τῆς χρόας ἐστὶν ἡ ἀπόλαυσις, ταῖς μελίτταις δ' ἄρα καὶ μέλι λαμβάνειν ἀπ' αὐτῶν ὑπάρχει, οὕτω δὴ κἀνταῦθα τοῖς μὴ τὸ ἡδὺ καὶ ἐπίχαρι μόνον

1. Πρβλ. Πράξ. 7,22. 2. Πρβλ. Δαν. 1,4-6. 3. Πρβλ. Παρμ. 4,23.

α. Ὀδυσ. ιβ, 39 ἑξ., 154 ἑξ. β. Πλάτ. Νόμοι 2, 659e. καὶ Πλουτάρχου, Συμποσιακὰ προβλήματα 709e καὶ Ἰουλιανοῦ Λόγος IV [VIII] 243d.

τῶν τοιούτων λόγων διώκουσιν ἔστι τινὰ καὶ ὠφέλειαν ἀπ' αὐτῶν εἰς τὴν ψυχὴν ἀποθέσθαι. Κατὰ πᾶσαν δὴ οὖν τῶν μελιττῶν τὴν εἰκόνα τῶν λόγων ἡμῖν μεθεκτέον. Ἐκεῖναί τε γάρ οὔτε ἅπασι τοῖς ἄνθεσι παραπλησίως ἐπέρχονται, οὔτε μὴν οἷς ἂν ἐπιπτῶσιν ὅλα φέρειν ἐπιχειροῦσιν, ἀλλ' ὅσον αὐτῶν ἐπιτήδειον πρὸς τὴν ἐργασίαν λαβοῦσαι, τὸ λοιπὸν χαίρειν ἀφῆκαν· ἡμεῖς τε, ἢν σωφρονῶμεν, ὅσον οἰκεῖον ἡμῖν καὶ συγγενὲς τῇ ἀληθείᾳ παρ' αὐτῶν κομισάμενοι, ὑπερβησόμεθα τὸ λειπόμενον. Καὶ καθάπερ τῆς ῥοδωνιᾶς[α] τοῦ ἄνθους δρεψάμενοι τὰς ἀκάνθας ἐκκλίνομεν, οὕτω καὶ ἐπὶ τῶν τοιούτων λόγων ὅσον χρήσιμον καρπωσάμενοι, τὸ βλαβερὸν φυλαξόμεθα. Εὐθὺς οὖν ἐξ ἀρχῆς ἐπισκοπεῖν ἕκαστον τῶν μαθημάτων καὶ συναρμόζειν τῷ τέλει προσῆκε, κατὰ τὴν Δωρικὴν παροιμίαν, τὸν λίθον ποτὶ τὰν σπάρτον ἄγοντας.

5. Καὶ ἐπειδήπερ δι' ἀρετῆς ἐπὶ τὸν βίον ἡμῖν κα⟨τα⟩θεῖναι δεῖ τὸν **[572]** ἕτερον, εἰς ταύτην δὲ πολλὰ μὲν ποιηταῖς, πολλὰ δὲ συγγραφεῦσι, πολλῷ δὲ ἔτι πλείω φιλοσόφοις ἀνδράσιν ὕμνηται, τοῖς τοιούτοις τῶν λόγων μάλιστα προσεκτέον. Οὐ μικρὸν γὰρ τὸ ὄφελος, οἰκειότητά τινα καὶ συνήθειαν ταῖς τῶν νέων ψυχαῖς τῆς ἀρετῆς ἐγγενέσθαι· ἐπείπερ ἀμετάστατα πέφυκεν εἶναι τὰ τῶν τοιούτων μαθήματα, δι' ἀπαλότητα τῶν ψυχῶν εἰς βάθος ἐνσημαινόμενα. Ἤ τί **47** ποτε ἄλλο διανοηθέντα τὸν Ἡσίοδονβ ὑπολάβωμεν ταυτὶ ποιῆσαι τὰ ἔπη ἃ πάντες ᾄδουσιν, ἢ οὐχὶ προτρέποντα τοὺς νέους ἐπ' ἀρετήν; Ὅτι τραχεῖα μὲν πρῶτον καὶ δύσβατος καὶ ἱδρῶτος συχνοῦ καὶ πόνου πλήρης ἡ πρὸς ἀρετὴν φέρουσα καὶ ἀνάντης ὁδός[1]. Διόπερ οὐ παντὸς οὔτε προσβῆναι αὐτῇ διὰ τὸ ὄρθιον, οὔτε προσβάντα ῥᾳδίως ἐπὶ τὸ ἄκρον ἐλθεῖν. Ἄνω δὲ γενομένῳ ὁρᾶν ὑπάρχει ὡς μὲν λεία τε καὶ καλή, ὡς δὲ ῥᾳδία τε καὶ εὔπορος καὶ τῆς ἑτέρας ἡδίων τῆς ἐπὶ τὴν κακίαν ἀγούσης, ἣν ἀθρόον εἶναι λαβεῖν ἐκ τοῦ σύνεγγυς ὁ αὐτὸς οὗτος ποιητὴς ἔφησεν. Ἐμοὶ μὲν γὰρ δοκεῖ οὐδὲν ἕτερον ἢ προτρέπων ἡμᾶς ἐπ' ἀρετὴν καὶ προκαλούμενος ἅπαντας ἀγαθοὺς εἶναι, ταῦτα διελθεῖν καὶ ὥστε μὴ καταμαλακισθέντας πρὸς τοὺς πόνους προαποστῆναι τοῦ τέλους. Καὶ μέντοι, καὶ εἴ τις ἕτερος ἐοικότα τούτοις τὴν ἀρετὴν ὕμνησεν, ὡς εἰς ταὐτὸν ἡμῖν φέροντας τοὺς λόγους ἀποδεχώμεθα.

Ὡς δ' ἐγώ τινος ἤκουσα δεινοῦ καταμαθεῖν ἀνδρὸς ποιητοῦ διάνοιαν, πᾶσα μὲν ἡ ποίησις τῷ Ὁμήρῳ ἀρετῆς ἐστιν ἔπαινος, καὶ πάντα αὐτῷ πρὸς τοῦτο φέρει, ὅ τι μὴ πάρεργον· οὐχ ἥκιστα δὲ ἐν οἷς τὸν στρατηγὸν τῶν Κεφαλλήνων πεποίηκε, γυμνὸν ἐκ τοῦ ναυαγίου περισωθέντα, πρῶτον μὲν αἰδέσαι τὴν βασιλίδα φανέντα μόνον, τοσούτου δεῖν αἰσχύνην ὀφλῆσαι γυμνὸν ὀφθέντα, ἐπειδήπερ αὐτὸν ἀρετῇ ἀντὶ ἱματίων κεκοσμημένον ἐποίησεγ· ἔπειτα μέντοι καὶ τοῖς λοιποῖς Φαίαξι

1. Πρβλ. Ματθ. 7,13 ἑξ.

α. Λουκιανοῦ, Πῶς δεῖ ἱστορίαν συγγράφειν, κεφ. 28. β. Ἡσιόδου, Ἔργα καὶ Ἡμέραι 285-290. Πρβλ. Πλάτ. Πολιτ. 364cd. Ξενοφ. Ἀπομν. 2,1,20. γ. Πρβλ. Πλάτ. Πολιτ. 457a.

τοσούτου ἄξιον νομισθῆναι ὥστε ἀφέντας τὴν τρυφὴν ἢ συνέζων, ἐκεῖνον ἀποβλέπειν καὶ ζηλοῦν ἅπαντας καὶ μηδένα Φαιάκων ἐν τῷ τότε εἶναι ἄλλο τι ἂν εὔξασθαι μᾶλλον ἢ Ὀδυσσέα γενέσθαι καὶ ταῦτα ἐκ ναυαγίου περισωθέντα. Ἐν τούτοις **48** γὰρ ἔλεγεν ὁ τοῦ ποιητοῦ τῆς διανοίας ἐξηγητὴς μονονουχὶ βοῶντα λέγειν τὸν Ὅμηρον ὅτι· Ἀρετῆς ὑμῖν ἐπιμελητέον, ὦ ἄνθρωποι, ἣ καὶ ναυαγήσαντι συνεκνήχεται καὶ ἐπὶ τῆς χέρσου γενόμενον γυμνὸν τιμιώτερον ἀποδείξει τῶν εὐδαιμόνων Φαιάκων. Καὶ γὰρ οὕτως ἔχει. Τὰ μὲν ἄλλα τῶν κτημάτων οὐ μᾶλλον τῶν ἐχόντων ἢ καὶ οὐτινοσοῦν τῶν ἐπιτυχόντων ἐστίν, ὥσπερ ἐν παιδιᾷ κύβων τῇδε κἀκεῖσε μεταβαλλόμενα· μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετον καὶ ζῶντι καὶ τελευτήσαντι παραμένουσα. Ὅθεν δὴ καὶ Σόλων **[573]** μοι δοκεῖ πρὸς τοὺς εὐπόρους εἰπεῖν τό·

> Ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
> τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
> χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει[α].

Παραπλήσια δὲ τούτοις καὶ τὰ Θεόγνιδος, ἐν οἷς φησι τὸν Θεόν, ὄντινα δὴ καί φησι, τοῖς ἀνθρώποις τὸ τάλαντον ἐπιρρέπειν ἄλλοτε ἄλλως, «ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δὲ μηδὲν ἔχειν»[β].

Καὶ μὴν καὶ ὁ Κεῖός που σοφιστὴς τῶν ἑαυτοῦ συγγραμμάτων ἀδελφὰ τούτοις εἰς ἀρετὴν καὶ κακίαν ἐφιλοσόφησεν· ᾧ δὴ καὶ αὐτῷ τὴν διάνοιαν προσεκτέον· οὐ γὰρ ἀπόβλητος ὁ ἀνήρ. Ἔχει δὲ οὕτω πως ὁ λόγος αὐτῷ, ὅσα ἐγὼ τοῦ ἀνδρὸς τῆς διανοίας μέμνημαι, ἐπεὶ τά γε ῥήματα οὐκ ἐπίσταμαι, πλήν γε δὴ ὅτι ἁπλῶς οὕτως εἴρηκεν ἄνευ μέτρου· ὅτι νέῳ ὄντι τῷ Ἡρακλεῖ κομιδῇ, καὶ σχεδὸν ταύτην ἄγοντι τὴν ἡλικίαν, ἣν καὶ ὑμεῖς νῦν, βουλευομένῳ ποτέραν τράπηται τῶν ὁδῶν, τὴν διὰ τῶν πόνων ἄγουσαν πρὸς ἀρετήν, ἢ τὴν ῥᾳστην, προσελθεῖν δύο γυναῖκας, ταύτας δὲ εἶναι Ἀρετὴν καὶ Κακίαν. Εὐθὺς μὲν οὖν καὶ σιωπώσας ἐμφαίνειν ἀπὸ τοῦ σχήματος τὸ διάφορον. Εἶναι γὰρ τὴν μὲν ὑπὸ κομμωτικῆς διεσκευασμένην εἰς κάλλος καὶ ὑπὸ τρυφῆς διαρρεῖν καὶ πάντα **49** ἐσμὸν ἡδονῆς ἐξηρτημένην ἄγειν· ταῦτά τε οὖν δεικνύναι καὶ ἔτι πλείω τούτων ὑπισχνουμένην, ἕλκειν ἐπιχειρεῖν τὸν Ἡρακλέα πρὸς ἑαυτήν· τὴν δ' ἑτέραν κατεσκληκέναι καὶ αὐχμεῖν καὶ σύντονον βλέπειν καὶ λέγειν τοιαῦτα ἕτερα· ὑπισχνεῖσθαι γὰρ οὐδὲν ἀνειμένον, οὐδὲ ἡδύ, ἀλλ' ἱδρῶτας μυρίους καὶ πόνους καὶ κινδύνους, διὰ πάσης ἠπείρου τε καὶ θαλάσσης, ἄθλον δὲ τούτων εἶναι θεὸν γενέσθαι, ὡς ὁ ἐκείνου λόγος· ἥπερ δὴ καὶ τελευτῶντα τὸν Ἡρακλέα συνέπεσθαι.

6. Καὶ σχεδὸν ἅπαντες ὧν δὴ καὶ λόγος τίς ἐστιν ἐπὶ σοφίᾳ, ἢ μικρὸν ἢ μεῖζον εἰς δύναμιν ἕκαστος ἐν τοῖς ἑαυτῶν συγγράμμασιν

α. Πλουτάρχου, Βίος Σόλωνος 3. β. Θεόγν. Ἐλεγεῖα 157.

ἀρετῆς ἔπαινον διεξῆλθον· οἷς πειστέον καὶ πειρατέον ἐπὶ τοῦ βίου δεικνύναι τοὺς λόγους. Ὡς ὅ γε τὴν ἄχρι ῥημάτων παρὰ τοῖς ἄλλοις φιλοσοφίαν ἔργῳ βεβαιῶν

οἷος πέπνυται· τοὶ δὲ σκιαὶ ἀΐσσουσια.

Καί μοι δοκεῖ τὸ τοιοῦτον παραπλήσιον εἶναι ὥσπερ ἂν εἰ ζωγράφου θαυμαστόν τι οἷον κάλλος ἀνθρώπου μιμησαμένου, ὁ δὲ αὐτὸς εἴη τοιοῦτος ἐπὶ τῆς ἀληθείας οἷον ἐπὶ τῶν πινάκων ἐκεῖνος ἔδειξενβ. Ἐπεὶ τό γε λαμπρῶς μὲν ἐπαινέσαι τὴν ἀρετὴν εἰς τὸ μέσον καὶ μακρούς ὑπὲρ αὐτῆς ἀποτείνειν λόγουςγ, ἰδίᾳ δὲ τὸ ἡδὺ πρὸ τῆς σωφροσύνης καὶ τὸ πλέον ἔχειν πρὸ τοῦ δικαίου τιμᾶν, ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ἐπὶ σκηνῆς ὑποκρινομένοις τὰ δράματα· οἳ ὡς βασιλεῖς καὶ δυνάσται πολλάκις εἰσέρχονται, οὔτε **[576]** βασιλεῖς ὄντες, οὔτε δυνάσται, οὐδὲ μὲν οὖν τυχὸν ἐλεύθεροι τὸ παράπαν. Εἶτα μουσικὸςδ μὲν οὐκ ἂν ἑκὼν δέξαιτο ἀνάρμοστον αὐτῷ τὴν λύραν εἶναι καὶ χοροῦ **50** κορυφαῖος μὴ ὅτι μάλιστα συνάδοντα τὸν χορὸν ἔχειν· αὐτὸς δέ τις ἕκαστος διαστασιάσει πρὸς ἑαυτὸν καὶ οὐχὶ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται; ἀλλ' «ἡ γλῶττα μὲν ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος»ε κατ' Εὐριπίδην ἐρεῖ; καὶ τὸ δοκεῖν ἀγαθὸς πρὸ τοῦ εἶναι διώξεταις; Ἀλλ' οὗτός ἐστιν ὁ ἔσχατος τῆς ἀδικίας ὅρος, εἴ τι δεῖ Πλάτωνι πείθεσθαι, τὸ δοκεῖν δίκαιον εἶναι μὴ ὄνταζ.

7. Τοὺς μὲν οὖν τῶν λόγων οἱ τὰς τῶν καλῶν ἔχουσιν ὑποθήκας, οὕτως ἀποδεχόμεθα. Ἐπειδὴ δὲ καὶ πράξεις σπουδαῖαι τῶν παλαιῶν ἀνδρῶν ἢ μνήμης ἀκολουθίᾳ πρὸς ἡμᾶς διασῴζονται, ἢ ποιητῶν ἢ συγγραφέων φυλαττόμεναι λόγοις, μηδὲ τῆς ἐντεῦθεν ὠφελείας ἀπολειπώμεθα. Οἷον, ἑλοιδόρει τὸν Περικλέα τῶν ἐξ ἀγορᾶς τις ἀνθρώπων· ὁ δὲ οὐ προσεῖχε· καὶ εἰς πᾶσαν διήρκεσαν τὴν ἡμέραν, ὁ μὲν ἀφειδῶς πλύνων αὐτὸν τοῖς ὀνείδεσιν, ὁ δὲ οὐ μέλον αὐτῷ. Εἶτα, ἑσπέρας ἤδη καὶ σκότους, ἀπαλλαττόμενον μόλις ὑπὸ φωτὶ παρέπεμψε Περικλῆς, ὅπως αὐτῷ μὴ διαφθαρείη τὸ πρὸς φιλοσοφίαν γυμνάσιονη. Πάλιν τις Εὐκλείδῃ τῷ Μεγαρόθεν παροξυνθεὶς θάνατον ἠπείλησε καὶ ἐπώμοσεν· ὁ δὲ ἀντώμοσεν ἢ μὴν ἱλεώσασθαι αὐτὸν καὶ παύσειν χαλεπῶς πρὸς αὐτὸν ἔχοντα. Πόσου ἄξιον τῶν τοιούτων τι παραδειγμάτων εἰσελθεῖν τὴν μνήμην, ἀνδρὸς ὑπὸ ὀργῆς ἤδη κατεχομένου; Τῇ τραγῳδίᾳ γὰρ οὐ πιστευτέον «ἁπλῶς» λεγούσῃ «ἐπ' ἐχθροὺς θυμὸς ὁπλίζει χέρα», ἀλλὰ μάλιστα μὲν μηδὲ διανίστασθαι πρὸς θυμὸν **51** τὸ παρά-

α. Ὀδυσ. 10,495. Πλάτ. Πολιτ. 386d. Ciceronis, De divinatione 1,40. β. Πρβλ. Πλάτ. Πολιτ. 472d. γ. Πρβλ. Πλάτ. Πρωταγ. 336c. Πολιτ. 605d. Γοργ. 458c. δ. Πρβλ. Πλάτ. Γοργ. 482bc. ε. Εὐριπίδου, Ἱππόλυτος 612. ς. Αἰσχύλου, Οἱ ἑπτὰ ἐπὶ Θήβας 592. Πλάτ. Πολιτ. 361b. Γρηγ. Θεολόγου, Ἐπιτάφιος εἰς Καισάρειον 6, PG, 35,760. καὶ Ἐπιτάφιος εἰς Βασίλειον 60, PG, 36,576. ζ. Πλάτ. Πολιτ. 361a καὶ 335a καὶ Ξενοφ. Ἀπομν. 1,7,1. η. Πλουτάρχου, Βίος Περικλέους 5. Γρηγ. Θεολόγου Ἔπη ἠθικά, Κατὰ Θυμοῦ 25 PG, 37,833 ἑξ.

παν, εἰ δὲ μὴ ῥᾴδιον τοῦτο, ἀλλ' ὥσπερ χαλινὸν αὐτῷ τὸν λογισμὸν ἐμβάλλοντας, μὴ ἐᾶν ἐκφέρεσθαι περαιτέρω.

Ἐπαναγάγωμεν δὲ τὸν λόγον αὖθις πρὸς τὰ τῶν σπουδαίων πράξεων παραδείγματα. Ἔτυπτέ τις τὸν Σωφρονίσκου Σωκράτην εἰς αὐτὸ τὸ πρόσωπον[α] ἐμπεσὼν ἀφειδῶς· ὁ δὲ οὐκ ἀντῆρεν, ἀλλὰ παρεῖχε τῷ παροινοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι, ὥστε ἐξοιδεῖν ἤδη καὶ ὕπουλον αὐτῷ τὸ πρόσωπον ὑπὸ τῶν πληγῶν εἶναι. Ὡς δ' οὖν ἐπαύσατο τύπτων, ἄλλο μὲν οὐδὲν ὁ Σωκράτης ποιῆσαι, ἐπιγράψαι δὲ τῷ μετώπῳ λέγεται, ὥσπερ ἀνδριάντι τὸν δημιουργόν, ὁ δεῖνα ἐποίει· καὶ τοσοῦτον ἀμύνασθαι. Ταῦτα σχεδὸν εἰς ταὐτὸν τοῖς ἡμετέροις φέροντα πολλοῦ ἄξιον εἶναι μιμήσασθαι τοὺς τηλικούτους φημί. Τουτὶ μὲν γὰρ τὸ τοῦ Σωκράτους ἀδελφὸν ἐκείνῳ τῷ παραγγέλματι, ὅτι τῷ τύπτοντι κατὰ τῆς σιαγόνος καὶ τὴν ἑτέραν παρέχειν προσῆκε[1], τοσούτου δεῖν ἀπαμύνασθαι, τὸ δὲ τοῦ Περικλέους ἢ τὸ Εὐκλείδου **[577]** τῷ τοὺς διώκοντας ὑπομένειν καὶ πράως αὐτῶν τῆς ὀργῆς[2] ἀνέχεσθαι καὶ τῷ τοῖς ἐχθροῖς εὔχεσθαι τὰ ἀγαθά, ἀλλὰ μὴ ἐπαρᾶσθαι. Ὡς ὅ γε ἐν τούτοις προπαιδευθεὶς οὐκ ἔτ' ἂν ἐκείνοις ὡς ἀδυνάτοις διαπιστήσειεν. Οὐδ' ἂν παρέλθοιμι τὸ τοῦ Ἀλεξάνδρουβ, ὃς τὰς θυγατέρας Δαρείου αἰχμαλώτους λαβὼν θαυμαστόν τι οἷον τὸ κάλλος παρέχειν μαρτυρουμένας οὐδὲ προσιδεῖν ἠξίωσεν, αἰσχρὸν εἶναι κρίνων τὸν ἄνδρας ἑλόντα γυναικῶν ἡττηθῆναι. Τουτὶ γὰρ εἰς ταὐτὸν ἐκείνῳ φέρει, ὅτι ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικὶ, κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλὰ τῷ γε τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι, οὐκ ἀφίεται τοῦ ἐγκλήματος. Τὸ δὲ τοῦ **52** Κλεινίου, τῶν Πυθαγόρουγ γνωρίμων ἑνός, χαλεπὸν πιστεῦσαι ἀπὸ ταὐτομάτου συμβῆναι τοῖς ἡμετέροις, ἀλλ' οὐχὶ μιμησαμένου σπουδῇ. Τί δὲ ἦν ὃ ἐποίησεν ἐκεῖνος; Ἐξὸν δι' ὅρκου τριῶν ταλάντων ζημίαν ἀποφυγεῖν, ὁ δὲ ἀπέτισε μᾶλλον ἢ ὤμοσε καὶ ταῦτα εὐορκεῖν μέλλων, ἀκούσας ἐμοὶ δοκεῖν τοῦ προστάγματος τὸν ὅρκον ἡμῖν ἀπαγορεύοντος[3].

8. Ἀλλ', ὅπερ ἐξ ἀρχῆς ἔλεγον, πάλιν γὰρ εἰς ταὐτὸν ἐπανίωμεν, οὐ πάντα ἐφεξῆς παραδεκτέον ἡμῖν, ἀλλ' ὅσα χρήσιμα. Καὶ γὰρ αἰσχρὸν τῶν μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι, τῶν δὲ μαθημάτων, ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν, ἀλλ' ὥσπερ χειμάρρουν παρασύροντας ἅπαν τὸ προστυχὸν ἐμβάλλεσθαι. Καίτοι τίνα ἔχει λόγον, κυβερνήτην μὲν οὐκ εἰκῇ τοῖς πνεύμασιν ἐφιέναι, ἀλλὰ πρὸς ὅρμους εὐθύνειν τὸ σκάφος καὶ τοξότην κατὰ σκοποῦ βάλλειν καὶ μὲν δὴ καὶ χαλκευτικόν τινα ἢ τεκτονικὸν ὄντα τοῦ κατὰ τὴν τέχνην ἐφίεσθαι τέλους, ἡμᾶς δὲ καὶ τῶν τοιούτων δημιουργῶν

---

1. Πρβλ. Ματθ. 5,39. 2. Πρβλ. Ματθ. 5,44. 3. Ἐξ. 20,7. Δευτ. 5,11.

α. Πρβλ. Πλουτάρχου, Περὶ παίδων ἀγωγῆς 14,10c. β. Ἀρριανοῦ, Ἀνάβασις 4,19,7. Πλουτάρχου, Περὶ τῆς Ἀλεξάνδρου τύχης 6,338de καὶ Βίος Ἀλεξάνδρου 21 ἑξ. γ. Πρβλ. Ἰαμβλ., Πυθαγορικὸς βίος 28,145.

ἀπολείπεσθαι, πρός γε τὸ συνορᾶν δύνασθαι τὰ ἡμέτερα; Οὐ γὰρ δὴ τῶν μὲν χειρωνακτῶν ἔστί τι πέρας τῆς ἐργασίας, τοῦ δὲ ἀνθρωπίνου βίου σκοπὸς οὐκ ἔστι, πρὸς ὃν ἀφορῶντα πάντα ποιεῖν καὶ λέγειν χρὴ τόν γε μὴ τοῖς ἀλόγοις παντάπασι προσεοικέναι μέλλοντα· ἢ οὕτως ἂν εἴημεν ἀτεχνῶς κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα, οὐδενὸς ἡμῖν νοῦ ἐπὶ τῶν τῆς ψυχῆς οἰάκων καθεζομένου, εἰκῇ κατὰ τὸν βίον ἄνω καὶ κάτω περιφερόμενοι. Ἀλλ' ὥσπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, εἰ δὲ βούλει, τοῖς μουσικῆς, ἐκείνων εἰσὶ τῶν ἀγώνων αἱ μελέται, ὥνπερ οἱ στέφανοι καὶ οὐδείς γε πάλην ἀσκῶν ἢ παγκράτιον εἶτα **53** κιθαρίζειν ἢ αὐλεῖν μελετᾷ. Οὔκουν ὁ Πολυδάμας[α] γε, ἀλλ' ἐκεῖνος πρὸ τοῦ ἀγῶνος τοῦ Ὀλυμπιάσι τὰ ἅρματα ἵστη τρέχοντα καὶ διὰ τούτων τὴν ἰσχὺν ἐκράτυνε. Καὶ ὅ γε Μίλων ἀπὸ τῆς ἀληλειμμένης ἀσπίδος οὐκ ἐξωθεῖτο, ἀλλ' ἀντεῖχεν ὠθούμενος οὐχ ἧττον ἢ οἱ ἀνδριάντες οἱ τῷ μολύβδῳ συνδεδεμένοι. Καὶ ἀπαξαπλῶς αἱ μελέται αὐτοῖς παρασκευαὶ τῶν ἄθλων ἦσαν. Εἰ δὲ τὰ Μαρσύουβ ἢ τὰ Ὀλύμπου **[580]** τῶν Φρυγῶν περιειργάζοντο κρούματα, καταλιπόντες τὴν κόνιν καὶ τὰ γυμνάσια ταχύ γ' ἂν στεφάνων ἢ δόξης ἔτυχον, ἢ διέφυγον τὸ μὴ καταγέλαστοι εἶναι κατὰ τὸ σῶμα; Ἀλλ' οὐ μέντοι οὐδ' ὁ Τιμόθεος τὴν μελῳδίαν ἀφεὶς ἐν ταῖς παλαίστραις διῆγεν. Οὐ γὰρ ἂν τοσοῦτον ὑπῆρξεν αὐτῷ διενεγκεῖν ἁπάντων τῇ μουσικῇ, ᾧ γε τοσοῦτον περιῆν τῆς τέχνης, ὥστε καὶ θυμὸν ἐγείρειν διὰ τῆς συντόνου καὶ αὐστηρᾶς ἁρμονίας καὶ μέντοι καὶ χαλᾶν καὶ μαλάττειν πάλιν διὰ τῆς ἀνειμένης ὁπότε βούλοιτο. Ταύτῃ τοι καὶ Ἀλεξάνδρῳ ποτὲ τὸ Φρύγιον ἐπαυλήσαντα ἐξαναστῆσαι αὐτὸν ἐπὶ τὰ ὅπλα λέγεται μεταξὺ δειπνοῦντα καὶ ἐπαναγαγεῖν πάλιν πρὸς τοὺς συμπότας, τὴν ἁρμονίαν χαλάσαντα. Τοσαύτην ἰσχὺν ἔν τε μουσικῇ καὶ τοῖς γυμνικοῖς ἀγῶσι πρὸς τὴν τοῦ τέλους κτῆσιν ἡ μελέτη παρέχεται.

Ἐπεὶ δὲ στεφάνων καὶ ἀθλητῶν ἐμνήσθην, ἐκεῖνοι μυρία παθόντες ἐπὶ μυρίοις καὶ πολλαχόθεν τὴν ῥώμην ἑαυτοῖς συναυξήσαντες, πολλὰ μὲν γυμναστικοῖς ἐνιδρώσαντες πόνοις, πολλὰς δὲ πληγὰς ἐν παιδοτρίβου λαβόντες, δίαιταν δὲ οὐ τὴν ἡδίστην, ἀλλὰ τὴν παρὰ τῶν γυμναστῶν αἱρούμενοι καὶ τἄλλα, ἵνα μὴ διατρίβω λέγων, οὕτω διάγοντες ὡς τὸν πρὸ τῆς ἀγωνίας βίον μελέτην εἶναι τῆς ἀγωνίας, τηνικαῦτα ἀποδύονται πρὸς τὸ στάδιον καὶ **54** πάντα πονοῦσι καὶ κινδυνεύουσιν, ὥστε κοτίνου λαβεῖν στέφανον ἢ σελίνου, ἢ ἄλλου τινὸς τῶν τοιούτων καὶ νικῶντες ἀναρρηθῆναι παρὰ τοῦ κήρυκος. Ἡμῖν δέ, οἷς ἄθλα τοῦ βίου πρόκειται οὕτω θαυμαστὰ πλήθει τε καὶ μεγέθει ὥστε ἀδύνατα εἶναι ῥηθῆναι λόγῳ, ἐπ' ἄμφω καθεύδουσι καὶ κατὰ πολλὴν διαιτωμένοις ἄδειαν, τῇ ἑτέρᾳ λαβεῖν τῶν χειρῶν ὑπάρξει; Πολλοῦ μέντ' ἂν ἄξιον ἦν ἡ ῥᾳθυμία τῷ βίῳ καὶ ὅ γε Σαρδα-

---

α. Παυσανίου 6,5. Πρβλ. Πλάτ. Πολιτ. 338c. β. Πρβλ. Ἡροδότου 7,26. Ξενοφ. Ἀνάβασις 1,2,8.

νάπαλος τὰ πρῶτα πάντων εἰς εὐδαιμονίαν ἐφέρετο, ἢ καὶ ὁ Μαργίτης[α], εἰ βούλει, δν οὔτ' ἀροτῆρα, οὔτε σκαπτῆρα, οὔτε ἄλλο τι τῶν κατὰ τὸν βίον ἐπιτηδείων εἶναι Ὅμηρος ἔφησεν, εἰ δὴ Ὁμήρου ταῦτα. Ἀλλὰ μὴ ἀληθὴς μᾶλλον ὁ τοῦ Πιττακοῦ λόγος, ὃς χαλεπὸν ἔφησεν ἐσθλὸν ἔμμεναι; Διὰ πολλῶν γὰρ δὴ τῷ ὄντι πόνων διεξελθοῦσι μόλις ἂν τῶν ἀγαθῶν ἐκείνων τυχεῖν ἡμῖν περιγένοιτο, ὧν ἐν τοῖς ἄνω λόγοις οὐδὲν εἶναι παράδειγμα τῶν ἀνθρωπίνων ἐλέγομεν. Οὐ δὴ οὖν ῥᾳθυμητέον ἡμῖν, οὐδὲ τῆς ἐν βραχεῖ ῥᾳστώνης μεγάλας ἐλπίδας ἀνταλλακτέον, εἴπερ μὴ μέλλοιμεν ὀνείδη τε ἕξειν καὶ τιμωρίας ὑφέξειν, οὔ τι παρὰ τοῖς ἀνθρώποις ἐνθάδε (καίτοι καὶ τοῦτο οὐ μικρὸν τῷ γε νοῦν ἔχοντι), ἀλλ' ἐν τοῖς, εἴτε ὑπὸ γῆν, εἴτε καὶ ὅπου δὴ τοῦ παντὸς ὄντα τυγχάνει, δικαιωτηρίοις. Ὡς τῷ μὲν ἀκουσίως τοῦ προσήκοντος ἁμαρτόντι κἂν συγγνώμη τις ἴσως παρὰ τοῦ Θεοῦ γένοιτο· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ οὐδεμία παραίτησις τὸ μὴ οὐχὶ πολλαπλασίω τὴν κόλασιν ὑποσχεῖν.

9. Τί οὖν ποιῶμεν; φαίη **[581]** τις ἄν. Τί ἄλλο γε ἢ τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν, πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγοντας; Οὐ δὴ οὖν τῷ σώματι δουλευτέον, ὅτι μὴ πᾶσα ἀνάγκη· ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα πριστέον, ὥσπερ ἐκ **55** δεσμωτηρίου τῆς πρὸς τὰ τοῦ σώματος πάθη κοινωνίας αὐτὴν διὰ φιλοσοφίας λύοντας, ἅμα δὲ καὶ τὸ σῶμα τῶν παθῶν κρεῖττον ἀπεργαζομένους, γαστρὶ μέν γε τὰ ἀναγκαῖα ὑπηρετοῦντας, οὐχὶ τὰ ἥδιστα, ὡς οἵ γε τραπεζοποιούς τινας καὶ μαγείρους περινοοῦντες καὶ πᾶσαν διερευνώμενοι γῆν τε καὶ θάλασσαν οἷόν τινι χαλεπῷ δεσπότῃ φόρους ἀπάγοντες, ἐλεεινοὶ τῆς ἀσχολίας, τῶν ἐν ᾅδου κολαζομένων οὐδὲν πάσχοντες ἀνεκτότερον, ἀτεχνῶς εἰς πῦρ ξαίνοντες καὶ κοσκίνῳ φέροντες ὕδωρ καὶ εἰς τετρημένον ἀντλοῦντες πίθον, οὐδὲν πέρας τῶν πόνων ἔχοντες. Κουρὰς δὲ καὶ ἀμπεχόνας ἔξω τῶν ἀναγκαίων περιεργάζεσθαι, ἢ δυστυχούντων ἐστί, κατὰ τὸν Διογένουςβ λόγον, ἢ ἀδικούντων. Ὥστε καλλωπιστὴν εἶναι καὶ ὀνομάζεσθαι ὁμοίως αἰσχρὸν ἡγεῖσθαί φημι δεῖν τοὺς τοιούτους ὡς τὸ ἑταιρεῖν ἢ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν. Τί γὰρ ἂν διαφέρει, τῷ γε νοῦν ἔχοντι, ξυστίδα ἀναβεβλῆσθαι, ἢ τι τῶν φαύλων ἱμάτιον φέρειν, ἕως ἂν μηδὲν ἐνδέῃ τοῦ πρὸς χειμῶνά τε εἶναι καὶ θάλπος ἀλεξητήριον; Καὶ τἆλλα δὴ τὸν αὐτὸν τρόπον μὴ περιττότερον τῆς χρείας κατεσκευάσθαι, μηδὲ περιέπειν τὸ σῶμα πλέον ἢ ὡς ἄμεινον τῇ ψυχῇ. Οὐχ ἧττον γὰρ ὄνειδος ἀνδρί, τῷ γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίῳ, καλλωπιστὴν καὶ φιλοσώματον εἶναι, ἢ πρὸς ἄλλο τι τῶν παθῶν ἀγεννῶς διακεῖσθαι. Τὸ γὰρ τὴν πᾶσαν σπουδὴν εἰσφέρεσθαι ὅπως ὡς κάλλιστα αὐτῷ τὸ σῶμα ἕξει οὐ διαγινώσκοντός ἐστιν ἑαυτόν, οὐδὲ συνιέντος τοῦ σοφοῦ παραγγέλματος, ὅτι οὐ τὸ ὁρώμενόν ἐστιν ὁ ἄνθρωπος, ἀλλά τινος δεῖ περιττοτέρας σοφίας, δι' ἧς ἕκαστος ἡμῶν ὅστις

α. Κλήμ. Ἀλεξ. Στρωμ. Α, 4. ΒΕΠ. 7,243. β. Πρβλ. Διογέν. Λαερτ. 6,2,54.

ποτέ ἐστιν ἑαυτὸν ἐπιγνώσεται. Τοῦτο δὲ μὴ καθηραμένοις τὸν νοῦν
56 ἀδυνατώτερον ἢ λημῶντι πρὸς τὸν ἥλιον ἀναβλέψαι. Κάθαρσις
δὲ ψυχῆς, ὡς ἀθρόως τε εἰπεῖν καὶ ὑμῖν ἱκανῶς, τὰς διὰ τῶν αἰσθή-
σεων ἡδονὰς ἀτιμάζειν· μὴ ὀφθαλμοὺς ἑστιᾶν ταῖς ἀτόποις τῶν θαυ-
5 ματοποιῶν ἐπιδείξεσιν, ἢ σωμάτων θέαις ἡδονῆς κέντρον ἐναφιέντων,
μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖνα. Ἀνε-
λευθερίας γὰρ δὴ καὶ ταπεινότητος ἔκγονα πάθη ἐκ τοῦ τοιοῦδε τῆς
μουσικῆς εἴδους ἐγγίνεσθαι πέφυκεν. Ἀλλὰ τὴν ἑτέραν μεταδιωκτέον
ἡμῖν, τὴν ἀμείνω τε καὶ εἰς ἄμεινον φέρουσαν, ἣ καὶ Δαβὶδ χρώμενος,
10 ὁ ποιητὴς τῶν ἱερῶν ᾀσμάτων, ἐκ τῆς μανίας, ὥς φασι, τὸν βασιλέα
καθίστη. Λέγεται δὲ καὶ Πυθαγόραν, κωμασταῖς περιτυχόντα μεθύου-
σι, κελεῦσαι **[584]** τὸν αὐλητὴν τὸν τοῦ κώμου κατάρχοντα, μεταβα-
λόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαί σφισι τὸ Δώριον· τοὺς δὲ οὕτως ἀνα-
φρονῆσαι ὑπὸ τοῦ μέλους, ὥστε, τοὺς στεφάνους ῥίψαντας, αἰσχυνομέ-
15 νους ἐπανελθεῖν. Ἕτεροι δὲ πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακ-
χεύονται. Τοσοῦτόν ἐστι τὸ διάφορον ὑγιοῦς ἢ μοχθηρᾶς μελῳδίας
ἀναπλησθῆναι. Ὥστε τῆς νῦν δὴ κρατούσης ταύτης ἧττον ὑμῖν μεθε-
κτέον ἢ οὐτινοσοῦν τῶν προδήλως αἰσχίστων. Ἀτμούς γε μὴν παντο-
δαποὺς ἡδονὴν ὀσφρήσει φέροντας τῷ ἀέρι καταμιγνύναι, ἢ μύροις
20 ἑαυτοὺς ἀναχρώννυσθαι καὶ ἀπαγορεύειν αἰσχύνομαι. Τί δ' ἂν τις
εἴποι περὶ τοῦ μὴ χρῆναι τὰς ἐν ἀφῇ καὶ γεύσει διώκειν ἡδονάς, ἢ ὅτι
καταναγκάζουσιν αὗται τοὺς περὶ τὴν ἑαυτῶν θήραν ἐσχολακότας,
ὥσπερ τὰ θρέμματα, πρὸς τὴν γαστέρα καὶ τὰ ὑπ' αὐτὴν συννευ-
κότας ζῆν;

25 Ἑνὶ δὲ λόγῳ, παντὸς ὑπεροπτέον τοῦ σώματος τῷ μὴ ὡς ἐν
βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι, ἢ τοσοῦτον
ἀνθεκτέον αὐτοῦ ὅσον, φησὶ Πλάτων, ὑπη**57**ρεσίαν φιλοσοφίᾳ κτω-
μένους, ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆναι
τοῦ σώματος πρόνοιαν ἔχειν εἰς ἐπιθυμιῶν ἀφορμήν. Ἤ τί διαφέρουσιν
30 οἱ τοῦ μὲν σώματος, ὡς ἂν κάλλιστα ἔχοι, φροντίζουσι, τὴν δὲ χρη-
σομένην αὐτῷ ψυχὴν ὡς οὐδενὸς ἀξίαν περιορῶσι, τῶν περὶ τὰ ὄργα-
να σπουδαζόντων, τῆς δὲ δι' αὐτῶν ἐνεργούσης τέχνης καταμελούν-
των; Πᾶν μὲν οὖν τοὐναντίον κολάζειν αὐτὸ καὶ κατέχειν, ὥσπερ θη-
ρίου τὰς ὁρμάς, προσῆκε καὶ τοὺς ἀπ' αὐτοῦ θορύβους ἐγγινομένους
35 τῇ ψυχῇ οἱονεὶ μάστιγι τῷ λογισμῷ καθικνουμένους κομίζειν, ἀλλὰ
μὴ πάντα χαλινὸν ἡδονῆς ἀνέντας περιορᾶν τὸν νοῦν, ὥσπερ ἡνίοχον
ὑπὸ δυσηνίων ἵππων ὕβρει φερομένων παρασυρόμενον ἄγεσθαι·
καὶ τοῦ Πυθαγόρου μεμνῆσθαι, ὃς τῶν συνόντων τινὰ καταμαθὼν
γυμνασίοις τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα κατασαρκοῦντα· «οὗτος,
40 ἔφη, οὐ παύσῃ χαλεπώτερον σεαυτῷ κατασκευάζων τὸ δεσμωτήριον;».
Διὸ δὴ καὶ Πλάτωνά φασι, τὴν ἐκ σώματος βλάβην προειδόμενον,

α. Πλάτ. Πολιτ. 411a.

τὸ νοσῶδες χωρίον τῆς Ἀττικῆς τὴν Ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες, ἵνα τὴν ἄγαν εὐπάθειαν τοῦ σώματος, οἷον ἀμπέλου τὴν εἰς τὰ περιττὰ φοράν, περικόπτοι. Ἐγὼ δὲ καὶ σφαλερὰν εἶναι τὴν ἐπ' ἄκρον εὐεξίαν ἰατρῶν ἤκουσα.

Ὅτε τοίνυν ἡ ἄγαν αὕτη τοῦ σώματος ἐπιμέλεια αὐτῷ τε ἀλυσιτελὴς τῷ σώματι καὶ πρὸς τὴν ψυχὴν ἐμπόδιόν ἐστι, τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θεραπεύειν μανία σαφής. Ἀλλὰ μὴν εἰ τούτου **[585]** γε ὑπερορᾶν μελετήσαιμεν, σχολῇ γ' ἂν ἄλλο τι τῶν ἀνθρωπίνων θαυμάσαιμεν. Τί γὰρ ἔτι χρησόμεθα πλούτῳ, τὰς διὰ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες; Ἐγὼ μὲν οὐχ ὁρῶ, πλὴν εἰ μή, κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας, ἡδονήν τινα φέροι θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν. Ὅ γε μὴν ἐλευθερίως πρὸς **58** τὰ τοιαῦτα διακεῖσθαι πεπαιδευμένος πολλοῦ ἂν δέοι ταπεινόν τι καὶ αἰσχρὸν ἔργῳ ἢ λόγῳ ποτὲ προελέσθαι. Τὸ γὰρ τῆς χρείας περιττότερον, κἂν Λύδιον ᾖ ψῆγμα, κἂν τῶν μυρμήκων ἔργον τῶν χρυσοφόρων, τοσούτῳ πλέον ἀτιμάσει ὅσῳπερ ἂν ἧττον προσδέηται· αὐτὴν δὲ δήπου τὴν χρείαν τοῖς τῆς φύσεως ἀναγκαίοις, ἀλλ' οὐ ταῖς ἡδοναῖς ὁριεῖται. Ὡς οἵ γε τῶν ἀναγκαίων ὅρων ἔξω γενόμενοι, παραπλησίως τοῖς κατὰ τοῦ πρανοῦς φερομένοις, πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι, οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵστανται· ἀλλ' ὅσῳπερ ἂν πλείω προσπεριβάλωνται, τοῦ ἴσου δέονται ἢ καὶ πλείονος πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὃς φησι·

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται[β].

Τῷ δὲ Θεόγνιδι πρὸς ταῦτα διδασκάλῳ χρηστέον λέγοντι·

Οὐκ ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόνγ.

Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ τῶν ἀνθρωπίνων ὑπεροψίαν, ὅς γε καὶ βασιλέως τοῦ μεγάλου ἑαυτὸν ἀπέφηνε πλουσιώτερον, τῷ ἐλαττόνων ἢ ἐκεῖνος κατὰ τὸν βίον προσδεῖσθαι. Ἡμῖν δὲ ἄρα εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ προσείη τάλαντα καὶ πλέθρα γῆς τόσα καὶ τόσα καὶ βοσκημάτων ἑσμοὶ πλείους ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει; Ἀλλ', οἶμαι, προσήκει ἁπόντα τε μὴ ποθεῖν τὸν πλοῦτον καὶ παρόντος μὴ τῷ κεκτῆσθαι μᾶλλον φρονεῖν ἢ τῷ εἰδέναι αὐτὸν εὖ διατίθεσθαι. Τὸ γὰρ τοῦ Σωκράτους εὖ ἔχειδ· ὃς μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς χρήμασιν, οὐ πρότερον αὐτὸν θαυμάσειν ἔφη πρὶν ἂν καὶ ὅτι κεχρῆσθαι τούτοις ἐπίσταται πειραθῆναι. Ἡ **59** Φειδίας μὲν καὶ Πολύκλειτος εἰ τῷ χρυσίῳ μέγα ἐφρόνουν καὶ

α. Ἡροδότου Γ' 102 ἑξ. β. Εἰς Σόλωνα Ἀπόσπ. 1, 5,7 Diehl καὶ Θεόγν. 227. γ. Θεόγν. 1155-1156. δ. Δίωνος Χρυσοστόμου, Περὶ Βασιλείας, λόγος 3,102.

τῷ ἐλέφαντι ὧν ὁ μὲν Ἠλείοις τὸν Δία, ὁ δὲ τὴν Ἥραν Ἀργείοις ἐποιησάτην, καταγελάστω ἂν ἦστην ἀλλοτρίῳ πλούτῳ καλλωπιζόμενοι, ἀφέντες τὴν τέχνην, ὑφ' ἧς καὶ ὁ χρυσὸς ἡδίων καὶ τιμιώτερος ἀπεδείχθη· ἡμεῖς δέ, τὴν ἀνθρωπείαν ἀρετὴν οὐκ ἐξαρκεῖν ἑαυτῇ πρὸς κόσμον ὑπολαμβάνοντες, ἐλάττονος αἰσχύνης ἄξια ποιεῖν οἰόμεθα;

Ἀλλὰ δῆτα πλούτου μὲν ὑπεροψόμεθα καὶ τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάσομεν, κολακείας δὲ καὶ θωπείας διωξόμεθα καὶ τῆς Ἀρχιλόχου ἀλώ[588]πεκος τὸ κερδαλέον τε καὶ ποικίλον ζηλώσομεν[α]; Ἀλλ' οὐκ ἔστιν ὃ μᾶλλον φευκτέον τῷ σωφρονοῦντι τοῦ πρὸς δόξαν ζῆν καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα περισκοπεῖν καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου, ὥστε, κἂν πᾶσιν ἀνθρώποις ἀντιλέγειν, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δέῃ, μηδὲν αἱρεῖσθαι τῶν ὀρθῶς ἐγνωσμένων παρακινεῖν. Ἢ τὸν μὴ οὕτως ἔχοντα τί τοῦ Αἰγυπτίουβ σοφιστοῦ φήσομεν ἀπολείπειν, ὃς φυτὸν ἐγίγνετο καὶ θηρίον, ὁπότε βούλοιτο καὶ πῦρ καὶ ὕδωρ καὶ πάντα χρήματα; εἴπερ δὴ καὶ αὐτὸς νῦν μὲν τὸ δίκαιον ἐπαινέσεται παρὰ τοῖς τοῦτο τιμῶσι, νῦν δὲ τοὺς ἐναντίους ἀφήσει λόγους, ὅταν τὴν ἀδικίαν εὐδοκιμοῦσαν αἴσθηται, ὅπερ δίκης ἐστὶ κολάκων. Καὶ ὥσπερ φασὶ τὸν πολύποδα τὴν χρόαν πρὸς τὴν ὑποκειμένην γῆν, οὕτως αὐτὸς τὴν διάνοιαν πρὸς τὰς τῶν συνόντων γνώμας μεταβαλεῖται.

10. Ἀλλὰ ταῦτα μέν που κἂν τοῖς ἡμετέροις λόγοις τελειότερον μαθησόμεθα· ὅσον δὲ σκιαγραφίαν τινὰ τῆς ἀρετῆς, τό γε νῦν εἶναι, ἐκ τῶν ἔξωθεν παιδευμάτων περιγραψώμεθα. Τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέ60λειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαὶ γίνεσθαι πολλαχόθεν αἱ προσθῆκαι πεφύκασι. Τὸ γὰρ καὶ σμικρὸν ἐπὶ σμικρῷ κατατίθεσθαι, οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην ἢ καὶ εἰς ἡντιναοῦν ἐπιστήμην, ὀρθῶς ἔχειν ἡγεῖσθαι τῷ ποιητῇ προσῆκεν. Ὁ μὲν οὖν Βίας τῷ υἱεῖ, πρὸς Αἰγυπτίους ἀπαίροντι καὶ πυνθανομένῳ τί ἂν ποιῶν αὐτῷ μάλιστα κεχαρισμένα πράττοι· «Ἐφόδιον, ἔφη, πρὸς γῆρας κτησάμενος»γ, τὴν ἀρετὴν δὴ τὸ ἐφόδιον λέγων, μικροῖς ὅροις αὐτὴν περιγράφων, ὅς γε ἀνθρωπίνῳ βίῳ τὴν ἀπ' αὐτῆς ὠφέλειαν ὡρίζετο. Ἐγὼ δὲ κἂν τὸ Τιθωνοῦ τις γῆρας, κἂν τὸ Ἀγρανθωνίου λέγῃ, κἂν τὸ τοῦ μακροβιωτάτου παρ' ἡμῖν Μαθουσάλα, ὃς χίλια ἔτη τριάκοντα δεόντων βιῶναι λέγεται, κἂν σύμπαντα τὸν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι χρόνον ἀναμετρῇ, ὡς ἐπὶ παίδων διανοίας γελάσομαι, εἰς τὸν μακρὸν ἀποσκοπῶν καὶ ἀγήρω αἰῶνα, οὗ πέρας οὐδὲν ἔστι τῇ ἐπινοίᾳ λαβεῖν, οὐ μᾶλλόν γε ἢ τελευτὴν ὑποθέσθαι τῆς ἀθανάτου ψυχῆς. Πρὸς ὅνπερ κτᾶσθαι παραινέσαιμ' ἂν τὰ ἐφόδια, πάντα λίθον, κατὰ τὴν παροιμίαν, κινοῦντας, ὅθεν ἂν μέλλῃ τις ὑμῖν ἐπ' αὐτὸν ὠφέλεια γενήσεσθαι. Μηδ' ὅτι χαλεπὰ ταῦτα

α. Πλάτ. Πολιτ. 365c. β. Ὀδυσ. δ, 384 ἑξ. 455 ἑξ. Vergil. Georg. IV, 388 ἑξ. Πρβλ. Πλάτ. Εὐθύδ. 288b. γ. Πρβλ. Διογέν. Λαερτ. 1,5,88D.

καὶ πόνου δεόμενα, διὰ τοῦτ' ἀποκνήσωμεν· ἀλλ' ἀναμνησθέντας τοῦ παραινέσαντος[α], ὅτι δέοι βίον μὲν ἄριστον αὐτὸν ἕκαστον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾶν τῇ συνηθείᾳ γενήσεσθαι, ἐγχειρεῖν τοῖς βελτίστοις. Αἰσχρὸν γὰρ τὸν παρόντα καιρὸν προεμέ[589]νους ὕστερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθόν, ὅτε οὐδὲν ἔσται πλέον ἀνιωμένοις. 5

Ἐγὼ μὲν οὖν ἃ κράτιστα εἶναι κρίνω, τὰ μὲν νῦν εἴρηκα, τὰ δὲ παρὰ πάντα τὸν βίον ὑμῖν συμβουλεύσω· ὑμεῖς δέ, τριῶν ἀρρωστημάτων, μὴ τῷ ἀνιάτῳ προσεοικέναι δόξητε, μηδὲ τὴν τῆς γνώμης νόσον παραπλησίαν τῇ τῶν εἰς τὰ σώματα δυστυχησάντων δείξητε. Οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες, αὐτοὶ παρὰ τοὺς ἰατροὺς ἔρχον- 10
ται· οἱ δὲ ὑπὸ μειζόνων καταληφθέντες ἀρρωστη61μάτων, ἐφ' ἑαυτοὺς καλοῦσι τοὺς θεραπεύσοντας· οἱ δὲ εἰς ἀνήκεστον παντελῶς μελαγχολίας παρενεχθέντες, οὐδὲ προσιόντας προσίενται. Ὃ μὴ πάθητε νῦν ὑμεῖς τοὺς ὀρθῶς ἔχοντας τῶν λογισμῶν ἀποφεύγοντες.

α. Πλουτάρχου, Περὶ Φυγῆς 8.

ΟΜΙΛΙΑ ΚΓ'

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΑΡΤΥΡΑ ΜΑΜΑΝΤΑ

1. Οὐκ ἀγνοῶ τὸ μέγεθος τῶν ὑπὸ τῆς πανηγύρεως ἐγκωμίων· ἀλλ' ὥσπερ τοῦτο ἐπίσταμαι, οὕτω καὶ τῆς ἀσθενείας τῆς ἐμαυτοῦ ἐπαισθάνομαι. Ἡ μὲν γὰρ ὑπόθεσις ἀπαιτεῖ ἄξιόν τι ῥηθῆναι τῶν συνελθόντων καὶ τῆς ἐλπίδος ἧς ἔχουσιν ἐφ' ἡμῖν καὶ τῆς ὑποθέσεως. Ἐπειδὴ γὰρ ἐπὶ τῇ μεγίστῃ τῶν μαρτύρων ἄγομεν τὴν μνήμην σήμερον, ὀρθὴ πᾶσα διάνοια καὶ ἐμπαράσκευος ἀκοή, εἰπεῖν τι ἄξιον τοῦ μάρτυρος προσδοκῶσα καὶ πόθῳ τῷ περὶ αὐτὸν τὴν ἐκκλησίαν ἐπάγει. Καὶ γὰρ εὐγνώμονες παῖδες μεγάλα ἀπαιτοῦσι τὰ τῶν πατέρων ἐγκώμια καὶ οὐκ ἂν καταδέξαιντο ἐν μικρότητι τοῦ λέγοντος κινδυνεύειν τῶν ἐγκωμιαζομένων τὸ μέγεθος. Ὥστε ὅσῳ μείζων ἡ προθυμία, τοσούτῳ μέγας ὁ κίνδυνος. Τί οὖν ποιήσομεν; Πῶς δὲ καὶ τὰς ὑμετέρας ἐπιθυμίας ἀποπληρώσομεν καὶ αὐτοὶ μὴ ἀπέλθωμεν ἀσυντελεῖς τῶν παρόντων; Παρακαλέσομεν ἑκάστην ψυχήν, ἃ ἔχουσα ἦλθεν ἐν τῇ μνήμῃ, ταῦτα ἀνακαινήσασαν τῇ διανοίᾳ, οἴκοθεν ἐπισιτισαμένην, τοῖς οἰκείοις ἐφοδίοις ἑαυτὴν εὐφράνασαν ἀπελθεῖν. Μνήσθητέ μοι τοῦ μάρτυρος, ὅσοι δι' ὀνείρων αὐτοῦ ἀπηλαύσατε· ὅσοι, περιτυχόντες τῷ τόπῳ τούτῳ, ἐσχήκεσαν αὐτὸν συνεργὸν εἰς προσευχήν· ὅσοις, ὀνόματι κληθείς, ἐπὶ τῶν ἔργων παρέστη· ὅσους ὁδοιπόρους ἐπανήγαγεν· ὅσους ἐξ ἀρρωστίας ἀνέστησεν· ὅσοις παῖδας ἀπέδωκεν ἤδη τετελευτηκότας· ὅσοις προθεσμίας βίου μακροτέρας ἐποίησεν. Πάντα μοι συναγαγόντες, ἐγκώμιον ἐκ κοινοῦ ἐράνου πονήσατε. Ἀλλήλοις διάδοτε, ἃ οἶδεν ἕκαστος, τῷ μὴ εἰδότι· ἃ μὴ οἶδε, λαμβανέτω παρὰ τοῦ εἰδότος καὶ οὕτως ἐκ συνεισφορᾶς ἀλλήλους συνεστιάσαντες, ἡμῶν τῇ ἀσθενείᾳ σύγγνωτε.

2. Ταῦτα γὰρ ἐγκώμια μάρτυρος, ὁ πλοῦτος τῶν **[592]** πνευματικῶν χαρισμάτων. Οὐ γὰρ ἔχομεν αὐτὸν κατὰ τὸν νόμον τῶν ἔξωθεν ἐγκωμίων ἀποσεμνύνειν· οὐκ ἔχομεν λέγειν πατέρας καὶ προγόνους περιφανεῖς. Αἰσχρὸν γὰρ ἀλλοτρίοις κόσμοις κοσμεῖσθαι τὸν τῇ οἰκείᾳ ἀρετῇ διαφανῆ. Συνηθείας γὰρ νόμοις τὰ τοιαῦτα ἐν τοῖς ἐγκωμίοις παραλαμβάνουσιν. Ἐπεὶ ὅ γε τῆς ἀληθείας ἴδια ἑκάστου ἀπαιτεῖ τὰ ἐγκώμια. Οὔτε γὰρ ἵππον ταχὺν ποιεῖ ἡ τοῦ πατρὸς περὶ τὸν δρόμον εὐμοιρία, οὔτε κυνὸς ἐγκώμιον τὸ ἐκ ταχυτάτων φῦναι. Ἀλλ' ὥσπερ ἄλλων ζῴων ἡ ἀρετὴ ἐν αὐτῷ θεωρεῖται ἑκάστῳ, οὕτω καὶ ἀνδρὸς ἴδιος ἔπαινος ὁ ἐκ τῶν ὑπαρχόντων αὐτῷ κατορθωμάτων μαρτυρούμενος. Τί πρὸς τὸν παῖδα ἡ τοῦ πατρὸς περιφάνεια; Οὕτως οὐκ ἔλαβεν ἑτέρωθεν τὸ περιφανὲς ὁ μάρτυς· ἀλλ' αὐτὸς τῷ ἐφεξῆς

βίῳ λαμπτῆρα εὐκλείας ἀνῆψεν. Ἀπὸ Μάμαντος οἱ λοιποί, οὐκ ἀφ' ἑτέρων Μάμας. Παῖδες οἱ παρὰ τούτου τὴν εὐσέβειαν διδαχθέντες τούτῳ σεμνυνέσθωσαν. Αὐτὸς γὰρ οἴκοθεν βρύει τὴν ἀρετήν. Οὐκ ἔστιν ὥσπερ χείμαρρος ἀλλοτρίᾳ συρροίᾳ σεμνυνόμενος, ἀλλὰ πηγή ἐστιν ἀπὸ τῶν οἰκείων λαγόνων προχέουσα τὸ κάλλος. Θαυμάσωμεν τὸν ἄνδρα μὴ ἀλλοτρίῳ κόσμῳ κοσμούμενον, ἀλλὰ τῷ ἰδίῳ ἀποσεμνυνόμενον. Ὁρᾷς τοὺς λαμπροὺς ἱπποτρόφους; ὁρᾷς τὰ λευκὰ αὐτῶν μνήματα; πῶς λίθοι εἰσὶ παρατρεχόμενοι; Μνήμῃ δὲ μάρτυρος καὶ πᾶσα μὲν χώρα κεκίνηται, πᾶσα δὲ πόλις πρὸς ἑορτὴν μεταπεποίηται. Οὐδὲ οἱ συγγενεῖς τῶν πρὸς τοὺς τῶν πατέρων ἀποτρέχουσι τάφους, ἀλλὰ πάντες ἐπὶ τὸν τόπον τῆς εὐσεβείας. Πατέρα τοῦτον τὸν ἀρχηγὸν τῆς ἀληθείας, ἀλλ' οὐχὶ πατέρας καὶ σωμάτων ἀρχηγοὺς ὀνομάζουσιν. Ὁρᾷς πῶς ἀρετὴ τιμᾶται καὶ οὐχὶ πλοῦτος; Οὕτως ἡ Ἐκκλησία, δι' ὧν τιμᾷ τοὺς προλαβόντας, προτρέπεται τοὺς παρόντας. Μή μοι, φησί, σπούδαζε περὶ πλοῦτον· μὴ περὶ σοφίαν τοῦ κόσμου τὴν καταργουμένην[1]· μὴ περὶ δόξαν τὴν ἀπαθοῦσαν· ταῦτα τῷ βίῳ συναφανίζεται· ἀλλ' εὐσεβείας ἐργάτης ἔσο. Αὕτη γὰρ καὶ εἰς οὐρανόν σε ἀνοίσει, αὕτη καὶ ἀθάνατόν σου τὴν μνήμην καὶ διαρκῆ τὴν εὔκλειαν παρὰ ἀνθρώποις παρασκευάσει.

3. Ὥστε, εἴ τις μέμνηται τοῦ ποιμένος, μὴ θαυμαζέτω τὸν πλοῦτον. Συνήλθομεν γὰρ ἐπαινέσαι οὐχὶ πλούσιον ὄντα· μὴ ἀπέλθῃς πλούσιον θαυμάζων, ἀλλὰ πενίαν μετ' εὐσεβείας. Ποιμὴν οὐδὲν μέγα, οὐδὲ σοφὸν ἐπιτήδευμα. Οὐκ ἄν, ὀργισθείς, ἀντὶ ὀνείδους εἶπες τῷ παροξύναντί σε· Ποιμὴν εἶ; ποιμὴν οὐδὲν πλέον τῆς ἐφημέρου τροφῆς κεκτημένος, πήραν ἀνημμένος καὶ κορύνην φέρων καὶ τὰ πρὸς ἡμέραν ἐφόδια, οὐδεμίαν μέριμναν περὶ τῆς αὔριον ἔχων. Θηρίοις πολέμιος, ἡμερωτάτων ζῴων σύννομος, φεύγων ἀγοράν, φεύγων δικαστήρια, οὐ γνωρίζων συκοφάντας, οὐ γνωρίζων ἐμπορίαν, οὐκ εἰδὼς πλοῦτον, οὐκ ἔχων ἰδίαν σκέπην, ὑπὸ τὴν κοινὴν τοῦ κόσμου διαι[593]τώμενος, ἐν νυκτὶ πρὸς οὐρανὸν ἀναβλέπων καὶ διὰ τῶν ἀστέρων ἀναγινώσκων τὸ θαῦμα τοῦ πεποιηκότος. Ποιμήν. Μὴ ἐπαισχυνόμεθα τὴν ἀλήθειαν. Μὴ τοὺς ἔξωθεν μυθοποιοὺς μιμώμεθα, μὴ περιστέλλωμεν τὴν ἀλήθειαν εὐπρεπείᾳ ῥημάτων. Γυμνὴ ἡ ἀλήθεια, ἀσυνηγόρητος, αὐτὴ ἑαυτὴν δεικνῦσα. Πλείονι λόγῳ τὸ ταπεινόν· ἀλλὰ μᾶλλον θαυμάσεις τῷ ἐγκωμίῳ. Ποιμὴν καὶ πένης, ταῦτα τῷ Χριστιανῷ τὰ σεμνολογήματα. Ἐὰν τοὺς ἀρχηγοὺς τοῦ διδασκαλείου τοῦ κατ' εὐσέβειαν ζητήσῃς, ἁλιεῖς τε καὶ τελῶναι· ἐὰν τοὺς μαθητάς, σκυτοτόμοι πένητες. Οὐδεὶς πλούσιος, οὐδαμοῦ περιφάνεια. Ταῦτα πάντα μετὰ τοῦ κόσμου κατήργηται. Ἰδοὺ τοίνυν τίνος ἡμέραν ἑορτάζομεν, ἐπὶ τίνι φαιδροὶ πάντες ἐσμέν, ἐπὶ τίνι βίος μεταπεποίηται. Ἐπειδὴ ὑπεμνήσθημεν τοῦ ποιμένος, μὴ καταφρόνει τῆς προση-

1. Πρβλ. Α' Κορ. 2,6.

γορίας. Ἤκουσας, ὅτι ὁ πρῶτος εὐαρεστήσας Ἄβελ ποιμὴν ὑπῆρξε[1]. Τίς ἐκείνου μιμητής; Μωυσῆς ὁ μέγας νομοθέτης, ὁ τὴν πεῖραν Φαραὼ ἀποδράσας, ὁ μισήσας τῶν συννόμων τὸ ἐπίβουλον, οὗτος ἐν τῷ ὄρει τῷ Χωρὴβ ἐποίμαινεν· δι' ὧν ἐποίμαινε, Θεῷ προσωμίλει[2]. Οὐ δικαζόμενος εἶδεν ἐπὶ βάτου ἄγγελον, ἀλλὰ ποιμαίνων ἐκείνης τῆς ὁμιλίας τῆς οὐρανίου ἠξιώθη. Τίς μετὰ Μωυσέα; Ἰακὼβ ὁ πατριάρχης, ἐν τῷ ποιμαίνειν ὑπομονὴν τὴν περὶ τῆς ἀληθείας ἐπιδεικνύμενος[3], μικρᾷ εἰκόνι τὸν ὅλον ἑαυτοῦ χαρακτηρίσας βίον. Τίνι παρέδωκε τὸν ζῆλον; Τῷ Δαβίδ. Δαβὶδ ἐκ ποιμαντικῆς παρῆλθεν εἰς βασιλείαν[4]. Ἀδελφαὶ γὰρ ποιμαντικὴ καὶ βασιλική· παρ' ὅσον ἡ μὲν τῶν ἀλόγων, ἡ δὲ τῶν λογικῶν τὴν ἐπιστασίαν ἐπεπίστευτο. Οὕτως ὑποβάθρα τῆς μείζονος ἐπιστήμης ἐστὶν αὕτη. Διὰ τοῦτο ἀμφότερα συλλαμβάνων ὁ Κύριός ἐστι καὶ ποιμὴν καὶ βασιλεύς, τοὺς ἀλόγους ποιμαίνων, τοὺς λογικωτέρους ὑπὸ τὴν ἐπιστασίαν τῆς βασιλείας ἄγων. Βούλει μαθεῖν πηλίκον ἐστὶ ποιμήν; «Κύριος ποιμαίνει με»[5]. Πῶς δὲ ἀδελφὴ βασιλείας ποιμαντική; «Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;»[6]. Ὁ ἐνταῦθα ποιμήν, ἐκεῖ βασιλεύς. Καὶ μὴ νομίσῃς παρ' ἄλλων μὲν μαρτυρεῖσθαι, αὐτὸν δὲ ἐπαισχύνεσθαι τῇ προσηγορίᾳ ταύτῃ. Ἀλλὰ κατασιωπήσας τοὺς **[596]** νόθους ποιμένας, ἐφ' ἑαυτὸν περιίστησι τὴν ἀληθῆ τῆς ποιμαντικῆς μαρτυρίαν. «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός»[7]. «Ἐγώ» εἰμι, «καὶ οὐκ ἠλλοίωμαι»[8]. Πῶς, ὅταν τὰ μεγάλα λέγῃ· ἐγὼ τῇ χειρί μου «ἐστερέωσα τὴν γῆν»[9]· ἐγὼ ἐξέτεινα τὸν οὐρανὸν μόνος· ὡς ὅταν τἆλλα λέγῃ τὰ ἀξιοπρεπῆ καὶ ἄξια περὶ Θεοῦ λέγεσθαι, οὕτως λέγει· ὁ ποιμὴν ὁ καλός; Ἀποδιώκει τοὺς νόθους καὶ τὴν ἀλήθειαν εἰς ἑαυτὸν περιίστησιν. «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός». Μάθε τίς ἐστιν ὁ ποιμὴν καί τις ἐστιν ὁ καλός. Αὐτὸς ἑρμηνεύει. «Ὁ ἀληθινὸς ποιμὴν τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ δὲ μισθωτὸς καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ ἔστι τὰ πρόβατα ἴδια, οὐ μέλει αὐτῷ, ὅταν ἴδῃ λύκον ἐρχόμενον»[10].

4. Ἐνταῦθα ζητεῖ ἡ Ἐκκλησία, εἰ ποιμὴν ὁ Κύριος, τίς μισθωτὸς ποιμήν; Μὴ ὁ διάβολος; Καὶ εἰ ὁ διάβολος μισθωτὸς ποιμήν, τίς ὁ λύκος; Ἀλλὰ λύκος μὲν ὁ διάβολος, τὸ ἀνήμερον θηρίον, τὸ ἁρπακτικόν, τὸ ἐπίβουλον, ὁ κοινὸς πάντων ἐχθρός. Ἐχέτω τοίνυν ἰδίαν προσηγορίαν μισθωτὸς ποιμήν. Μισθωτοὺς ποιμένας τότε μὲν πρὸς τοὺς τότε ἀποστρεφόμενος ὁ Κύριος ἔλεγεν. Εἰσὶ δὲ καὶ οἱ νῦν, ὡς οὐκ ὄφελον, οἱ τὴν προσηγορίαν τῶν μισθωτῶν οἰκειούμενοι. Τότε ἀρχιερεῖς ἐνεδείκνυντο καὶ Φαρισαῖοι καὶ πᾶν ἐκεῖνο τὸ κόμμα τὸ ἰουδαϊκόν. Ἐκείνους μισθωτοὺς ἔλεγε ποιμένας, τοὺς οὐ διὰ τὸ

---

1. Πρβλ. Γεν. 4,2. 2. Πρβλ. Ἐξ. 3,1-4. 3. Πρβλ. Γεν. 31,38. 4. Πρβλ. Α' Βασ. 16,11-12. 5. Ψαλ. 22,1. 6. Ψαλ. 23,8. 7. Ἰω. 10,11. 8. Μαλ. 3,6. 9. Ἡσ. 44,24. 10. Πρβλ. Ἰω. 10,11-13.

ἀληθές, ἀλλὰ διὰ τὸ αὐτῶν χρειῶδες τὴν τοῦ ποιμαίνειν ἐξουσίαν λαβόντας. Οἱ ἐπὶ προφάσει ματαίᾳ προσευχόμενοι, ἵνα κατεσθίωσι τὸν ἄρτον τῶν χηρῶν καὶ τῶν ὀρφανῶν, οὗτοι μισθωτοί. Οἱ τὴν χρείαν θεραπεύοντες, οἱ τὸ παρὸν διώκοντες, οὐ πρὸς τὸ μέλλον ἀτενίζοντες, μισθωτοί, καὶ οὐ ποιμένες εἰσί. Καὶ νῦν μισθωτοὶ πολλοὶ δοξαρίου δυστήνου τὴν ἑαυτῶν ζωὴν ἀποδιδόντες, οἱ καὶ νῦν ἐπὶ τοῖς ὑγιαίνουσι τοῦ Κυρίου ῥήμασι σχίσμα ποιοῦντες. Εἰπόντος γὰρ ταῦτα τοῦ Κυρίου, σχίσμα ἐν αὐτοῖς ἐγένετο[1]. Οἱ μὲν ἔλεγον, δαιμόνιον ἔχει· ἄλλοι, δαίμων ὀφθαλμοὺς τυφλοὺς βλέπειν ποιεῖν οὐ δύναται[2]. Ὁρᾷς πῶς παλαιὸν τὸ πάθος τοῦ σχίσματος; Εὐθὺς γὰρ τὸ πτύον διακρίνει μὲν τὸ ἄχυρον ἀπὸ τοῦ σίτου[3]· καὶ τὸ μὲν κοῦφον καὶ ἄστατον ἀποσχίζεται τοῦ τροφίμου, τὸ δὲ πρὸς τροφὴν πνευματικὴν ἐπιτήδειον παραμένει τῶν γεωργούντων. Διὰ τοῦτο σχίσμα ἐγένετο καὶ οἱ μὲν οὕτω διεφέροντο, οἱ δὲ οὕτως. Ἰουδαίοις πρέπει τὸ σχίζεσθαι· ἡ δὲ τοῦ Θεοῦ Ἐκκλησία, τὸν χιτῶνα τὸν ἄρραφον, τὸν ἐκ τῶν ἄνωθεν ὑφαντὸν δεξαμένη, τὸν ἄσχιστον ὑπὸ στρατιωτῶν διαφυλαχθέντα, ἡ Χριστὸν ἐνδυσαμένη, μὴ σχιζέτω τὸ ἱμάτιον[4]. «Καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκουσί με τὰ ἐμά»[5]. Ἥρπασεν ὁ αἱρετικὸς πρὸς τὴν ἰδίαν κατασκευὴν τῆς βλασφημίας. Ἰδού, φησίν, εἴρηται, ὅτι γινώσκουσί με τὰ ἐμὰ καὶ γινώσκω τὰ ἐμά. Γινώσκειν ἄρα τί λέγει; τὴν οὐσίαν νοεῖν; **[597]** τὸ μέγεθος ἐκμετρεῖν; Ἐκεῖνα κατανοεῖσθαι τῆς θεότητος, ἃ σὺ τῇ σεαυτοῦ θρασυστομίᾳ κατεπαγγέλλῃ; Ἢ ἐκ τῶν κατόπιν οὐ νοεῖς τὸ μέτρον τῆς γνώσεως; Τί γινώσκομεν Θεοῦ; «Τὰ ἐμὰ πρόβατα τῆς φωνῆς μου ἀκούει»[6]. Ἴδε πῶς νοεῖται Θεός· ἐκ τοῦ ἀκούειν ἡμᾶς τῶν ἐντολῶν αὐτοῦ· ἐκ τοῦ ἀκούοντας ποιεῖν. Τοῦτο γνῶσις Θεοῦ, τήρησις ἐντολῶν Θεοῦ. Πῶς οὐ πολυπραγμοσύνη περὶ οὐσίας Θεοῦ; οὐ ζήτησις τῶν ὑπερκοσμίων; οὐκ ἐπίνοια τῶν ἀοράτων; Γινώσκει με τὰ ἐμὰ καὶ γινώσκω τὰ ἐμά. Ἀρκεῖ σοι εἰδέναι, ὅτι ποιμὴν καλός· ὅτι ἔθηκε τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων. Οὗτος ὅρος τῆς τοῦ Θεοῦ ἐπιγνώσεως. Πόσος δὲ Θεὸς καὶ τί τὸ μέτρον αὐτοῦ καὶ ποταπὸς τὴν οὐσίαν, τὰ τοιαῦτα ἐπικίνδυνα μὲν τῷ ἐρωτῶντι, ἄπορα δὲ τῷ ἐρωτωμένῳ· σιωπὴ δέ, θεραπεία τῶν τοιούτων ἐστί. «Τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει»[7], εἶπεν, οὐ συζητεῖ. Τουτέστιν οὐ παρακούει, οὐ φιλονικεῖ. Ἤκουσας Υἱόν, μή μοι τρόπους γεννήσεως μήτε αὐτὸς τεχνολόγει, μήτε ὑπὸ αἰτίαν ἀνάγαγε τὰ μὴ αἰτιολογήματα, μὴ διὰ σχίσματος διόριζε τὸ συνημμένον. Διὰ τοῦτο προλαβὼν ἠσφαλίσατό σε ὁ εὐαγγελιστής. Ἤκουσας πρώην καὶ δὴ ἀκούεις· «ἐν ἀρχῇ ἦν ὁ Λόγος»[8], ἵνα μὴ τὸν Υἱὸν γέννημα ἀνθρώπινον νομίσῃς ἐκ τοῦ μὴ

1. Πρβλ. Ἰω. 9,16. 2. Πρβλ. Ἰω. 10,20-21. 3. Πρβλ. Ματθ. 3,12. 4. Πρβλ. Ἰω. 19,23-24. 5. Ἰω. 10,14. 6. Ἰω. 10,27. 7. Πρβλ. ἔνθ' ἀν. 8. Ἰω. 1,1.

ὄντος παρεληλυθέναι. «Λόγον» σοι εἶπε διὰ τὸ ἀπαθές. «Ἦν» σοι εἶπε διὰ τὸ ἄχρονον. «Ἀρχήν» σοι εἶπεν, ἵνα συνάψῃ τὸν γεννηθέντα τῷ Πατρί. Εἶδες πρόβατον εὐπειθὲς πῶς ἀκούει φωνὴν Δεσπότου. Ἐν ἀρχῇ, καὶ ἦν, καὶ Λόγος. Μηδὲ λέγε τό, Πῶς ἦν; καί, Εἰ ἦν, οὐκ ἐγεννήθη, καὶ εἰ ἐγεννήθη, οὐκ ἦν. Οὐκ ἔστι πρόβατον τὸ τὰ τοιαῦτα λέγον. Προβάτου δέρμα· ἔσωθεν δὲ λύκος ἐστὶν ὁ φθεγγόμενος. Ἐπίβουλος γνωριζέσθω. «Τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει»[1]. Ἤκουσας Υἱόν; Νόησον τὴν πρὸς Πατέρα ὁμοιότητα. Ὁμοιότητα λέγω δι' ἀσθένειαν τῶν δυνατωτέρων σωμάτων. Ἐπεὶ τό γε ἀληθὲς (οὐ φοβοῦμαι γὰρ προσβαίνειν τὴν ἀλήθειαν), οὐκ εἰμὶ ἕτοιμος συκοφάντης. Ταυτότητα λέγω, φυλάσσων Υἱοῦ καὶ Πατρὸς ἰδιότητα. Ἐν ὑποστάσει Υἱοῦ, μορφὴν νόησον πατρικήν, ἵνα μοι τὸν ἀκριβῆ τῆς εἰκόνος διασώσῃς λόγον, ἵνα μοι νοήσῃς θεοσεβῶς· «ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί»[2]· οὐκ οὐσιῶν σύγχυσιν, ἀλλὰ χαρακτήρων ταυτότητα. Ἀλλὰ γὰρ ἔοικεν ἐναντιώτατον εἶναι τῶν πραγμάτων, ἀγαπητοί, ὅπου γε καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐξεβιάσατο τὸ εὐπειθὲς τῆς ὑμετέρας ἀκοῆς εἰπεῖν τι ἐν μέσοις καὶ φθέγξασθαι, ἵνα ἡ δύναμις **[600]** τοῦ Θεοῦ ἐν τῇ τοῦ ὀργάνου ἀσθενείᾳ μάλιστα διαφανῇ. Τάχα γὰρ διὰ τοῦτο ὑπερεπερίσσευσεν ἡμῶν τὸ ἀσθενές, ἵνα ἐπὶ πλεῖον δοξασθῇ ὁ τὸ ἀσθενὲς ἐνισχύων. Ὁ δὲ περιαγαγὼν ἡμῶν τὴν πανήγυριν ταύτην καὶ πέρας δοὺς ταῖς περυσιναῖς εὐχαῖς καὶ κεφαλὴν δοὺς τῷ ἐπιόντι χρόνῳ (ἡ γὰρ αὐτὴ ἡμέρα ὁρίζει ἡμῖν τὸν παρελθόντα κύκλον καὶ κεφαλὴ γίνεται πάλιν τῷ ἐπερχομένῳ), ὁ τοίνυν ἐπισυνάξας καὶ χαρισάμενος τοῦ μέλλοντος τὴν ἐνέργειαν, διαφυλάξειεν ἡμᾶς, ἐν αὐτῷ ἀβλαβεῖς ἀνεπηρεάστους, ὑπὸ τοῦ λύκου ἀδιαρπάκτους· ἄσειστον τὴν Ἐκκλησίαν ταύτην, φρουρουμένην τοῖς μεγάλοις πύργοις τῶν μαρτύρων διατηρήσειε. Πᾶσαν ἐπιβουλὴν καὶ προσβολὴν αἱρετικῶν μηνιαμάτων ἀποστρέψειεν· ἐν ἡσυχίᾳ δὲ παράσχοι ἡμῖν διδάσκεσθαι τὰ θεῖα λόγια καὶ διδάσκειν τὴν ἐπιχορηγουμένην χάριν τοῦ Πνεύματος· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Πρβλ. Ἰω. 10,27. 2. Ἰω. 14,10.

ΟΜΙΛΙΑ ΚΔ'

ΚΑΤΑ ΣΑΒΕΛΛΙΑΝΩΝ ΚΑΙ ΑΡΕΙΟΥ ΚΑΙ ΤΩΝ ΑΝΟΜΟΙΩΝ

1. Μάχεται Ἰουδαϊσμὸς Ἑλληνισμῷ καὶ ἀμφότεροι Χριστιανισμῷ, ὥσπερ Αἰγύπτιοι καὶ Ἀσσύριοι καὶ ἀλλήλοις ἦσαν πολέμιοι καὶ τῷ Ἰσραήλ· ὡς καὶ ἐπὶ τῆς κακίας εὑρίσκομεν δειλίαν καὶ θράσος καὶ ἀλλήλοις ἀντικείμενα καὶ τῇ ἀνδρίᾳ. Τοιαύτῃ τίς ἐστι καὶ πρὸς τὴν ὀρθότητα τῆς ὁμολογίας ἑκατέρωθεν παρακειμένη μάχη· ἐντεῦθεν μὲν Σαβελλίου, ἑτέρωθεν δὲ τῶν τὸ ἀνόμοιον κηρυσσόντων. Ἡμεῖς δέ, ὥσπερ ἀπεφύγομεν Ἕλληνας καὶ τὴν πονηρὰν εἰδωλολατρίαν ἐξετράπημεν καὶ τὸ πολύθεον αὐτῶν ἄθεον εἶναι κατέγνωμεν· οὕτως ἀπεφύγομεν καὶ τὴν τῶν Ἰουδαίων βλασφημίαν τῶν τὸν Υἱὸν τοῦ Θεοῦ ἀρνουμένων, φοβηθέντες ἐκείνην τὴν ἀπειλήν· «ὃς ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀπαρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς»[1]. Φεύγωμεν δὴ οὖν, ὡς τὸ εἰκὸς καὶ τοὺς τὰ συγγενῆ τούτοις κατὰ τοῦ λόγου τῆς ἀληθείας ἐπεξευρίσκοντας. Ἐπειδὴ γὰρ εἶδεν ὁ σοφὸς τοῦ κακοποιῆσαι διάβολος τὴν πρὸς Ἕλληνας καὶ Ἰουδαίους τῶν Χριστιανῶν ἀλλοτρίωσιν καὶ ὅτι εὐθὺς ἐκ τῶν ὀνομάτων ἔχομεν πρὸς αὐτοὺς πολεμίως, τὸ ἡμέτερον ἐπιθεὶς ἑκατέροις ὄνομα, οὕτως ἐπεισάγειν ἐπιχειρεῖ πάλιν τὴν Ἰουδαϊκὴν ἄρνησιν καὶ τὴν Ἑλληνικὴν πολυθεΐαν. Οἱ μὲν γὰρ ἔργον Θεοῦ εἶναι λέγοντες τὸν Μονογενῆ καὶ ποίημα, εἶτα προσκυνοῦντες καὶ θεολογοῦν[601]τες, ἐκ τοῦ λατρεύειν τῇ κτίσει καὶ μὴ τῷ κτίσαντι, τὰ τῶν Ἑλλήνων ἄντικρυς ἐπεισάγουσιν· οἱ δὲ τὸν ἐκ Θεοῦ Θεὸν ἀρνούμενοι καὶ ὀνόματι μὲν ὁμολογοῦντες Υἱόν, ἔργῳ δὲ καὶ ἀληθείᾳ τὴν ὕπαρξιν ἀθετοῦντες, τὸν Ἰουδαϊσμὸν πάλιν ἀνανεοῦνται. Καὶ γὰρ ὅταν ὁμολογῶσι Λόγον, τῷ ἐνδιαθέτῳ αὐτὸν παρεικάζουσι· καὶ σοφίαν λέγοντες, ὁμοίαν εἶναι λέγουσι τῇ ἕξει τῇ ἐν ψυχῇ τῶν πεπαιδευμένων συνισταμένῃ· καὶ διὰ τοῦτο πρόσωπον ἓν Πατρὸς καὶ Υἱοῦ, ἐπειδὴ καὶ ἄνθρωπος εἷς λέγεται, οὐ διαιρούμενος ἀπὸ τοῦ ἐνυπάρχοντος αὐτῷ λόγου καὶ τῆς σοφίας. Καίτοι ὁ εὐαγγελιστὴς εὐθὺς ἐκ προοιμίων βοᾷ· «καὶ Θεὸς ἦν ὁ Λόγος»[2], ἰδίαν ὕπαρξιν διδοὺς τῷ Υἱῷ. Εἰ γὰρ ἐν καρδίᾳ ἦν ὁ Λόγος, πῶς ἂν ἐνοήθη Θεός; πῶς δ' ἂν ἦν πρὸς τὸν Θεόν; Ἐπειδὴ οὔτε ὁ ἐν ἀνθρώπῳ λόγος ἄνθρωπος, οὔτε πρὸς αὐτὸν εἶναι λέγεται, ἀλλ' ἐν αὐτῷ. Οὔτε γὰρ ζῶν ἐστιν, οὔτε ὑφεστώς· ὁ δὲ τοῦ Θεοῦ Λόγος ζωή ἐστι καὶ ἀλήθεια[3]. Καὶ ὁ μὲν λόγος ὁ ἡμέτερος ὁμοῦ τε ἐλέχθη καὶ οὐκ ἔστι·

---

1. Ματθ. 10,33. 2. Ἰω. 1,1. 3. Πρβλ. Ἰω. 14,6.

περὶ δὲ τοῦ Θεοῦ Λόγου τί φησιν ὁ ψαλμός; «εἰς τὸν αἰῶνα, Κύριε, ὁ Λόγος σου διαμένει ἐν τῷ οὐρανῷ»[1].

2. Καὶ ἐντεῦθεν μὲν οὗτος ὁ πόλεμος· ἑτέρωθεν δὲ τίς καὶ ποῖός ἐστιν ὁ κατὰ τῆς ἀληθείας ἀγών; Τὴν μὲν ὕπαρξιν συγχωροῦσι καὶ ἴδιον εἶναι πρόσωπον Υἱοῦ καὶ ἴδιον Πατρὸς συντίθενται· ἀνομοιότητα δὲ τῆς φύσεως παρεισάγουσι. Καὶ τὸ τοῦ Υἱοῦ ὄνομα μέχρι φωνῆς συγχωροῦσι, τῇ δὲ ἀληθείᾳ πρὸς τὴν κτίσιν αὐτὸ κατάγουσιν, οὐ δυσωπούμενοι τὴν φωνὴν τοῦ Κυρίου, ἑαυτὸν προδεικνύντος τῷ πρὸς τὴν τοῦ Πατρὸς θεωρίαν ἐπειγομένῳ. «Ὁ ἑωρακὼς» γὰρ «ἐμέ», φησίν, «ἑώρακε τὸν Πατέρα»[2]. Αὕτη δὲ ἡ φωνὴ ὀρθῶς λογιζομένοις ἀμφοτέρων ἐμφράττει τὰς βλασφημίας. Οὔτε γὰρ ἑαυτὸν εἶναι τὸν Πατέρα φάσκει, ὅς γε διαιρεῖ τὰ πρόσωπα φανερῶς ἐν τῷ λέγειν· ὁ ἑωρακὼς ἐμέ. Δείκνυσι γὰρ ἐκ τούτου τὸ ἴδιον αὐτοῦ πρόσωπον· «ἑώρακε τὸν Πατέρα», ἀναφέρων ἐπὶ τὸ πατρικὸν πρόσωπον καὶ διαιρῶν ἀφ' ἑαυτοῦ προδήλως καὶ ἐν τῷ λέγειν· «εἰ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε»[3]. Οὐ γὰρ σύγχυσιν τῶν προσώπων ἐμφαίνει ταῦτα, ἀλλὰ τὸ ἀπαράλλακτον τῆς θεότητος παρίστησιν. Ἀκουέτωσαν δὲ τὸν αὐτὸν λόγον καὶ οἱ ἐναντίοι· ὅτι ὁ τῆς τοῦ Υἱοῦ κατηξιωμένος κοινωνίας οὐκ ἀπεστέρηται τοῦ Πατρός. Οὐ γὰρ ἀλλοῖον ὁ γεννήτωρ ἐγέννα, ἀλλὰ τοιοῦτον οἷος αὐτός ἐστιν. Ἄκουε, ὁ ἀνόμοιος· «ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν»[4]. Ἄκουε καὶ σύ, ὁ Σαβέλλιος· Ἐγὼ **[604]** ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ πρὸς αὐτὸν ὑπάγω[5]. Καὶ ἑκάτερος ὑμῶν τὸ ἴδιον τραῦμα ἐκ τοῦ εὐαγγελικοῦ διδασκαλίου θεραπευέσθω. Καὶ σὺ μὲν τὴν ἑνότητα λάμβανε ἐπὶ τὸ τῆς φύσεως ἀπαράλλακτον· σὺ δὲ τό, Ἀπ' αὐτοῦ ἐξῆλθον καὶ πρὸς αὐτὸν πορεύομαι, ἐπὶ τὸ τῶν προσώπων διάφορον. Συμβῶμεν οὖν ἐπὶ τούτοις καὶ εἰρηνεύσωμεν καὶ καταθώμεθα τὸν μακρὸν κατὰ τῆς εὐσεβείας πόλεμον· ῥίψαντες μὲν τὰ ἠκονημένα ταῦτα τῆς ἀσεβείας ὅπλα καὶ μεταχαλκεύσαντες τὰς ζιβύνας εἰς ἄροτρα καὶ τὰς μαχαίρας εἰς δρέπανα[6]. Μήτε σὺ λέγε μόνον, ἀλλ' ἀκολούθει τῷ λέγοντι· «οὐκ εἰμὶ μόνος»[7], ὅτι ὁ πέμψας με Πατὴρ μετ' ἐμοῦ ἐστιν. Ἄλλος οὖν ὁ πέμψας Πατὴρ καὶ ἄλλος ὁ πεμφθεὶς Υἱός. Καὶ πάλιν, «Ἐγώ», φησί, «μαρτυρῶ περὶ ἐμαυτοῦ»[8] «καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ»[9]. Καί, «ἐν τῷ νόμῳ δέ», φησί, «τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν»[10]. Ἀριθμησον, εἰ βούλει, τὰ πρόσωπα. «Ἐγώ», φησίν, «εἰμὶ ὁ μαρτυρῶν»[11]. Εἷς. «Καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με»[12]. Δύο. Καὶ οὐκ ἐγὼ οὕτω τολμηρῶς ἀριθμῶ, ἀλλ' αὐτὸς ὁ Κύριος ἐδίδαξεν, εἰπών. Ἐν τῷ νόμῳ τῷ ὑμετέρῳ γέγραπται, ὅτι ἀνθρώπων δύο ἡ μαρτυρία ἀληθής ἐστι.

---

1. Ψαλ. 118,89. 2. Ἰω. 14,9. 3. Ἰω. 14,7. 4. Ἰω. 10,30. 5. Πρβλ. Ἰω. 16,28. 6. Πρβλ. Ἡσ. 2,4. 7. Ἰω. 8,16. 8. Ἰω. 8,14. 9. Ἰω. 8,18. 10. Ἰω. 8,17. 11. Ἰω. 8,18. 12. Ἔνθ' ἀν.

Καὶ σὺ δέ, ὁ κατ' ἄλλο εἶδος τῆς ἀσεβείας θεομαχῶν, ὁ ἀνόμοιον εἶναι λέγων τῇ φύσει τὸν Υἱὸν τῷ Θεῷ, ὁ τὴν ἰσότητα μὴ διδούς, ὁ διάστασιν ζωῆς ἐμποιῶν δυσωπήθητι Παῦλον λέγοντα· «ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου»[1]· καὶ δὸς τῇ ζώσῃ εἰκόνι ἀπαραλλάκτως ἔχειν πρὸς τὴν ζωὴν τὴν ἀρχέτυπον. Ὁμολόγει Πατέρα Υἱοῦ, μὴ κτίσματος, δημιουργόν. Καὶ ἐν τῇ ἀληθινῇ τοῦ Πατρὸς ὁμολογίᾳ δὸς τὴν τοῦ γεννηθέντος πρὸς αὐτὸν ὁμοτιμίαν, μνησθεὶς τῆς τοῦ εὐαγγελιστοῦ μαρτυρίας, ὅτι «Πατέρα ἔλεγεν ἑαυτοῦ τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ»[2]. Τὸ δὲ ἰσάζειν τῷ γεγεννηκότι κατὰ τὴν φύσιν νοεῖται, οὐ κατὰ μεγέθους σωματικοῦ παραμέτρησιν. Πῶς δὲ «οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»[3], εἰ ὡς σὺ βλασφημεῖς, οὐδέποτε ἴσος; Πῶς δὲ καὶ «ἐν μορφῇ Θεοῦ» ὑπῆρχεν ὁ κατὰ τὸν σὸν λόγον, μηδέποτε ὅμοιος;

3. Ἀλλ' ὁ μὲν πόλεμος ἑκατέρωθεν ἡμῖν τοιοῦτος· ἡ δὲ ἀλήθεια τίς; Μήτε σὺ φοβοῦ τὴν τῶν προσώπων ὁμολογίαν, ἀλλὰ λέγε Πατέρα, λέγε καὶ Υἱόν, μὴ ἑνὶ πράγματι δύο ὀνόματα ἐπιφθεγγόμενος, ἀλλ' ἐξ ἑκατέρας τῆς προσηγορίας ἰδίαν ἔννοιαν διδασκόμενος. Δεινὴ γὰρ ἀγνωμοσύνη μὴ καταδέχεσθαι τὰ διδάγματα τοῦ Κυρίου, εὐκρινῶς διιστῶντος **[605]** ἡμῖν τῶν προσώπων τὴν ἑτερότητα. Ἐὰν γὰρ ἀπέλθω, φησί, «παρακαλέσω τὸν Πατέρα, καὶ ἄλλον πέμψει Παράκλητον ὑμῖν»[4]. Οὐκοῦν Υἱὸς μὲν ὁ παρακαλῶν, Πατὴρ δὲ ὁ παρακαλούμενος, Παράκλητος δὲ ὁ ἀποστελλόμενος. Ἆρ' οὖν οὐ φανερῶς ἀναισχυντεῖς ἀκούων. Ἐγὼ περὶ τοῦ Υἱοῦ, Ἐκεῖνος δὲ περὶ τοῦ Πατρός, ἄλλος περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου καὶ πάντα φύρων καὶ πάντα συγχέων καὶ ἑνὶ πράγματι τὰς πάσας προσηγορίας περιτιθείς; Μὴ μέντοι μηδὲ σὺ ἅρπαγμα πρὸς τὴν ἀσέβειαν λάβῃς τὴν τῶν προσώπων διαίρεσιν. Εἰ γὰρ καὶ δύο τῷ ἀριθμῷ, ἀλλὰ τῇ φύσει οὐ διέζευκται· οὐδὲ ὁ τὰ δύο λέγων ἀλλοτρίωσιν ἐπεισάγει. Εἷς Θεός, ὅτι καὶ Πατήρ· εἷς Θεὸς δὲ καὶ ὁ Υἱός, καὶ οὐ δύο θεοί, ἐπειδὴ ταυτότητα ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα. Οὐ γὰρ ἄλλην ἐν Πατρὶ καθορῶ θεότητα καὶ ἄλλην ἐν Υἱῷ· οὐδ' ἑτέραν φύσιν ἐκείνην καὶ ἑτέραν ταύτην. Ἵνα μὲν οὖν τρανωθῇ σοι τῶν προσώπων ἡ ἰδιότης, ἀρίθμει ἰδίᾳ Πατέρα καὶ ἰδίᾳ Υἱόν· ἵνα δὲ μὴ εἰς πολυθεΐαν ἀποσχισθῇς, μίαν ὁμολόγει ἐπ' ἀμφοῖν τὴν οὐσίαν. Οὕτω καὶ Σαβέλλιος πίπτει καὶ ὁ ἀνόμοιος συντριβήσεται.

4. Ὅταν δὲ εἴπω μίαν οὐσίαν, μὴ δύο ἐξ ἑνὸς μερισθέντα νόει, ἀλλ' ἐκ τῆς ἀρχῆς τοῦ Πατρὸς τὸν Υἱὸν ὑποστάντα, οὐ Πατέρα καὶ Υἱὸν ἐκ μιᾶς οὐσίας ὑπερκειμένης. Οὐ γὰρ ἀδελφὰ λέγομεν, ἀλλὰ Πατέρα καὶ Υἱὸν ὁμολογοῦμεν. Τὸ δὲ τῆς οὐσίας ταὐτόν, ἐπειδὴ ἐκ τοῦ Πατρὸς ὁ Υἱός, οὐ προστάγματι ποιηθείς, ἀλλ' ἐκ τῆς φύσεως γεννηθείς· οὐκ ἀπομερισθεὶς τοῦ Πατρός, ἀλλὰ μένοντος τελείου τέλειος

1. Κολ. 1,15. 2. Πρβλ. Ἰω. 5,18. 3. Φιλιπ. 2,6. 4. Πρβλ. Ἰω. 14,16.

ἀπολάμψας. Καὶ μή μοι περιδραμόντες, ὅσοι ἢ μὴ τελείως τοῖς λεγομένοις ἠκολουθήσατε, ἢ πρὸς ἐπήρειαν ἡμᾶς περιεστήκατε, οὐ λαβεῖν τι παρ' ἡμῶν ὠφέλιμον ἐπιζητοῦντες, ἀλλὰ λαβέσθαι τινὸς τῶν λεγομένων ἐπιτηροῦντες, εἴπητε· δύο θεούς κηρύσσει, πολυθεΐαν καταγγέλλει. Οὐ δύο θεοί· οὐδὲ γὰρ δύο πατέρες. Ὁ μὲν ἀρχὰς εἰσάγων δύο, δύο κηρύττει θεούς. Τοιοῦτος δέ ἐστι Μαρκίων καὶ εἴ τις ἐκείνῳ τὴν ἀσέβειαν παραπλήσιος. Καὶ πάλιν ὁ ἑτερούσιον λέγων τὸν γεγεννημένον πρὸς τὸν γεννήσαντα δύο καὶ οὗτος λέγει θεούς, διὰ τὴν τῆς οὐσίας ἀνομοιότητα τὸ πολύθεον παρεισάγων. Εἰ γὰρ μία μὲν θεότης ἀγέννητος, μία δὲ γεννητή, σὺ εἰ ὁ τὴν πολυθεΐαν κηρύσσων, ἐναντίον μὲν λέγων εἶναι τὸ ἀγέννητον τῷ γεννητῷ, ἐναντίας δὲ δηλονότι καὶ τὰς οὐσίας τιθέμενος· εἴπερ οὐσία μὲν τοῦ Πατρὸς ἡ ἀγεννησία, οὐσία δὲ τοῦ Υἱοῦ ἡ γέννησις. Ὥστε οὐ δύο μόνον θεούς, ἀλλὰ καὶ μαχομένους ἀλλήλοις λέγεις· καὶ τὸ δεινότατον, οὐ προαιρέσει διδοὺς τὴν μάχην, ἀλλὰ φυσικῇ διαστάσει, μηδέποτε ἐλθεῖν εἰς εἰρηνικὴν σύμβασιν δυναμένῃ. Ἀλλ' ὁ τῆς ἀληθείας λόγος ἑκατέρωθεν τὰ ἐναντιώματα διαπέφευγε. Ὅπου γὰρ μία μὲν ἡ ἀρχή, ἓν δὲ τὸ ἐξ αὐτῆς καὶ ἓν μὲν τὸ ἀρχέτυ**[608]**πον, μία δὲ ἡ εἰκών, ὁ τῆς ἑνότητος λόγος οὐ διαφθείρεται. Διότι γεννητῶς ὑπάρχων ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς καὶ φυσικῶς ἐκτυπῶν ἐν ἑαυτῷ τὸν Πατέρα, ὡς μὲν εἰκὼν τὸ ἀπαράλλακτον ἔχει, ὡς δὲ γέννημα τὸ ὁμοούσιον διασῴζει. Οὐδὲ γὰρ ὁ κατὰ τὴν ἀγορὰν τῇ βασιλικῇ εἰκόνι ἐνατενίζων καὶ βασιλέα λέγων τὸν ἐν τῷ πίνακι, δύο βασιλέας ὁμολογεῖ, τήν τε εἰκόνα καὶ τὸν οὗ ἔστιν ἡ εἰκών. Οὔτε, ἐάν, δείξας τὸν ἐν τῷ πίνακι γεγραμμένον, εἴπῃ· οὗτός ἐστιν ὁ βασιλεύς, ἀπεστέρησε τὸ πρωτότυπον τῆς τοῦ βασιλέως προσηγορίας. Μᾶλλον μὲν οὖν ἐκείνῳ τὴν τιμὴν ἐβεβαίωσε διὰ τῆς τούτου ὁμολογίας. Εἰ γὰρ ἡ εἰκὼν βασιλεύς, πολλῷ δήπου εἰκὸς βασιλέα εἶναι τὸν τῇ εἰκόνι παρασχόμενον τὴν αἰτίαν. Ἀλλ' ἐνταῦθα μὲν ξύλα καὶ κηρὸς καὶ ζωγράφου τέχνη τὴν εἰκόνα ποιεῖ φθαρτήν, φθαρτοῦ μίμημα καὶ τεχνητὴν τοῦ ποιηθέντος· ἐκεῖ δέ, ὅταν ἀκούσῃς εἰκόνα, «ἀπαύγασμα» νόει «τῆς δόξης». Τί δὲ τὸ ἀπαύγασμα καὶ τίς ἡ δόξα; Αὐτὸς εὐθὺς ἡρμήνευσεν ὁ ἀπόστολος ἐπάγων· «καὶ χαρακτὴρ τῆς ὑποστάσεως»[1]. Ταὐτὸν οὖν ἐστι τῇ δόξῃ μὲν ἡ ὑπόστασις, τῷ ἀπαυγάσματι δὲ ὁ χαρακτήρ. Ὥστε, τελείας μενούσης καὶ μηδὲν μειουμένης τῆς δόξης, τέλειον πρόεισι τὸ ἀπαύγασμα. Καὶ οὕτως ὁ τῆς εἰκόνος λόγος, θεοπρεπῶς παραδεχθείς, τὴν ἑνότητα ἡμῖν παρίστησι τῆς θεότητος. Οὗτος γὰρ ἐν ἐκείνῳ, κακεῖνος ἐν τούτῳ. Ὅτι καὶ οὗτος τοιοῦτός ἐστιν, οἷος ἐκεῖνος· κἀκεῖνος, οἷος οὗτος. Οὕτως ἑνοῦται τὰ δύο, τῷ μὴ διαλλάττειν, μηδὲ καθ' ἕτερον εἶδος καὶ ξένον χαρακτῆρα νοεῖσθαι τὸν Υἱόν. Πάλιν οὖν λέγω· εἷς καὶ εἷς, ἀλλ' ἡ φύσις ἀμέριστος καὶ ἡ τελειότης ἀνελλιπής. Εἷς οὖν Θεός, ἐπειδὴ δι' ἀμφοτέρων ἓν εἶδος θεωρεῖται ὁλο-

1. Ἑβρ. 1,3.

κλήρως ἐν ἀμφοτέροις δεικνύμενον. Ἀλλὰ γὰρ πάλαι ὁρῶ δυσανασχετοῦντας ὑμᾶς πρὸς τὸν λόγον καὶ μονονουχὶ ἀκούειν δοκῶ, ὅτι τοῖς ὁμολογουμένοις ἐνδιατρίβων, τῶν πολυθρυλλήτων ζητημάτων οὐχ ἅπτομαι. Πᾶσα γὰρ ἀκοὴ νῦν πρὸς τὴν ἀκρόασιν τῶν λόγων τῶν περὶ τοῦ Ἁγίου Πνεύματος ἀνηρέθισται. Ἐγὼ δὲ μάλιστα ἠβουλόμην, ὡς παρέλαβον ἁπλοϊκῶς, ὡς συνεθέμην ἀνεπιτηδεύτως, οὕτω παραδιδόναι τοῖς ἀκούουσι· μὴ ἀεὶ περὶ τῶν αὐτῶν ἀπαιτούμενος τὰς εὐθύνας, ἀλλ' ἐκ μιᾶς ὁμολογίας πεπεισμένους ἔχων τοὺς διδαχθέντας. Ἐπειδὴ δὲ περιεστήκατε ἡμᾶς, δικασταὶ μᾶλλον **[609]** ἢ μαθηταί, ἡμᾶς δοκιμάσαι βουλόμενοι, οὐκ αὐτοί τι λαβεῖν ἐπιζητοῦντες· ἀνάγκη ἡμᾶς ὥσπερ ἐν δικαστηρίῳ τὴν ἀντιλογίαν προτείνεσθαι καὶ ἀεὶ μὲν ἀνακρίνεσθαι, ἀεὶ δὲ λέγειν ἃ παρειλήφαμεν. Ὑμᾶς δὲ παρακαλοῦμεν μὴ ἐκ παντὸς τρόπου ζητεῖν τὸ ὑμῖν ἀρέσκον παρ' ἡμῶν ἀκοῦσαι, ἀλλ' ὃ τῷ Κυρίῳ εὐάρεστόν ἐστι καὶ σύμφωνον ταῖς Γραφαῖς καὶ μὴ μαχόμενον τοῖς Πατράσιν. Ἃ τοίνυν ἐλέγομεν περὶ τοῦ Υἱοῦ, ὅτι δεῖ ὁμολογεῖν ἴδιον αὐτοῦ πρόσωπον, ταῦτ' ἔχομεν λέγειν καὶ περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου. Οὐ γὰρ ταὐτόν ἐστι τῷ Πατρὶ τὸ Πνεῦμα, διὰ τὸ γεγράφθαι, ὅτι «Πνεῦμα ὁ Θεός»[1]. Οὐδὲ πάλιν Υἱοῦ καὶ Πνεύματος ἓν πρόσωπόν ἐστιν, ἐπειδὴ εἴρηται· «εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ[2]· ὁ δὲ Χριστὸς ἐν ὑμῖν»[3]. Ἐντεῦθεν γὰρ ἠπατήθησάν τινες Πνεῦμα καὶ Χριστὸν τὸν αὐτὸν εἶναι. Ἀλλὰ τί φαμεν; Ὅτι τὸ τῆς φύσεως οἰκεῖον ἐντεῦθεν ἐμφαίνεται, οὐχὶ προσώπων σύγχυσις. Ἔστι μὲν γὰρ ὁ Πατήρ, τέλειον ἔχων τὸ εἶναι καὶ ἀνενδεές, ῥίζα καὶ πηγὴ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος· ἔστι δὲ ὁ Υἱὸς ἐν πλήρει θεότητι ζῶν Λόγος καὶ γέννημα τοῦ Πατρὸς ἀνενδεές· πλῆρες δὲ καὶ τὸ Πνεῦμα, οὐ μέρος ἑτέρου, ἀλλὰ τέλειον καὶ ὁλόκληρον ἐφ' ἑαυτοῦ θεωρούμενον. Καὶ συνῆπται μὲν ὁ Υἱὸς τῷ Πατρὶ ἀδιαστάτως· συνῆπται δὲ τῷ Υἱῷ τὸ Πνεῦμα. Τὸ γὰρ διορίζον οὐκ ἔστιν, οὐδὲ τὸ διατέμνον τὴν ἐξ ἀιδίου συνάφειαν. Αἰὼν γὰρ οὐδεὶς μεταξὺ παρεμπίπτει· οὐδὲ μὴν δέχεται ἡ ψυχὴ ἡμῶν ἐπίνοιαν χωρισμοῦ, ὡς ἡ τοῦ Μονογενοῦς μὴ συνόντος ἀεὶ τῷ Πατρί, ἢ τοῦ Ἁγίου Πνεύματος μὴ συνυπάρχοντος τῷ Υἱῷ.

5. Ὅταν οὖν ποτε συνάψωμεν τὴν Τριάδα, μὴ ὡς ἑνὸς πράγματος ἀδιαιρέτου μέρη φαντάζου τὰ τρία (δυσσεβὴς γὰρ ὁ λογισμός), ἀλλὰ τριῶν ἀσωμάτων τελείων ἀχώριστον δέχου τὴν συνουσίαν. Ὅπου γὰρ Ἁγίου Πνεύματος παρουσία, ἐκεῖ καὶ Χριστοῦ ἐπιδημία· ὅπου δὲ Χριστός, ἐκεῖ καὶ ὁ Πατὴρ πάρεστι δηλονότι. «Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστι;»[4]. Καί, «εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός»[5]. Ἁγιαζόμενοι οὖν διὰ τοῦ Πνεύματος, δεχόμεθα τὸν Χριστὸν κατοικοῦντα ἡμῶν

1. Ἰω. 4,24. 2. Ρωμ. 8,9. 3. Πρβλ. Ρωμ. 8,10. 4. Α' Κορ. 6,19. 5. Α' Κορ. 3,17.

εἰς τὸν ἔσω ἄνθρωπον καὶ μετὰ τοῦ Χριστοῦ τὸν Πατέρα, κοινὴν ποιούμενον τὴν μονὴν παρὰ τοῖς ἁξίοις. Ταύτην δὲ τὴν συνάφειαν δηλοῖ καὶ ἡ παράδοσις τοῦ βαπτίσματος καὶ ἡ ὁμολογία τῆς πίστεως. Εἰ γὰρ ἀλλότριον ἦν τῇ φύσει, πῶς συνηριθμεῖτο τὸ Πνεῦμα; Καὶ εἰ χρόνοις ὕστερον προσγενόμενον Πατρὶ καὶ Υἱῷ, πῶς τῇ ἀιδίῳ συνετάσσετο φύσει; Οἱ δὲ χωρίζοντες Πατρὸς καὶ Υἱοῦ καὶ τῇ κτίσει συναριθμοῦντες τὸ Πνεῦμα ἀτελὲς μὲν ποιοῦσι τὸ βάπτισμα ἐλλιπῆ δὲ τὴν ὁμολογίαν τῆς πίστεως. Οὔτε γὰρ ἡ **[612]** Τριὰς μένει Τριάς, ὑφαιρουμένου τοῦ Πνεύματος. Καὶ εἴ ἕν τι πάλιν ἀπὸ τῆς κτίσεως προσαφθείη, πᾶσα ἡ κτίσις συνεισελεύσεται εἰς τὴν τοῦ Πατρὸς καὶ Υἱοῦ συναρίθμησιν. Τί γὰρ κωλύει λέγειν· πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ εἰς πᾶσαν τὴν κτίσιν; Εἰ γὰρ εὐσεβὲς τὸ πιστεύειν εἰς μέρος τῆς κτίσεως, πολλῷ δήπου σεμνότερον τὸ πᾶσαν τὴν κτίσιν εἰς τὴν ὁμολογίαν παραλαμβάνειν. Πιστεύων δὲ εἰς πᾶσαν τὴν κτίσιν, οὐκ εἰς ἀγγέλους πιστεύεις μόνον καὶ τὰ λειτουργικὰ πνεύματα, ἀλλὰ καὶ εἴ τινες ἀντικείμεναι δυνάμεις εἰσίν, ἐπειδὴ καὶ αὗταί μέρος εἰσὶ τῆς κτίσεως καὶ ταύταις συνθήσῃ κατὰ τὴν πίστιν. Οὕτως ἡ κατὰ τοῦ Πνεύματος βλασφημία εἰς δυσσεβεῖς καὶ ἀθεμίτους περιάγει σε λόγους. Ὁμοῦ τε γὰρ εἶπας ἃ μὴ δεῖ περὶ τοῦ Πνεύματος καὶ ἐπεσήμηνέ σοι ἡ τοῦ Πνεύματος ἐγκατάλειψις. Ὡς γὰρ ὁ ἐπιμύσας τοὺς ὀφθαλμοὺς οἰκεῖον ἔχει τὸ σκότος, οὕτως ὁ ἀναχωρήσας τοῦ Πνεύματος, ἔξω γενόμενος τοῦ φωτίζοντος, ὑπὸ τῆς κατὰ ψυχὴν ἀορασίας συγκέχυται.

6. Ἀλλὰ μὴ χωρίσῃς Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον, δυσωπείτω σε ἡ παράδοσις. Ὁ Κύριος οὕτως ἐδίδαξεν, ἀπόστολοι ἐκήρυξαν, Πατέρες διετήρησαν, μάρτυρες ἐβεβαίωσαν. Ἀρκέσθητι λέγειν ὡς ἐδιδάχθης καὶ μή μοι τὰ σοφὰ ταῦτα· ἀγέννητόν ἐστιν, ἢ γεννητόν. Εἰ μὲν γὰρ ἀγέννητον, Πατήρ· εἰ δὲ γεννητόν, Υἱός· εἰ δὲ μηδ' ἕτερον τούτων, κτίσμα. Ἐγὼ δὲ μετὰ Πατρὸς μὲν οἶδα, οὐχὶ δὲ Πατέρα τὸ Πνεῦμα· καὶ μετὰ Υἱοῦ παρέλαβον, οὐχὶ δὲ Υἱὸν ὠνομασμένον. Ἀλλὰ τὴν μὲν πρὸς Πατέρα οἰκειότητα νοῶ, ἐπειδὴ ἐκ Πατρὸς ἐκπορεύεται· τὴν πρὸς Υἱὸν δέ, ἐπειδὴ ἀκούω· «εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ»[1]. Εἰ γὰρ μὴ οἰκεῖον Χριστοῦ, πῶς οἰκειοῖ τῷ Χριστῷ; Ἀλλὰ καὶ «Πνεῦμα» ἀκούω «τῆς ἀληθείας»[2]. Ἀλήθεια δὲ ὁ Κύριος[3]. Ὅταν δὲ ἀκούω «Πνεῦμα υἱοθεσίας»[4], εἰς ἔννοιαν ἔρχομαι τῆς πρὸς Υἱὸν καὶ Πατέρα κατὰ τὴν φύσιν ἑνότητος. Πῶς γὰρ υἱοθετεῖ τὸ ξένον; πῶς δὲ οἰκειοῖ τὸ ἀλλότριον; Οὕτω μὲν οὖν οὔτε καινοτομῶ ῥήματα, οὔτε ἀθετῶ τὴν ἀξίαν· τοὺς δὲ τολμῶντας κτίσμα προσαγορεύειν στενάζω καὶ ὀδύρομαι, ὅτι διὰ μικροῦ σοφίσματος καὶ κιβδήλου παραλογισμοῦ ἑαυτοὺς ὠθοῦσιν ἐπὶ τὸ βάραθρον. Ἐπειδὴ γάρ, φησί, τρία ταῦτα ὁ νοῦς ἡμῶν κατείληφε καὶ οὐδέν ἐστιν ἐν τοῖς οὖσιν ὁ μὴ ὑπὸ τὴν διαίρεσιν ταύτην ἔρχεται τῶν ὄντων. Ἢ γὰρ ἀγέννητον,

1. Ρωμ. 8,9. 2. Ἰω. 14,17. 3. Πρβλ. Ἰω. 14,6. 4. Ρωμ. 8,15.

φησίν, ἐστίν, ἢ γεννητόν, ἢ κτιστόν· ἀλλὰ μὴν οὔτε τὸ πρῶτον, οὔτε τὸ δεύτερον, τὸ τρίτον ἄρα. Τοῦτο ὑμῶν τὸ ἄρα τῇ αἰω**[613]**νίῳ ἀρᾷ ὑποδίκους ὑμᾶς καταστήσει. Πάντα ἐξηρεύνησας; πάντα τοῖς σεαυτοῦ λογισμοῖς ὑπὸ διαίρεσιν ἤγαγες; οὐδὲν ἀνεξέταστον κατέλιπες; πάντα τῷ νῷ περιέλαβες; πάντα τῇ σεαυτοῦ καταλήψει συνέκλεισας; οἶδας τὰ ὑπὸ γῆν; οἶδας τὰ ἐν τῷ βυθῷ; Δαιμόνων ἀλαζονεῖαι.

Οἶδα ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσηςα.

Εἰ δὲ πολλὰ ἀγνοεῖς καὶ μυριοπλάσια τῶν ἐγνωσμένων ἐστὶ τὰ ἀγνοούμενα, τί οὐχὶ μετὰ πάντων καὶ περὶ τοῦ τρόπου τῆς ὑπάρξεως τοῦ Ἁγίου Πνεύματος τὴν ἀκίνδυνον ἄγνοιαν ἀνεπαισχύντως ὁμολογεῖς; Ἐγὼ δὲ σχολὴν μὲν οὐκ ἄγω ἐλέγχειν τῶν λογισμῶν σου τὴν ματαιότητα, οὐδὲ δεικνύναι πόσα ἐν τοῖς οὖσι τὴν κατάληψίν σου τῶν λογισμῶν διαπέφευγεν· ἐκεῖνο δ' ἂν ἡδέως τοὺς ἐφ' ὑμῶν ἐρωτήσαιμι καὶ διορίζομαι πεποιθότως, ὅτι μεταμελήσει σοί ποτε τῆς ἀθέου ταύτης σοφίας, κτίσμα λέγοντι τὸ Πνεῦμα τὸ Ἅγιον. Οὐ φοβῇ τὴν ἀσυγχώρητον ἁμαρτίαν[1]; Ἢ τίποτε οἴει δυσσεβέστερον τούτου δύνασθαι βλασφημεῖν; Ἐκ γὰρ μιᾶς ταύτης φωνῆς πάντα ἐνέστη τὰ δεινότατα· ἀλλοτρίωσις ἀπὸ Θεοῦ κατ' αὐτὴν τὴν φύσιν, δουλείας ταπείνωσις, διακονίαι λειτουργικαί, ἁγιασμοῦ στέρησις, τοῦ κατὰ φύσιν οὐ προσόντος καὶ περιστήσεται τῷ Πνεύματι, οὕτω μετέχειν ἁγιασμοῦ ἐκ τῆς κατὰ χάριν διανομῆς, ὡς καὶ τὰ λοιπὰ ἔχει ὅσα ἡγίασται. Καὶ ὥσπερ «δίδοται» ἡμῖν «ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον»[2] καὶ ὡς ἐπιμετρεῖται ἑκάστῳ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, οὕτως ἔσται καὶ τὸ Πνεῦμα τοῦ ἁγιασμοῦ μετέχον, εἴπερ ὄντως κτιστὸν κατὰ τὴν πνευματομάχων ὑπόληψιν.

7. Ἀλλὰ γὰρ μὴ συγχωρήσωμεν τὴν ἄνοιαν αὐτῶν ἀνέλεγκτον, τῶν οἰομένων πάντα τῇ ἑαυτῶν διανοίᾳ κατειληφέναι. Ἀποκρινάσθωσαν τοίνυν ἡμῖν. Τί ποτε ἄρα ἡ τοῦ αἰσθητοῦ ἡλίου οὐσία; Πότερον ἕν τι τῶν τεσσάρων ἐστίν, ἢ σύνθετός ἐστιν ἐκ τῶν τεσσάρων; Ἀλλὰ μὴν οὔτε γῆ ἐστιν, οὔτε ἀήρ, οὔτε ὕδωρ ἐστίν, οὔτε πῦρ. Ταῦτα γὰρ ἐπ' εὐθείας κινεῖται· τὰ μὲν ἄνω φερόμενα, τὰ δὲ κάτω. Γῇ μὲν γὰρ καὶ ὕδωρ, κατωφερῆ ἐστι διὰ τὸ βάρος· ἀὴρ δὲ καὶ πῦρ τὴν ἄνω φορὰν κινεῖται διὰ κουφότητα· τοῦ δὲ ἡλίου κυκλοφορικὴ ἐστιν ἡ κίνησις. Οὐ τοίνυν ἐστὶν ἓν τῶν τεσσάρων. Ἀλλὰ μὴν οὐδὲ σύνθετός ἐστιν ἐκ τούτων· διότι τὰ σύνθετα καμάτῳ συνέχεται, ἐκ μὲν τῶν ἐναντίων τὴν σύστασιν ἔχοντα, ἀντισπώντων δὲ ἀλλήλοις τῶν ἐναντίων κατὰ τὴν κίνησιν. Ἀκάματος δὲ τοῦ ἡλίου κίνησις, διὰ τοῦτο **[616]** καὶ ἄπαυστος. Ὥστε οὐ σύνθετος. Ἀλλὰ μὴν ἐν τοῖς σώμασιν ἢ ἁπλοῦν τί ἐστιν, ἢ σύνθετον. Οὔτε δὲ ἁπλοῦν σῶμα ὁ ἥλιος· οὐ γὰρ

1. Πρβλ. Ματθ. 12,32. 2. Α' Κορ. 12,7.

α. Πυθικὸς χρησμός. Ἡροδοτ., Κλειὼ 1,47.

ἐπ' εὐθείας κινεῖται· οὔτε σύνθετον· οὐ γὰρ κάμνει κινούμενος. Οὐκ ἄρα ἐστὶν ὁ ἥλιος. Τοιαῦται ὑμῶν αἱ σοφαὶ διαιρέσεις, ὑπὸ τῶν ὀφθαλμοὺς ἐχόντων καταγελώμεναι. Πάλιν πῶς ὁρῶμεν οἱ ἄνθρωποι; Πότερον εἰσδεχόμενοι τοὺς τύπους τῶν ὁρατῶν, ἢ ἀφιέντες δύναμιν ἐξ αὐτῶν; Ἀλλὰ μὴν οὔτε δεχόμεθα τῶν ὁρατῶν τὰς εἰκόνας (πῶς γὰρ τὸ ἡμισφαίριον τοῦ οὐρανοῦ τῷ μικρῷ πόρῳ τῆς κόρης ἐμφαίνεται;), οὔτε μὴν ἀφιεμέν τι παρ' ἑαυτῶν· (πῶς γὰρ πάλιν τὸ ἐκπεμπόμενον ἐξαρκεῖ τῷ οὐρανῷ ἐφαπλοῦσθαι;). Εἰ δὲ μήτε δεχόμεθα τῶν ὁρατῶν τὰς εἰκόνας, μήτε τινὰ δύναμιν ἐξ αὐτῶν ἀποπέμπομεν, οὐκ ἄρα ὁρῶμεν. Τί οὖν; ἐλέγξω ὑμῶν τοὺς συλλογισμούς, ἢ ἐπεύξομαι ὑμῖν ἀληθῆ εἶναι τὰ συμπεράσματα; Τί διαφέρει τῶν τοιούτων λόγων καὶ ἡ περὶ τοῦ Πνεύματος ὑμῶν τεχνολογία, ἣν γυναικαρίοις ἀθλίοις, ἢ τοῖς γείτοσι τῶν γυναικῶν εὐνούχοις ἐνεπιδείκνυσθε; Μὴ δὴ ἐπηρεαστικῶς ἄκουε. Εἰ ἐκ τοῦ Θεοῦ τὸ Πνεῦμα, πῶς ὑπὸ τὴν κτίσιν ἄγεις; Οὐ γὰρ δὴ ἐκεῖνο ἐρεῖς, ὅτι καὶ τὰ πάντα ἐκ τοῦ Θεοῦ. Ὥσπερ γὰρ ὁ Χριστὸς Θεοῦ λέγεται, οὐχὶ δὲ κτίσμα ὡς καὶ ἡμεῖς («ἡμεῖς γὰρ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ»[1]), ἀλλ' ἄλλως μὲν ἡμεῖς Χριστοῦ λεγόμεθα, ὡς δοῦλοι Δεσπότου· ἄλλως δὲ Χριστὸς Θεοῦ λέγεται, ὡς Υἱὸς τοῦ Πατρός· οὕτω καὶ τὸ Πνεῦμα, οὐκ ἐπειδὴ τὰ πάντα ἐκ τοῦ Θεοῦ καὶ αὐτὸ ὡς τὰ πάντα. Οὐ γὰρ ἐπειδὴ καὶ τὰ λειτουργικὰ πνεύματα[2], ἤδη καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ὅμοιον αὐτοῖς διὰ τὴν προσηγορίαν. Ἕν γάρ ἐστι τὸ ἀληθινῶς Πνεῦμα. Ὡς γὰρ πολλοὶ μὲν υἱοί, εἷς δὲ ὁ ἀληθινὸς Υἱός· οὕτω κἂν πάντα λέγηται ἐκ τοῦ Θεοῦ, ἀλλὰ κυρίως ὁ Υἱὸς ἐκ τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ. Ἐπειδὴ καὶ ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς ἐξῆλθε καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται. Ἀλλ' ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἀρρήτως ἐκ τοῦ Θεοῦ. Ὅρα οὖν ἡλίκος ὁ κίνδυνος κατασμικρύνειν τὴν δόξαν τοῦ Παρακλήτου. Οὐ δέχεται τὴν εἰς αὐτὸν τιμὴν ὁ Υἱός, ἀθετουμένου τοῦ Πνεύματος. «Ἐκεῖνος» γάρ, φησίν, «ἐμὲ δοξάσει»[3], οὐχ ὡς δοῦλος μετὰ τῆς κτίσεως. Εἰ γὰρ μετὰ πάντων ἐδόξαζεν, οὐκ ἂν ἐρρήθη «Ἐκεῖνος». Νῦν δὲ ἡ ἐπὶ τὸ ἓν ἀναφορὰ τὴν καθ' ὑπεροχὴν τῶν ἄλλων προσαγομένην δόξαν παρίστησιν. Οὐ γὰρ ὡς οἱ λέγοντες· «Δόξα ἐν ὑψίστοις Θεῷ»[4]· ἀλλ' ὡς ὁ εἰπών· Πάτερ, ἐδόξασά σε, τὸ ἔργον δ ἔδωκας ἐτελείωσα[5]. Καὶ ὡς ὁ Πατὴρ δοξάζει τὸν Υἱόν, λέγων· «καὶ ἐδόξασά» σε, «καὶ πάλιν δοξάσω»[6]· οὕτω καὶ ὁ Υἱὸς τὸ Πνεῦμα εἰς τὴν ἑαυτοῦ καὶ Πατρὸς κοινωνίαν παραλαμβάνει. Ἤ δειξάτω μοί τις μείζονα ταύτης δόξαν καὶ πάντα δίδωμι ἀληθεύειν τοὺς ἀντιλέγοντας. «Ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ»[7]. Διὰ τί; Διὰ τὸ Πνεῦμα τὸ ἐνοικοῦν ἐν αὐτοῖς δηλονότι. Ὥστε **[617]** ὁ μὴ τιμῶν τὸ Πνεῦμα οὐ τιμᾷ τὸν Υἱόν· «ὁ» δὲ «μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα»[8].

---

1. Α' Κορ. 3,23. 2. Πρβλ. Ἑβρ. 1,14. 3. Ἰω. 16,14. 4. Λουκ. 2,14. 5. Πρβλ. Ἰω. 17,4. 6. Ἰω. 12,28. 7. Λουκ. 10,16. 8. Ἰω. 5,23.

Οὕτως ἄρα ἡ περὶ ἕν τι τῶν πιστευομένων ἀγνωμοσύνη ὅλης ἐστὶ τῆς θεότητος ἄρνησις. Εἰ κτιστόν ἐστι τὸ Πνεῦμα, οὐ θεῖον. Ἀλλὰ μὴν «Πνεῦμα», φησί, «θεῖον τὸ ποιῆσάν με»[1]. Καὶ «ἐνέπλησε», φησίν, ὁ Θεὸς τὸν Βεσελεὴλ «Πνεῦμα θεῖον σοφίας καὶ συνέσεως»[2]. Ποῦ τοίνυν εὑρίσκεις προσεγγίζον τὸ θεῖον; τῇ κτίσει, ἢ τῇ θεότητι; Εἰ μὲν γὰρ τῇ κτίσει καὶ τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κτίσμα ἐρεῖς· γέγραπται γὰρ περὶ αὐτοῦ· «ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης»[3]. Εἰ δὲ τῇ θεότητι, παυσάμενος τῆς βλασφημίας, ἐπίγνωθι τοῦ Πνεύματος τὴν ἀξίαν. Οὕτως ἀσύνετος εἶ, ὡς μηδ' ὑπ' αὐτῆς προσάγεσθαι τῆς φωνῆς εἰς τὰς ἀξίας ἐννοίας τοῦ Πνεύματος.

1. Ἰωβ 33,4. 2. Ἐξ. 35,31. 3. Ρωμ. 1,20.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ *

[1457] 1. Χριστοῦ γέννησις ἡ μὲν οἰκεία καὶ πρώτη καὶ ἰδία αὐτοῦ τῆς θεότητος σιωπῇ τιμάσθω· μᾶλλον δὲ καὶ ταῖς ἐννοίαις ἡμῶν μὴ ζητεῖν ἐκεῖνα μηδὲ πολυπραγμονεῖν ἐπιτάξωμεν. Ὅπου γὰρ οὐ χρόνος, οὐκ αἰὼν ἐμεσίτευσεν, οὐ τρόπος ἐπινενόηται, οὐ θεατὴς παρῆν, οὐχ ὁ διηγούμενός ἐστι, πῶς φαντασθῇ ὁ νοῦς; πῶς δὲ ὑπηρετήσει ταῖς διανοίαις ἡ γλῶσσα; Ἀλλὰ Πατὴρ ἦν, καὶ Υἱὸς ἐγεννήθη. Μὴ εἴπῃς, Πότε; ἀλλὰ παράδραμε τὸ ἐπερώτημα. Μὴ ἐπιζητήσῃς, Πῶς; ἀδύνατος γὰρ ἡ ἀπόκρισις. Τὸ μὲν γάρ, πότε, χρονικόν· τὸ δέ, πῶς, ὅλισθον ἐμποιεῖ πρὸς τοὺς σωματικοὺς τῆς γεννήσεως τρόπους. Ἔχω εἰπεῖν ἀπὸ τῆς Γραφῆς, ὅτι ὡς ἀπαύγασμα ἀπὸ τῆς δόξης[1], καὶ ὡς εἰκὼν[2] ἀπὸ τοῦ πρωτοτύπου. Ἀλλ' ὅμως ἐπειδὴ οὐχ ἱστησί σου τὴν πολυπραγμοσύνην τῶν λογισμῶν ὁ τοιοῦτος λόγος τῆς ἀποκρίσεως, ἐπὶ τὸ ἄρρητον καταφεύγω τῆς δόξης καὶ ὁμολογῶ ἀνεπινόητον εἶναι λογισμοῖς **[1460]** καὶ ἄφατον ῥήμασιν ἀνθρωπίνοις τὸν τρόπον τῆς θείας γεννήσεως. Μὴ λέγε· Εἰ ἐγεννήθη, οὐκ ἦν· μηδὲ συνάρπαζε κακουργίᾳ ῥημάτων διανοίας ἀπειροκάλους, ἐκ τῶν ὧδε παραδειγμάτων διαλυμαινόμενος τὴν ἀλήθειαν καὶ τὴν θεολογίαν καταρρυπαίνων. «Ἐγεννήθη», εἶπον, ἵνα τὴν ἀρχὴν αὐτοῦ καὶ τὸν αἴτιον ἀποδείξω, οὐχ ἵνα χρόνου ὕστερον τὸν Μονογενῆ ἀπελέγξω. Σοῦ δὲ μὴ κενεμβατείτω ὁ νοῦς, εἰς αἰῶνας ὑπερβαίνων πρεσβυτέρους τοῦ Υἱοῦ, τοὺς οὔτε ὄντας, οὔτε γενομένους. Πῶς γὰρ πρεσβύτερα δύναται εἶναι τὰ ποιήματα τοῦ πεποιηκότος αὐτά; Ἀλλὰ γὰρ ἔλαθον, ὃ ἀπέφυγον, εἰς τοῦτο αὐτομάτως ἐκ τῆς τοῦ λόγου ἀκολουθίας συνενεχθείς. Καταλείπωμεν οὖν τοὺς λόγους τοὺς περὶ τῆς ἀϊδίου ἐκείνης καὶ ἀρρήτου γεννήσεως, ἐκεῖνο ἐνθυμηθέντες, ὅτι ὁ μὲν νοῦς τῶν πραγμάτων ἐλάττων, ὁ δὲ λόγος τῶν νοουμένων πάλιν καταδεέστερος.

2. Σκοπεῖν οὖν χρὴ ὁπόσον τί ἐστι τὸ ἀπὸ τῆς ἀληθείας ἐπὶ τὸν λόγον ἀπόπτωμα· εἴπερ ὁ μὲν νοῦς προσβῆναι τῇ φύσει τῶν ἀκαταλήπτων ἀδυνατεῖ, λόγου δὲ φύσιν τοῖς ὁπωσοῦν νοηθεῖσιν εὑρεῖν παρισουμένην ἀμήχανον. Θεὸς ἐπὶ γῆς, Θεὸς ἐν ἀνθρώποις, οὐ διὰ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus Series Graeca τ. 31 στ. 1457-1473. Διαλαμβάνομεν τὸ ἔργον τοῦτο εἰς τὰ γνήσια ἔργα τοῦ Μ. Βασιλείου συμφώνως καὶ πρὸς τὴν γνώμην τοῦ εἰδικοῦ ἐρευνητοῦ τοῦ Μ. Βασιλείου Rev. Amand de Mendieta, παρ' ὅτι ὑπὸ τῆς πλειονότητος τῶν συγχρόνων ἐρευνητῶν θεωρεῖται ὡς ἀμφιβαλλόμενον.

1. Ἑβρ. 1,3. 2. Β' Κορ. 4,4. Κολ. 1,15.

πυρὸς καὶ σάλπιγγος καὶ ὄρους καπνιζομένου, ἢ γνόφου καὶ θυέλλης ἐκδειματούσης τὰς ψυχὰς τῶν ἀκροωμένων νομοθετῶν, ἀλλὰ διὰ σώματος ἡμέρως καὶ προσηνῶς τοῖς ὁμογενέσι διαλεγόμενος. Θεὸς ἐν σαρκί· οὐκ ἐκ διαλειμμάτων ἐνεργῶν ὡς ἐν τοῖς προφήταις, ἀλλὰ συμφυῆ ἑαυτῷ τὴν ἀνθρωπότητα καὶ ἡνωμένην κατακτησάμενος καὶ διὰ τῆς συγγενοῦς ἡμῶν σαρκὸς αὐτοῦ πρὸς ἑαυτὸν ἐπανάγων πᾶσαν τὴν ἀνθρωπότητα. Πῶς οὖν δι' ἑνός, φησίν, εἰς πάντας ἦλθε τὸ λαμπτήριον; Τίνα τρόπον ἐν σαρκὶ ἡ θεότης; Ὡς τὸ πῦρ ἐν σιδήρῳ· οὐ μεταβατικῶς, ἀλλὰ μεταδοτικῶς. Οὐ γὰρ ἐκτρέχει τὸ πῦρ πρὸς τὸν σίδηρον, μένον δὲ κατὰ χώραν, μεταδίδωσιν αὐτῷ τῆς οἰκείας δυνάμεως, ὅπερ οὔτε ἐλαττοῦται τῇ μεταδόσει καὶ ὅλον πληροῖ ἑαυτοῦ τὸ μετέχον. Κατὰ τοῦτο δὴ καὶ ὁ Θεὸς Λόγος οὔτε ἐκινήθη ἐξ ἑαυτοῦ, «καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[1], οὔτε τροπὴν ὑπέμεινε, «καὶ ὁ Λόγος σὰρξ ἐγένετο»[2]· οὔτε ὁ οὐρανὸς ἔρημος ἦν τοῦ συνέχοντος, καὶ ἡ γῆ ἐν τοῖς ἰδίοις κόλποις τὸν οὐράνιον ὑπεδέχετο. Μὴ κατάπτωσιν τῆς θεότητος ἐννοήσῃς· οὐ γὰρ μεταβαίνει ἐκ τόπου εἰς τόπον ὡς τὰ σώματα· μηδὲ φαντασθῇς ἠλλοιῶσθαι τὴν θεότητα μεταβλη[1461]θεῖσαν εἰς σάρκα· ἄτρεπτον γὰρ τὸ ἀθάνατον. Πῶς οὖν, φησί, τῆς σωματικῆς ἀσθενείας ὁ Θεὸς Λόγος οὐκ ἀνεπλήσθη; Φαμέν, ὡς οὐδὲ τὸ πῦρ τῶν τοῦ σιδήρου ἰδιωμάτων μεταλαμβάνει. Μέλας ὁ σίδηρος καὶ ψυχρός· ἀλλ' ὅμως πυρακτωθεὶς τὴν τοῦ πυρὸς μορφὴν ὑποδύεται, αὐτὸς λαμπρυνόμενος, οὐχὶ μελαίνων τὸ πῦρ, καὶ αὐτὸς ἐκφλογούμενος, οὐ καταψύχων τὴν φλόγα. Οὕτω καὶ ἡ ἀνθρωπίνη τοῦ Κυρίου σάρξ, αὐτὴ μετέσχε τῆς θεότητος, οὐ τῇ θεότητι μετέδωκε τῆς οἰκείας ἀσθενείας. Ἡ οὐδὲ τῷ αἰσθητῷ τούτῳ πυρὶ ἴσον δίδωσ ἐνεργεῖν τὴν θεότητα, ἀλλὰ πάθος περὶ τὸν ἀπαθῆ ἐκ τῆς ἀνθρωπίνης ἀσθενείας φαντάζῃ, καὶ ἀπορεῖς πῶς ἡ φθαρτὴ φύσις τῇ πρὸς Θεὸν κοινωνίᾳ ἔσχε τὸ ἀκήρατον; Μάθε δὴ τὸ μυστήριον. Διὰ τοῦτο Θεὸς ἐν σαρκί, ἵν' ἐναποκτείνῃ τὸν ἐμφωλεύοντα θάνατον. Ὡς γὰρ τῶν φαρμάκων τὰ ἀλεξητήρια κατακρατεῖ τῶν φθαρτικῶν, οἰκειωθέντα τῷ σώματι, καὶ ὡς τὸ ἐνυπάρχον τῷ οἴκῳ σκότος τῇ ἐπεισαγωγῇ τοῦ φωτὸς λύεται· οὕτως ὁ ἐνδυναστεύων τῇ ἀνθρωπίνῃ φύσει θάνατος τῇ παρουσίᾳ τῆς θεότητος ἠφανίσθη. Καὶ ὡς ἐν ὕδατι πάγος, ὅσον μὲν χρόνον νύξ ἐστι καὶ σκιά, κατακρατεῖ τῶν ὑγρῶν, ἡλίου δὲ θάλποντος ὑποτήκεται τῇ ἀκτῖνι· οὕτως ἐβασίλευσε μὲν ὁ θάνατος μέχρι παρουσίας Χριστοῦ· ἐπειδὴ δὲ ἐφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος[3] καὶ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης[4], κατεπόθη ὁ θάνατος εἰς νῖκος[5], τῆς ἀληθινῆς ζωῆς τὴν ἐπιδημίαν οὐκ ἐνεγκών. Ὦ βάθος ἀγαθότητος καὶ φιλανθρωπίας Θεοῦ! Δι' ὑπερβολὴν φιλανθρωπίας πρὸς τὴν δουλείαν ἀφηνιάζομεν. Διὰ τί Θεὸς ἐν ἀνθρώποις, τὸν λόγον ἐπιζητοῦσιν ἄνθρωποι, δέον προσκυνεῖν τὴν χρηστότητα.

1. Ἰω. 1,14. 2. Ἔνθ' ἀν. 3. Τίτ. 2,11. 4. Μαλ. 3,20. 5. Α' Κορ. 15,54.

3. Τί σοι ποιήσομεν, ἄνθρωπε; Μένοντα ἐν τῷ ὕψει τὸν Θεὸν οὐκ ἐπεζήτησας, συγκαταβαίνοντά σοι καὶ διὰ σαρκὸς ὁμιλοῦντα οὐχ ὑποδέχῃ· ἀλλὰ [1464] πῶς οἰκειωθῇς τῷ Θεῷ, ἐπιζητεῖς τὴν αἰτίαν. Μάνθανε, ὅτι διὰ τοῦτο Θεὸς ἐν σαρκί, ἐπειδὴ ἔδει τὴν καταραθεῖσαν σάρκα ταύτην ἁγιασθῆναι, τὴν ἀσθενήσασαν ἐνδυναμωθῆναι, τὴν ἀλλοτριωθεῖσαν Θεοῦ, ταύτην οἰκειωθῆναι αὐτῷ, τὴν ἐκπεσοῦσαν τοῦ παραδείσου, ταύτην εἰς οὐρανοὺς ἀναχθῆναι. Καὶ τί τὸ ἐργαστήριον τῆς οἰκονομίας ταύτης; Παρθένου ἁγίας σῶμα. Τίνες δὲ ἀρχαὶ τῆς γεννήσεως; Πνεῦμα Ἅγιον καὶ δύναμις Ὑψίστου ἐπισκιάζουσα. Μᾶλλον δὲ αὐτῶν ἄκουε τῶν τοῦ Εὐαγγελίου ῥημάτων. «Μνηστευθείσης γάρ, φησί, τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου»[1]. Καὶ παρθένος καὶ μεμνηστευμένη ἀνδρί, ἐπιτηδεία πρὸς τὴν τῆς οἰκονομίας διακονίαν ἐκρίθη, ἵνα καὶ ἡ παρθενία τιμηθῇ, καὶ ὁ γάμος μὴ φαυλισθῇ. Ἡ παρθενία μὲν γὰρ ὡς ἐπιτηδεία πρὸς ἁγιασμὸν ἐξελέγη· διὰ δὲ τῆς μνηστείας αἱ ἀρχαὶ τοῦ γάμου συμπαρελήφθησαν. Ὁμοῦ δέ, ἵνα καὶ μάρτυς οἰκεῖος ᾖ τῆς καθαρότητος Μαρίας ὁ Ἰωσήφ, καὶ μὴ ἔκδοτος εἴη τοῖς συκοφάνταις ὡς τὴν παρθενίαν βεβηλώσασα, μνηστῆρα εἶχε τοῦ βίου φύλακα. Ἔχω τινὰ καὶ ἄλλον λόγον εἰπεῖν οὐδὲν ἀτιμότερον τῶν εἰρημένων, ὅτι ὁ ἐπιτήδειος πρὸς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου καιρός, πάλαι προωρισμένος καὶ προδιατεταγμένος πρὸ καταβολῆς κόσμου, τότε ἐνειστήκει, καθ' ὃν ἔδει τὸ Πνεῦμα τὸ Ἅγιον καὶ τὴν δύναμιν τοῦ Ὑψίστου τὴν θεοφόρον ἐκείνην συστήσασθαι σάρκα. Ἐπειδὴ δὲ ὁμότιμον τῆς καθαρότητος Μαρίας οὐκ εἶχεν ἡ κατ' ἐκείνην γενεὰ τῶν ἀνθρώπων, ὥστε ἐνέργειαν τοῦ Πνεύματος ὑποδέξασθαι, προκατείληπτο δὲ διὰ τῆς μνηστείας, ἐξελέγη ἡ μακαρία Παρθένος, οὐδὲν τῆς παρθενίας ἐκ τῆς μνηστείας παραβλαβείσης. Εἴρηται δὲ τῶν παλαιῶν τινι καὶ ἕτερος λόγος, ὅτι ὑπὲρ τοῦ λαθεῖν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου τὴν παρθενίαν τῆς Μαρίας ἡ τοῦ Ἰωσὴφ ἐπενοήθη μνηστεία. Οἱονεὶ γὰρ μετεωρισμὸς τῷ πονηρῷ τὸ σχῆμα τῆς μνηστείας περὶ τὴν Παρθένον ἐπενοήθη πάλαι ἐπιτηροῦντι τὰς παρθένους, ἀφ' οὗ ἤκουσε τοῦ προφήτου λέγοντος· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν»[2]. Ἀπεβουκολήθη οὖν διὰ τῆς μνηστείας ὁ ἐπίβουλος τῆς παρθενίας. Ἤδει γὰρ κατάλυσιν τῆς ἰδίας ἀρχῆς τὴν διὰ σαρκὸς ἐπιφάνειαν τοῦ Κυρίου γενησομένην.

4. «Πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου»[3]. Ἀμφότερα εὗρεν ὁ Ἰωσήφ, καὶ τὴν κύησιν, καὶ τὴν αἰτίαν, ὅτι ἐκ Πνεύματος Ἁγίου. Διό, φοβηθεὶς τοιαύτης γυναικὸς ἀνὴρ ὀνομάζεσθαι, «ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν»[4], μὴ τολμήσας δημοσιεῦσαι τὰ κατ' αὐτήν. Δίκαιος δὲ ὤν[5], ἔτυχε τῆς ἀποκαλύ-

1. Ματθ. 1,18. 2. Ἡσ. 7,14. Ματθ. 1,23. 3. Ματθ. 1,18. 4. Ματθ. 1,19. 5. Ἔνθ' ἀν.

ψεως τῶν μυστη[1465]ρίων. «Ταῦτα γὰρ αὐτοῦ ἐνθυμηθέντος, ἄγγελος Κυρίου ἐφάνη αὐτῷ κατ' ὄναρ, λέγων· Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου»[1]. Μηδ' ἐκεῖνο ἐνθυμηθῇς, ὅτι ὑπονοίαις ἀτόποις συσκιάσεις τὸ ἁμάρτημα. Δίκαιος γὰρ προσηγορεύθης· οὐ πρὸς δικαίου δὲ ἀνδρὸς σιωπῇ τὰς παρανομίας ἐπικαλύπτειν. «Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκα σου»[2]. Ἔδειξεν, ὅτι οὐκ ἠγανάκτει, οὐδὲ ἐβδελύσσετο, ἀλλ' ἐφοβεῖτο αὐτὴν ὡς Πνεύματος Ἁγίου πεπληρωμένην. «Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου»[3]. Καὶ ἐντεῦθεν δῆλον, ὅτι οὐ κατὰ τὴν κοινὴν φύσιν τῆς σαρκὸς ἡ σύστασις ἐγένετο τῷ Κυρίῳ. Εὐθὺς γὰρ τέλειον ἦν τῇ σαρκὶ τὸ κυοφορούμενον, οὐ ταῖς κατὰ μικρὸν διαπλάσεσι μορφωθέν, ὡς δηλοῖ τὰ ῥήματα. Οὐ γὰρ εἴρηται, Τὸ κυηθέν, ἀλλά, «Τὸ γεννηθέν»[4]. Ἐξ ἁγιωσύνης οὖν ἡ σὰρξ συμπαγεῖσα, ἀξία ἦν τῇ θεότητι τοῦ Μονογενοῦς ἑνωθῆναι. «Τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν»[5]. Τετηρήκαμεν, ὅτι οἷς ἐξεπίτηδες τίθενται τὰ ὀνόματα, ἔνδειξιν ἔχει τῆς ὑποκειμένης φύσεως, ὡς τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰσραήλ. Τούτων γὰρ ἑκάστου ἡ προσηγορία οὐ μᾶλλον τὸν τοῦ σώματος χαρακτῆρα ἢ τὸ ἰδίωμα τῆς κατορθουμένης ὑπ' αὐτῶν ἀρετῆς παρεδήλου. Διὰ τοῦτο καὶ νῦν Ἰησοῦς προσαγορεύεται, τουτέστι «Σωτηρία λαοῦ». Ἤδη δὲ καὶ τὸ πρὸ αἰώνων διατεταγμένον μυστήριον καὶ πάλαι διὰ τῶν προφητῶν κηρυχθέν, τὴν ἔκβασιν εἶχεν. «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον Μεθ' ἡμῶν ὁ Θεός»[6]. Πάλαι κἀκείνη ἡ προσηγορία τοῦ παντὸς μυστηρίου τὴν δήλωσιν ἔχει, ὅτι Θεὸς ἐν ἀνθρώποις, ἐπειδὴ ἑρμηνεύεται, φησί, τὸ Ἐμμανουήλ «Μεθ' ἡμῶν ὁ Θεός». Καὶ μηδεὶς περιτρεπέσθω ταῖς Ἰουδαϊκαῖς ἐπηρείαις, οἳ φασιν οὐχὶ παρθένον, ἀλλὰ νεᾶνιν εἰρῆσθαι παρὰ τοῦ προφήτου. «Ἰδοὺ γάρ, φησίν, ἡ νεᾶνις ἐν γαστρὶ λήψεται». Πρῶτον μὲν γὰρ πάντων ἐστὶν ἀλογώτατον τὸ παρὰ τοῦ Κυρίου ἀντὶ σημείου δοθέν, τοῦτο κοινὸν ὂν καὶ ὑπὸ πάσης τῆς φύσεως ὁμολογούμενον εἶναι δοκεῖν. Τί γάρ φησιν ὁ προφήτης; «Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ· Οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω Κύριον»[7]. Εἶτα μετ' ὀλίγα φησίν· «διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται»[8]. Ἐπειδὴ γὰρ οὐκ ἤτησε τὸ εἰς βάθος ἢ εἰς ὕψος σημεῖον ὁ Ἄχαζ, ἵνα μάθῃς, ὅτι ὁ καταβὰς εἰς τὰ κατώτερα μέρη τῆς γῆς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν[9], αὐτὸς ὁ Κύριος ἔδωκε σημεῖον· σημεῖον δὲ παράδοξόν τι καὶ τεραστικὸν καὶ παρὰ

1. Ματθ. 1,20. 2. Ἔνθ' ἀν. 3. Ἔνθ' ἀν. 4. Ἔνθ' ἀν. 5. Ματθ. 1,21. 6. Ματθ. 1,23. Ἡσ. 7,14. 7. Ἡσ. 7,10-12. 8. Ἡσ. 7,14. Ματθ. 1,23. 9. Πρβλ. Ἐφ. 4,9-10.

πολὺ τῆς κοινῆς παρηλλαγμένον φύσεως. Ἡ αὐτὴ γυνὴ καὶ [1468] παρθένος καὶ μήτηρ, καὶ ἐν τῷ ἁγιασμῷ τῆς παρθενίας μένουσα, καὶ τὴν τῆς τεκνογονίας εὐλογίαν κληρονομοῦσα. Εἰ δέ τινες τῶν ἑρμηνευσάντων τὴν Ἑβραΐδα φωνὴν ἀντὶ τῆς παρθένου τὴν νεᾶνιν ἐκδεδώκασιν, οὐδὲν τῷ λόγῳ διαλυμαίνεται. Εὑρήκαμεν γὰρ ἐν τῇ συνηθείᾳ τῆς Γραφῆς ἀντὶ τῆς παρθένου τὴν νεᾶνιν παραλαμβανομένην πολλάκις, ὡς ἐν τῷ Δευτερονομίῳ φησίν· «ἐάν τις εὕρῃ τὴν παῖδα τὴν παρθένον, ἥτις οὐ μεμνήστευται, καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, καὶ εὑρεθῇ, δώσει ὁ ἄνθρωπος ὁ κοιμηθεὶς μετ' αὐτῆς τῷ πατρὶ τῆς νεάνιδος πεντήκοντα δίδραχμα»[1].

5. «Καὶ ἐγερθεὶς παρέλαβε τὴν γυναῖκα αὐτοῦ»[2]. Καὶ διαθέσει καὶ στοργῇ καὶ πάσῃ τῇ ἐπιβαλλούσῃ τοῖς συνοικοῦσιν ἐπιμελείᾳ γυναῖκα ἡγούμενος, τῶν γαμικῶν ἔργων ἀπείχετο. «Οὐκ ἐγίνωσκε γὰρ αὐτήν, φησίν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον»[3]. Τοῦτο δὲ ἤδη ὑπόνοιαν παρέχει, ὅτι μετὰ τὸ καθαρῶς ὑπηρετήσασθαι τῇ γεννήσει τοῦ Κυρίου τῇ ἐπιτελεσθείσῃ διὰ τοῦ Πνεύματος τοῦ Ἁγίου, τὰ νενομισμένα τοῦ γάμου ἔργα μὴ ἀπαρνησαμένης τῆς Μαρίας. Ἡμεῖς δέ, εἰ καὶ μηδὲν τῷ τῆς εὐσεβείας παραλυμαίνεται λόγῳ (μέχρι γὰρ τῆς κατὰ τὴν οἰκονομίαν ὑπηρεσίας ἀναγκαία ἡ παρθενία, τὸ δ' ἐφεξῆς ἀπολυπραγμόνητον τῷ λόγῳ τοῦ μυστηρίου), ὅμως διὰ τὸ μὴ καταδέχεσθαι τῶν φιλοχρίστων τὴν ἀκοήν, ὅτι ποτὲ ἐπαύσατο εἶναι παρθένος ἡ Θεοτόκος, ἐκείνας ἡγούμεθα τὰς μαρτυρίας αὐτάρκεις. Πρὸς μὲν τό, ὅτι «οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς»[4], ὅτι τό, «ἕως», πολλαχοῦ χρόνου μέν τινα δοκεῖ περιορισμὸν ὑποφαίνειν, κατὰ δὲ τὴν ἀλήθειαν τὸ ἀόριστον δείκνυσιν. Ὁποτόν ἐστι τὸ ὑπὸ τοῦ Κυρίου λεχθὲν τό, «καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος»[5]. Οὐ γὰρ δήπου μετὰ τὸν αἰῶνα τοῦτον οὐκ ἔμελλε συνέσεσθαι τοῖς ἁγίοις ὁ Κύριος· ἀλλ' ἡ ἐπαγγελία τοῦ παρόντος τὸ διηνεκὲς σημαίνει, οὐκ ἔστιν ἀποκοπὴ τοῦ μέλλοντος. Τὸν αὐτὸν δὴ τρόπον φαμὲν κἀνταῦθα παρειλῆφθαι τό, «ἕως». Ἐπειδὴ δὲ εἴρηται, «Πρωτότοκον», οὐ πάντως ὁ πρωτότοκος πρὸς τοὺς ἐπιγινομένους ἔχει τὴν σύγκρισιν, ἀλλ' ὁ πρῶτον διανοίγων μήτραν πρωτότοκος ὀνομάζεται. Δηλοῖ δὲ καὶ ἡ κατὰ τὸν Ζαχαρίαν ἱστορία, ὅτι μέχρι παντὸς παρθένος ἡ Μαρία. Λόγος γάρ τίς ἐστι, καὶ οὗτος ἐκ παραδόσεως εἰς ἡμᾶς ἀφιγμένος, ὅτι ὁ Ζαχαρίας, ἐν τῇ τῶν παρθένων χώρᾳ τὴν Μαριὰμ κατατάξας μετὰ τὴν τοῦ Κυρίου κύησιν, ὑπὸ τῶν Ἰουδαίων κατεφονεύθη μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ἐγκληθεὶς ὑπὸ τοῦ λαοῦ ὡς διὰ τούτου κατασκευάζων τὸ παράδοξον ἐκεῖνο καὶ πολυύμνητον [1469] σημεῖον, παρθένον γεννήσασαν καὶ τὴν παρθενίαν μὴ διαφθείρασαν. «Τοῦ δὲ Ἰησοῦ

1. Δευτ. 22,28-29. 2. Ματθ. 1,24. 3. Ματθ. 1,25. 4. Ἔνθ' ἀν. 5. Ματθ. 28,20.

γεννηθέντος, φησίν, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες· ποῦ ἔστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων;»[1]. Ἔθνος Περσικὸν οἱ μάγοι, μαντείαις καὶ ἐπαοιδίαις καὶ φυσικαῖς τισιν ἀντιπαθείαις προσέχοντες, καὶ περὶ τὴν τήρησιν τῶν μεταρσίων ἐσχολακότες. Ταύτης δὲ τῆς μαντείας ἔοικε εἶναι καὶ Βαλαάμ, ὁ μεταπεμφθεὶς παρὰ τοῦ Βαλάκ, ὥστε διά τινων τελετῶν καταράσασθαι τὸν Ἰσραήλ· ὃς καὶ ἐν τῇ τετάρτῃ αὐτοῦ παραβολῇ τοιαῦτα λέγει περὶ τοῦ Κυρίου· «ἄνθρωπος ὁρῶν, φησίν, ἀκούων λόγια Θεοῦ, ἐπιστάμενος γνῶσιν Ὑψίστου, καὶ ὅρασιν Θεοῦ ἰδὼν ἐν ὕπνῳ· ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ. Δείξω αὐτῷ, καὶ οὐχὶ νῦν, μακαρίζω, καὶ οὐκ ἐγγίζει. Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ»[2]. Διὰ τοῦτο ἐπιζητήσαντες τὸν τόπον τῆς Ἰουδαίας, κατὰ μνήμην τῆς παλαιᾶς προφητείας, ἦλθον μαθεῖν «ποῦ ἔστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων»[3]. Τάχα δὲ καὶ ἀντικειμένης δυνάμεως τῇ ἐπιφανείᾳ τοῦ Κυρίου ἀτονωτέρας λοιπὸν γενομένης, αἰσθανόμενοι καταργουμένης τῆς ἐνεργείας αὐτῶν, μεγάλην δύναμιν τῷ τεχθέντι προσεμαρτύρουν. Διὰ τοῦτο εὑρόντες τὸ παιδίον προσεκύνησαν αὐτῷ ἐν δώροις[4]. Μάγοι, τὸ ἀπηλλοτριωμένον τοῦ Θεοῦ καὶ ξένον τῶν διαθηκῶν ἔθνος, πρῶτοι τῆς προσκυνήσεως ἠξιώθησαν, διότι αἱ παρὰ τῶν ἐχθρῶν μαρτυρίαι ἀξιοπιστότεραί εἰσιν. Εἰ γὰρ Ἰουδαῖοι προσεκύνησαν πρῶτοι, ἐνομίσθησαν ἂν τὴν ἑαυτῶν σεμνύνειν συγγένειαν· νῦν δὲ οἱ μηδὲν προσήκοντες ὡς τῷ Θεῷ προσκυνοῦσιν, ἵν' οἱ οἰκεῖοι κατακριθῶσι, τοῦτον σταυρώσαντες, ὃν οἱ ἀλλόφυλοι προσεκύνησαν. Ἐπεὶ μέντοι προσέκειντο ταῖς τῶν οὐρανίων κινήσεσιν, οὐκ ἀργῶς ἐθεώρουν τὸ παράδοξον τῶν κατ' οὐρανὸν θεαμάτων, ἀστέρα καινὸν καὶ ἀσυνήθη τῇ γεννήσει τοῦ Κυρίου ἐπανατείλαντα.

6. Καὶ μηδεὶς ἑλκέτω τὴν τῆς ἀστρολογίας κατασκευὴν εἰς τὴν τοῦ ἀστέρος ἀνατολήν. Οἱ μὲν γὰρ τὴν γένεσιν παρεισάγοντες ἐκ τῶν ἤδη ὄντων ἀστέρων, τῶν τούτων τοιόνδε σχηματισμὸν αἴτιον εἶναι τῶν κατὰ τὸν βίον συμπτωμάτων ἑκάστῳ τίθενται· ἐνταῦθα δὲ οὐδεὶς τῶν ὄντων ἀστέρων τὴν βασιλικὴν γέννησιν ἐσήμαινεν, οὐδ' αὐτὸς τῶν συνήθων ἦν. Οἱ γὰρ τῇ κτίσει συγκαταβληθέντες ἐξ ἀρχῆς ἤτοι ἀκίνητοί εἰσι διὰ παντός, ἢ τὴν κίνησιν ἄπαυστον ἔχοντες· ὁ δὲ φανεὶς οὗτος ἀμφότερα φαίνεται ἔχων, καὶ κινούμενος καὶ ἱστάμενος. Καὶ ἐν μὲν τοῖς ἤδη οὖσιν οἱ μὲν κατεστηριγμένοι οὐδέποτε κινοῦνται, οἱ δὲ πλανῆται οὐδέποτε ἵστανται· ὁ δὲ ἀμφότερα ἔχων ἐν αὐτῷ, καὶ κίνησιν καὶ στάσιν, δῆλός ἐστιν οὐδετέροις προσήκων. Ἐκινήθη μὲν γὰρ ἀπὸ ἀνατολῶν μέχρι Βηθλεέμ· ἔστη δὲ «ἐπάνω οὗ ἦν τὸ **[1472]** παιδίον»[5]. Διὰ τοῦτο κινηθέντες οἱ μάγοι ἀπὸ ἀνατολῶν τῇ ὁδηγίᾳ

1. Ματθ. 2,1-2. 2. Ἀριθ. 24,15-17. 3. Ματθ. 2,2. 4. Πρβλ. Ματθ. 2,11. 5. Ματθ. 2,9.

ἀστέρος ἑπόμενοι, ἑστιάντες τοῖς Ἱεροσολύμοις, πᾶσαν μὲν ἐτάραξαν τῇ ἑαυτῶν ἐπιδημίᾳ τὴν πόλιν, φόβον δὲ τῷ βασιλεῖ τῶν Ἰουδαίων ἐνῆκαν[1]. Εὑρόντες οὖν ὃν ἐζήτουν, δώροις ἐτίμησαν, χρυσῷ καὶ λιβάνῳ καὶ σμύρνῃ[2]· τάχα που τῇ προφητείᾳ τοῦ Βαλαὰμ ἀκολουθοῦντες καὶ ἐνταῦθα, ὃς περὶ τοῦ Χριστοῦ τοιαῦτα εἶπε· «κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων καὶ ὡς σκύμνος. Τίς ἀναστήσει αὐτόν; Οἱ εὐλογοῦντές σε εὐλόγηνται, καὶ οἱ καταρώμενοί σε κεκατήραντται»[3]. Ἐπεὶ οὖν διὰ μὲν τοῦ λέοντος τὸ βασιλικὸν ὁ λόγος ἐνδείκνυται, διὰ δὲ τῆς κατακλίσεως τὸ πάθος, διὰ δὲ τῆς τοῦ εὐλογεῖν δυνάμεως τὴν θεότητα, ἀκολουθοῦντες τῇ προφητείᾳ οἱ μάγοι, ὡς μὲν βασιλεῖ τὸν χρυσόν, ὡς δὲ τεθνηξομένῳ τὴν σμύρναν προσήνεγκαν, ὡς δὲ Θεῷ τὸν λίβανον. Οὐ μὴν οὐδ' ἐκεῖνο τοῖς περιέργως τὰ κατὰ τὸν τόκον ἐκλαμβάνουσιν εἰπεῖν ὑπάρχει, ὅτι ὁ ἀστὴρ τοῖς κομήταις παραπλήσιος ἦν, οἵπερ μάλιστα δοκοῦσι βασιλέων διαδοχὰς δηλοῦντες κατ' οὐρανὸν ἱστασθαι. Ἀκίνητοι γὰρ καὶ οὗτοι ὡς ἐπίπαν εἰσίν, ἐν περιγραπτῷ τόπῳ τῆς ἐκκαύσεως γινομένης. Κομῆται γὰρ καὶ δοκίδες καὶ βόθυνοι διάφορα σχήματα, καὶ προσηγορίαι οἰκεῖαι τοῖς σχήμασι. Πάντων δὲ γένεσις ἡ αὐτή. Ὅταν γὰρ πλημμύρῃ ὁ περὶ τὴν γῆν ἀήρ, καὶ εἰς τὸν αἰθέριον τόπον ὑπερχυθῇ, καὶ οἱονεὶ ὕλην τῷ πυρὶ παρασχόμενος τὸ παχὺ καὶ τεθολωμένον τῆς ἐντεῦθεν ἀναφορᾶς, ἀστέρος ἐναργῆ φαντασίαν παρέχεται. Ὁ μέντοι φανεὶς ἐπὶ τῆς ἀνατολῆς, κινήσας τοὺς μάγους πρὸς τὴν ζήτησιν τοῦ γεννηθέντος, πάλιν ἀφανὴς ἦν ἕως οὗ ἀπορουμένοις αὐτοῖς ἐπὶ τῆς Ἰουδαίας δεύτερον ἐξεφάνη, ὥστε ἀκοῦσαι τίνος ἦν, καὶ τίνι ὑπουργεῖ, καὶ διὰ τίνα γεγέννηται. «Ἐλθὼν» γὰρ «ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον»[4]. Διὸ καὶ «ἰδόντες» οἱ μάγοι «ἐχάρησαν χαρὰν μεγάλην»[5]. Δεξώμεθα τοίνυν καὶ ἡμεῖς ταύτην τὴν μεγάλην χαρὰν ἐν ταῖς καρδίαις ἡμῶν. Ταύτην γὰρ εὐαγγελίζονται τὴν χαρὰν τοῖς ποιμέσιν οἱ ἄγγελοι[6]. Μετὰ μάγων προσκυνήσωμεν, μετὰ ποιμένων δοξάσωμεν, μετὰ ἀγγέλων χορεύσωμεν, «ὅτι ἐτέχθη ἡμῖν σήμερον Σωτήρ, ὅς ἐστι Χριστὸς Κύριος»[7]. «Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν»[8], οὐκ «ἐν μορφῇ Θεοῦ»[9], ἵνα μὴ διαπτοήσῃ τὸ ἀσθενοῦν, ἀλλ' ἐν μορφῇ δούλου[10], ἵνα ἐλευθερώσῃ τὸ δουλωθέν. Τίς οὕτως νωθρὸς τὴν ψυχήν, τίς οὕτως ἀχάριστος, ὡς μὴ χαίρειν καὶ ἀγαλλιᾶσθαι καὶ φαιδρύνεσθαι ἐπὶ τοῖς παροῦσι; Κοινὴ ἑορτὴ πάσης τῆς κτίσεως· αὕτη τῷ κόσμῳ δωρεῖται τὰ ὑπερκόσμια· τοὺς ἀρχαγγέλους πέμπει πρὸς τὸν Ζαχαρίαν καὶ πρὸς τὴν Μαριάν· καὶ χοροὺς ἀγγέλων ἵστησι τοὺς λέγοντας· «Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία»[11]. Ἀστέρες διατρέχουσιν ἐξ οὐρανοῦ· μάγοι **[1473]** κινοῦνται ἐκ τῶν ἐθνῶν·

---

1. Πρβλ. Ματθ. 2,1-3. 2. Πρβλ. Ματθ. 2,11. 3. Ἀριθ. 24,9. 4. Ματθ. 2,9. 5. Ματθ. 2,10. 6. Πρβλ. Λουκ. 2,10. 7. Λουκ. 2,11. 8. Ψαλ. 117,27. 9. Φιλιπ. 2,6. 10. Φιλιπ. 2,7. 11. Λουκ. 2,14.

γῇ ὑποδέχεται ἐν σπηλαίῳ· οὐδεὶς ἀσυντελής, οὐδεὶς ἀχάριστος. Φθεγξώμεθά τινα καὶ ἡμεῖς φωνὴν ἀγαλλιάσεως· ὄνομα θώμεθα τῇ ἑορτῇ ἡμῶν Θεοφάνια· ἑορτάσωμεν τὰ σωτήρια τοῦ κόσμου, τὴν γενέθλιον ἡμέραν τῆς ἀνθρωπότητος. Σήμερον ἐλύθη ἡ καταδίκη τοῦ Ἀδάμ. Οὐκέτι, «γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ»[1]· ἀλλὰ τῷ οὐρανίῳ συναφθεὶς πρὸς οὐρανὸν ἀναληφθήσῃ. Οὐκέτι, «ἐν λύπαις τέξῃ τέκνα»[2]· μακαρία γὰρ ἡ ὠδίνασα τὸν Ἐμμανουὴλ καὶ μαστοὶ οἱ ἐκθρέψαντες. Διὰ τοῦτο «παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ»[3]. Θάλλει μου ἡ καρδία, καὶ πηγάζει μου ὁ νοῦς· ἀλλὰ βραχεῖα ἡ γλῶσσα καὶ ἀμυδρὸς ὁ λόγος, ὥστε τοσοῦτον χαρᾶς μέγεθος ἐξαγγεῖλαι. Νόει μοι θεοπρεπῶς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου. Ἄχραντόν μοι νόει καὶ ἀρρύπωτον τὴν θεότητα· κἂν ἐν ὑλικῇ φύσει γέγηται. Τὸ ἐμπαθὲς διορθοῦται, οὐκ αὐτὴ τοῦ πάθους ἐμπίπλαται. Οὐχ ὁρᾷς τοῦτον τὸν ἥλιον καὶ ἐν βορβόρῳ γινόμενον, καὶ μηδὲν μολυνόμενον, καὶ ῥυπαροῖς ἐπιλάμποντα, καὶ δυσωδίας μὴ ἀπολαύοντα; Τοὐναντίον μὲν οὖν οἷς ἂν διαρκῶς ὁμιλήσῃ τὰς σηπεδόνας ἀναξηραίνει. Τί οὖν φοβῇ περὶ τῆς ἀπαθοῦς καὶ ἀκηράτου φύσεως, μή τινα κηλῖδα παρ' ἡμῶν ἀναμάξηται; Διὰ τοῦτο ἐτέχθη, ἵνα σὺ καθαρθῇς διὰ τοῦ συγγενοῦς. Διὰ τοῦτο αὐξάνεται, ἵνα σὺ διὰ τῆς συνηθείας οἰκειωθῇς. Ὦ βάθος ἀγαθότητος καὶ φιλανθρωπίας Θεοῦ! Δι' ὑπερβολὴν δωρεῶν ἀπιστοῦμεν τῷ εὐεργέτῃ· διὰ τὴν μεγάλην τοῦ Δεσπότου φιλανθρωπίαν πρὸς τὴν δουλείαν ἀφηνιάζομεν. Ὦ τῆς ἀτόπου ταύτης καὶ πονηρᾶς ἀγνωμοσύνης! Μάγοι προσκυνοῦσι, καὶ χριστιανοὶ συζητοῦσι πῶς ἐν σαρκὶ Θεὸς καὶ ποταπῇ σαρκί· καὶ εἰ τέλειος ἄνθρωπος ἢ ἀτελὴς ὁ προσληφθείς. Σιγάσθω τὰ περιττὰ ἐν Ἐκκλησίᾳ Θεοῦ· δοξαζέσθω τὰ πεπιστευμένα· μὴ περιεργαζέσθω τὰ σιωπώμενα. Ἐκείνοις σεαυτὸν ἀνάμιξον τοῖς μετὰ χαρᾶς ἐξ οὐρανῶν ὑποδεξαμένοις τὸν Κύριον. Ἐννόησον ποιμένας σοφιζομένους, ἱερεῖς προφητεύοντας, γυναῖκας εὐφραινομένας, ὅτε Μαρία χαίρειν ἐδιδάσκετο παρὰ τοῦ Γαβριήλ[4], ὅτε Ἐλισάβετ ἐπ' αὐτῶν εἶχε τῶν σπλάγχνων σκιρτῶντα τὸν Ἰωάννην[5]. Ἄννα εὐηγγελίζετο[6], Συμεὼν ἐνηγκαλίζετο[7], ἐν μικρῷ βρέφει τὸν μέγαν Θεόν προσκυνοῦντες· οὐ τοῦ ὁρωμένου καταφρονοῦντες, ἀλλὰ τῆς θεότητος αὐτοῦ τὴν μεγαλωσύνην δοξολογοῦντες. Ἐφαίνετο γάρ, ὥσπερ φῶς δι' ὑελίνων ὑμένων, διὰ τοῦ ἀνθρωπίνου σώματος ἡ θεία δύναμις, διαυγάζουσα τοῖς ἔχουσι τοὺς ὀφθαλμοὺς τῆς καρδίας κεκαθαρμένους· μεθ' ὧν καὶ ἡμεῖς εὑρεθείημεν «ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι»[8], ἵνα καὶ αὐτοὶ μεταμορφωθῶμεν ἀπὸ δόξης εἰς δόξαν[9] χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Γεν. 3,19. 2. Γεν. 3,16. 3. Ἡσ. 9,5. 4. Πρβλ. Λουκ. 1,28. 5. Πρβλ. Λουκ. 1,44. 6. Πρβλ. Λουκ. 2,38. 7. Πρβλ. Λουκ. 2,28. 8. Β' Κορ. 3,18. 9. Πρβλ. Β' Κορ. 3,18.

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΣΥΚΟΦΑΝΤΟΥΝΤΑΣ ΗΜΑΣ, ΟΤΙ ΤΡΕΙΣ ΘΕΟΥΣ ΛΕΓΟΜΕΝ*

[1488] 1. Μεγάλη παράκλησις ψυχαῖς, οἷα τὸ μισεῖσθαι κεκακωμέναις, τὸ μετὰ Κυρίου μισεῖσθαι. «Εἰ ὁ κόσμος γὰρ ὑμᾶς μισεῖ, γινώσκετε, φησίν, ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκε»[1]. Διὸ εἰ ὁ Ἀγαπητὸς μισεῖται, τί μέγα, εἰ ἡμεῖς τοῦ μίσους ἀξιούμεθα παρ' ἀνθρώποις, οἷς περισσεύει τὸ κτῆμα τοῦ μίσους; Ἐπέχει μου τὸν λόγον ἡ μνήμη τῶν λυπηρῶν, ὑποτρέχουσα τὴν καρδίαν· καὶ προπῖπτον τὸ δάκρυον τὴν φωνὴν ἐπικόπτει, ὅταν ἐνθυμηθῶ, ὅτι ἀγάπης καὶ εἰρήνης ἡμῖν παρὰ Κυρίου καταλειφθείσης, οὐ ζητοῦμεν τὸ καταλειφθέν. Ἀφανές ἐστι τὸ δῶρον ἐν οὐδενὶ εὑρισκόμενον. Ἀγάπη κατελείφθη· καὶ μάχη ἐμπολιτεύεται. Ἕνωσις ἐδόθη· καὶ μῖσος ἐξήφθη. Μεγάλην κατ' ἀλλήλων τὴν πυρκαϊὰν τοῦ μίσους ἐξήψαμεν· ἕκαστος καθ' ἑαυτὸν ὀδυρόμεθα, εἰς ἀλλήλους δὲ οὐ συμβιβαζόμεθα. Τίς μοι δώσει θέατρον τὴν οἰκουμένην ἅπασαν, καὶ φωνὴν σάλπιγγος εὐτονωτέραν, καὶ θρήνους Ἱερεμίου, καὶ δάκρυον δαψιλὲς κα-**[1489]** ταρρῆξαι καρδίαν ὀδύναις συντετριμμένην, καταχέασθαι κόνιν τὴν νῦν ἐκ τῆς ἀτιμίας ἡμῖν κατακεχυμένην, πενθῆσαί τε τὴν κοινὴν συμφοράν, ὅτι ἐπιλέλοιπεν ἡ ἀγάπη ἡ ῥίζα τῶν ἐντολῶν; Διὰ τοῦτο ἀκορέστῳ τῇ περιπλοκῇ τοῦ πνεύματος συμπεριπτύσσομαι τοὺς παρόντας, ὅτι θέαμα ξένον ἔδειξαν εἰς ἐνὶ συγκολλώμενοι. Γεγενήμεθα γὰρ καθ' ἑαυτὸν ἕκαστος ὥσπερ ἡ ψάμμος, οὐ συνημμένοι ἀλλήλοις, ἀλλ' ἕκαστος καθ' ἑαυτὸν διῃρημένοι. Οὔτε γὰρ οἰκοδομὴν συστῆναι, συνδέσμων ὑφαιρεθέντων, δυνατόν· οὔτε Ἐκκλησίαν εἰς ὕψος αὐξηθῆναι, μὴ συνδεδεμένην τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ τῆς ἀγάπης.

2. Μικρὸν ἡμῖν μακροθύμως χρήσατε τὴν ἀκοήν, οὗ πρὸς ἐπίδειξιν διαλεγομένοις, ἀλλ' εἰς κοινωνίαν τῶν λυπηρῶν συμπεριλαμβάνειν ἐπειγομένοις· φέρει γὰρ παραμυθίαν ὀδυρομένοις ἡ κοινωνία τῶν στεναγμῶν. Τάχα δὲ καὶ πρὸς Κύριον ἐνωθεῖσα ἡμῶν ἡ λύπη εὐτονώτερον ἂν διαβαίη. Ἡ ἕκαστος ἡμῶν καθ' ἑαυτὸν εἰσακουσθήσεται διὰ τὴν ἐκ τῶν ἔργων ἀτονίαν; Αὐτὸ τὸ ὁρώμενον τῆς παλαιᾶς

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. -P.Migne, Patrologiae Cursus Completus, Series Graeca τ. 31 στ. 1488-1496. Καὶ τὸ ἔργον τοῦτο κατατάσσομεν εἰς τὰ γνήσια συμφώνως πρὸς τὴν γνώμην τοῦ εἰδικοῦ ἐρευνητοῦ τοῦ M. Βασιλείου Rev. Amand de Mendieta, παρ' ὅτι ὑπὸ τῶν πλείστων ἐρευνητῶν χαρακτηρίζεται ὡς ἀμφιβαλλόμενον.

1. Ἰω. 15,18.

ἀγάπης τῶν πατέρων ἐστὶ λείψανον. Τούτου γὰρ ἕνεκα ἐκεῖνοι τὰς πανηγύρεις ταύτας ἐμηχανήσαντο, ἵνα τὴν ἐκ τῶν χρόνων ἐγγινομένην ἀλλοτρίωσιν διὰ τῆς τῶν καιρῶν ἐπιμιξίας ἀνανεοῦσθαι· καὶ τοὺς τὴν ὑπεροχὴν οἰκοῦντας, ἕνα τοῦτον καταλαβόντας τόπον, ἑαυτοῖς ἀρχὴν φιλίας καὶ ἀγάπης τὴν συντυχίαν παρέχειν. Τοῦτο πνευματικὴ πανήγυρις τὰ ἀρχαῖα ἀνανεουμένη· τοῖς μέλλουσιν ἀρχὴν παρεχομένη. Οὐ γὰρ ἤλθομεν ὠνίων ποιήσασθαι διάμειψιν, ἀλλ' ἀγάπης ἀλλήλοις δοῦναι ἀντάλλαγμα, πλήρη δοῦναι, καὶ πλήρη λαβεῖν τὴν ἀγάπην. Ταῦτα οἱ πατέρες ἡμῶν κατεστήσαντο. Ἡμεῖς δὲ παραλαβόντες εἰς τί κατελήξαμεν δείξει τὰ ὁρώμενα. Οἱ πλεῖστοι τῶν παρόντων κατάσκοποι μᾶλλόν εἰσι, κατάσκοποι τῶν λεγομένων ἢ μαθηταὶ τῶν διδαγμάτων. Καὶ λόγος ἐπιζητεῖται οὐ πρὸς οἰκοδομὴν τῶν παρόντων, ἀλλὰ πρὸς ἐπήρειαν τῶν ἐφεδρευόντων. Κἂν μέν τι λεχθῇ συμβαῖνον ταῖς ἐπιθυμίαις τῶν ἐξοστρακιζόντων τὴν γνώμην, ἀπῆλθε καταδεξάμενος ὡς τὸ ἴδιον εὑρὼν παρ' ἡμῖν. Ταῦτα ἐγγραφέσθω ταῖς ὑμετέραις καρδίαις. Μαρτυρήσατε τῇ ἀληθείᾳ καὶ ἡμῖν πρὸς τοὺς ἐπιτρυλλοῦντας τὰ τοιαῦτα, ὅτι ἄρα ἡμεῖς τὴν παλαιὰν δωρεὰν ἀνενεωσάμεθα.

3. Ταῦτα γὰρ μὴ φοβουμένων τὸν Κύριον τὰ ῥήματα, ἀνοιγόντων καθ' ἡμῶν στόμα, ὡς ἡμῶν τρεῖς θεοὺς καταγγελλόντων. Ὁ τρεῖς θεοὺς κηρύττων **[1492]** τί ζητεῖ ἐν Ἐκκλησίᾳ Κυρίου; Ἀλλαχοῦ πολυθεΐα· καὶ ἀλλαχοῦ θεοσέβεια. Ὁ τρεῖς λέγων κατατολμάτω καὶ τεσσάρων· ἐκτεινάτω τὸν ἀριθμὸν εἰς δώδεκα. Τίς οὖν ἡ μανία τῶν ἠκονημένην γλῶσσαν ἐχόντων κατὰ τῆς ἀληθείας; Οὐ μικροψυχῶ πρὸς τὸν ἔλεγχον, ἀλλ' ἐκδέχομαι τὸ τοῦ Χριστοῦ δικαστήριον. Ἐκεῖ ἀντικαταστήσονταί μοι οἱ τὴν ἐπήρειαν ταύτην ῥάπτοντες· «οἶδε Κύριος τοὺς ὄντας αὐτοῦ»[1]· καί, «ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν»[2]. Εἰ μεταδίδωμι τὴν πίστιν τῶν Πατέρων, τί, παρεὶς τοὺς Πατέρας, ἐμοὶ πολεμεῖς; Εἰ πιστεύω εἰς Πατέρα, εἰ ὁμολογῶ τὸν Υἱόν, εἰ μὴ ἀθετῶ τὸ Πνεῦμα. Εἰ ὁ Τριάδα ὁμολογῶν τρεῖς ὀνομάζει θεούς, ἀθετεῖ τὸ βάπτισμα, καὶ πολεμεῖ τῇ πίστει. Τί, τὸ ἐμὸν πρόσωπον ὑποθέμενος, πολεμεῖς τῷ Κυρίῳ; Τίς κατέλειπε βαπτίζειν εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος[3]; ἐγώ, ἢ Δεσπότης; Τίνος τὰ ῥήματα; κήρυκος, ἢ τοῦ ἀποστείλαντος; Τί, τὸ ἐμὸν πρόσωπον εὐεπίβατον ταῖς συκοφαντίαις εὑρών, δι' ἐμοῦ πολεμεῖς τῇ ἀληθείᾳ; δι' ἐμοῦ κατασείεις τὸ ὀχύρωμα τῆς πίστεως; Ἐγὼ μέν σοι εὐάλωτος· ἡ δὲ πίστις ἄσειστος. «Εἷς Κύριος»[4], μάνθανε τοῦ Παύλου λέγοντος, μὴ δύο, ἢ τρεῖς. Κἂν ὀνομάσω Κύριον τὸν Υἱόν, οὐκ εἰς δύο κυρίους, οὐκ εἰς πολλοὺς θεοὺς διεῖλον τὴν κυριότητα. Κύριος ὁ Πατήρ, Κύριος ὁ Υἱός· «Μία πίστις»[5], ἐπειδὴ εἷς Κύριος. Ἓν ἑνὶ ἀκολουθεῖ· ἑνὶ Κυρίῳ μία πίστις, μιᾷ πίστει «ἓν βάπτισμα»[6].

1. Πρβλ. Β' Τιμ. 2,19. Ἀριθ. 16,5. 2. Παρμ. 14,31. 3. Πρβλ. Ματθ. 28,19. 4. Ἐφ. 4,5. 5. Ἑνθ' ἀν. 6. Ἑνθ' ἀν.

Οὕτως ἓν ἐξ ἑνὸς δι' ἑνὸς βεβαιοῦται. Εἰ δὲ οὐκ ἀθετῶ τὸ Πνεῦμα, οὐδὲ ἐν τῇ δουλικῇ αὐτὸ τίθημι τάξει, διὰ τοῦτο τὴν συκοφαντίαν ἐκείνην ἐκδέχομαι. Μὴ λέγε ἃ μὴ λέγω, καὶ ἴδωμέν σου τῆς συκοφαντίας τὸ πιθανόν. Τί ὑποκρύπτεις σεαυτοῦ τὴν ἐπήρειαν; Ψεύδη, κατηραμένε, λέγων παρ' ἡμῖν τρεῖς θεοὺς καταγγέλλεσθαι, καὶ οὐ λέγεις ἐκ τοῦ προφανοῦς, ὅτι ἡμεῖς ἐσμεν οἱ τοὺς κτίσμα τὸ Πνεῦμα τὸ Ἅγιον λέγοντας ἀναθεματίζοντες. Ταύτην τὴν κατηγορίαν δέχομαι. Ἐπὶ τούτῳ πῦρ καὶ ξίφος ἠκονημένον ὑφίσταμαι. Κἂν ὁ τροχὸς καταρράσσῃ, κἂν βασανιστήρια ἐπ' ἐμὲ κινῆται, ἐν τῇ αὐτῇ πληροφορίᾳ δέχομαι τὰ βασανιστήρια, ἐν ᾗ καὶ οἱ μάρτυρες οἱ ἐνταῦθα κείμενοι τῶν στεφάνων ἠξιώθησαν. Τοῦτο τοίνυν ἐγκάλει μοι, ὅτι μὴ ἐν τοῖς κτίσμασι συναριθμῶ τὸ Πνεῦμα τὸ Ἅγιον. Κἂν δέ τι περισσὸν λέγοις, τῷ κριτῇ λόγον δώσεις. «Ὅταν ἔλθῃ ὁ Παράκλητος»[1], νῦν ἀνεγινώσκετο· σὺ δὲ ταῖς συκοφαν[1493]τίαις ἀφορμὴν εἰς ἐπήρειαν τέθεικας. Παράκλητος, φησίν, ὁ περὶ σοῦ παρακαλῶν. Δι' ὧν εὐεργετεῖ, διὰ τούτων ἀγνωμονεῖς. Οὐ δέχῃ τοίνυν τοῦ Παρακλήτου τὴν εὐεργεσίαν. Ἢ οὐχὶ ὁ Κύριος ἑαυτῷ ταύτην τὴν προσηγορίαν πρέπειν ἐνομοθέτησε; «Πέμψω ὑμῖν καὶ ἄλλον Παράκλητον»[2]. Ὁ καὶ ἄλλον εἰπὼν οὐχ ἑαυτὸν ἔδειξε πρὸ τοῦ ἄλλου; Εἰ ἀπ' ἐμαυτοῦ λαλῶ, μὴ ἀκούετέ μου· εἰ τὰ γεγραμμένα ἀναγινώσκω, ὑπόκυψον τῇ ἀληθείᾳ. Ὁ τέλειος οὔτε μειοῦται, οὔτε αὔξεται. Εἷς ἀγέννητος ὁ Θεός· εἷς ὁ τούτου μονογενὴς ὁ Υἱὸς καὶ Θεός. Ὥσπερ οὖν ἕνι συναγέννητος Θεὸς ἕτερος, οὕτως οὐδὲ συγγεγεννημένος Υἱὸς ἕτερος. Ὥσπερ οὐ λόγῳ ὁ Πατήρ, οὕτως οὐδὲ λόγῳ ὁ Υἱός. Θεὸς ὁ Πατήρ, Θεὸς ὁ Υἱός· Θεὸς τέλειος ὁ Πατήρ· Θεὸς τέλειος καὶ ὁ Υἱός. Ἀσώματος ὁ Πατήρ· ἀσώματος ὁ Υἱός, ἀσωμάτου χαρακτήρ, καὶ εἰκὼν ἀσώματος. Πιστεύεις, ὅτι γεγέννηται; Μὴ ζήτει, Πῶς; Εἰ γὰρ ἐνδέχεται ζητεῖν, ὁ ἀγέννητος πῶς ἀγέννητος, ἐνδέχεται ζητεῖν, καὶ ὁ γεγεννημένος πῶς γεγέννηται· εἰ δὲ οὐ καταλείπει ζήτησιν ὁ ἀγέννητος, πῶς ἀγεννήτος· οὕτως οὐδὲ ὁ γεγεννημένος καταλείπει ζητεῖν, πῶς γεγέννηται. Μὴ ζήτει νὰ ἀνεύρετα· οὐ γὰρ εὑρήσεις. Ἐὰν γὰρ ζητῇς, παρὰ τίνος ἔχεις μαθεῖν; Παρὰ γῆς; Οὐχ ὑφεστήκει. Παρὰ θαλάττης; Οὐκ ἦν ὑγρά. Παρ' οὐρανοῦ; Οὐκ ἦν ἐπαρθείς. Παρ' ἡλίου καὶ σελήνης καὶ ἄστρων; Οὐ δεδημιούργηντο. Ἀλλὰ παρ' αἰώνων; Πρὸ αἰώνων ὁ Μονογενής. Μὴ ἐξέταζε τὰ μὴ ἀεὶ ὄντα ὑπὲρ τοῦ ἀεὶ ὄντος. Εἰ δὲ μὴ θέλεις, ἀλλὰ φιλονεικεῖς, καταγελῶ σου τῆς ἀνοίας, μᾶλλον δὲ κλαίω σου τὴν τόλμαν.

4. «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος»[3]. Τό, «ἦν», περιγράφει τό, «οὐκ ἦν»· καὶ τὸ «Θεός», περιγράφει τό, «οὐ Θεός». Τοῖς γεγραμμένοις πίστευε, τὰ μὴ γεγραμμένα μὴ ζήτει. Οὗτος ὁ Λόγος, ὁ Υἱὸς τοῦ Θεοῦ, ἄνθρωπος ἐγένετο

1. Ἰω. 15,26. 2. Πρβλ. Ἰω. 14,16. 16,7. 3. Ἰω. 1,1.

διὰ τὸν ἐκπεσόντα ἄνθρωπον Ἀδάμ. Διὰ τὸν Ἀδὰμ ὁ ἀσώματος ἐν σώματι. Διὰ τὸ σῶμα ἔλαβε νέφος τὸ σῶμα ὁ Λόγος, ἵνα μὴ καταφλέξῃ τὰ ὁρώμενα. Συγκατέβη σαρκί, ἵνα καὶ ἡ σὰρξ ἐκείνῳ συνεπαρθῇ. Ὁ ἀόρατος ἐν ὁρατῷ, ἵν' ὑποδύῃ τὰ ὁρώμενα. Ὡς ἄνθρωπος, ὑπὸ χρόνον· ὡς Θεός, πρὸ χρόνων. Τό, «ὡς», οὐχ ὁμοιώσει, ἀλλ' ἀληθείᾳ κατ' ἀμφότερα Θεὸς καὶ ἄνθρωπος. Θεὸς ἦν, ἄνθρωπος ἐγένετο κατ' οἰκονομίαν. Οὐ πρότερον τό, «ἐγένετο», καὶ τότε τό, «ἦν»· ἀλλὰ πρότερον τό, «ἦν», καὶ **[1496]** τότε τό, «ἐγένετο». Μὴ οὖν ἀναιρείτω τὸ δι' οἰκονομίαν τοῦ Μονογενοῦς τὴν θεότητα. Ταῦτα γὰρ αἱρετικῶν ἐκκλίσεις καὶ Μανιχαίων μανίαι. «Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός»[1]. Ἐγεννήθη διὰ γυναικός, ἵνα τοὺς γεννηθέντας ἀναγεννήσῃ. Ἐσταυρώθη ἑκών, ἵνα τοὺς μὴ σταυρωθέντας ἑκοντὶ καθέλῃ. Ἀπέθανεν ἑκών, ἵνα τοὺς ἀκουσίως ἀποθανόντας ἐγείρῃ. Ἐπεδέξατο δν οὐκ ἐπεδέχετο θάνατον, ἵνα τοὺς ὑπὸ θανάτου ζωοποιήσῃ. Κατέπιεν ὁ θάνατος ἀγνοῶν· καταπιὼν ἔγνω δν κατέπιεν. Κατέπιε ζωήν, κατεπόθη ὑπὸ ζωῆς. Κατέπιε τὸν ἕνα μετὰ πάντων, ἀπώλεσε διὰ τὸν ἕνα τοὺς πάντας. Ἥρπασεν ὡς λέων, συνεθλάσθη τοὺς ὀδόντας. Διὰ τοῦτο καὶ ὡς ἀσθενὴς καταφρονεῖται. Οὐκέτι γὰρ ὡς λέοντα φοβούμεθα, ἀλλ' ὡς δορὰν πατοῦμεν. Ἡ τοῦ Μονογενοῦς ἐκ Πατρὸς γέννησις σιωπῇ τιμάσθω. Οἶδε γὰρ αὐτὸς ὁ γεγεννηκώς, καὶ ὁ γεγεννημένος. Εἰδέναι γὰρ ὀφείλομεν ἃ χρὴ λαλεῖν, καὶ ἃ χρὴ σιωπᾶν. Οὐ πάντα ῥητὰ τῇ γλώττῃ, ἵνα μὴ ὁ νοῦς, καθάπερ ὀφθαλμὸς ὅλον τὸν ἥλιον θέλων ὁρᾶν, ἀπολέσῃ καὶ ὃ ἔσχε φῶς. Ἐν γὰρ τούτῳ γινώσκεις, ἐὰν γνῷς, ὅτι μὴ κατείληφας. Ἐκείνην μὲν οὖν τὴν γέννησιν, ἄρρητον οὖσαν, σιωπῇ τιμήσωμεν. Ἐὰν δὲ καὶ περὶ ταύτην ἀτονήσωμεν, μὴ λυπηθῶμεν. Ἐκείνη μὲν γὰρ φοβερὰ διὰ τὴν φύσιν, αὕτη δὲ δυσερμήνευτος διὰ τὸ ξένον. Ὁ Ἰωάννης φωνὴ μὲν ἐλέγετο βοῶντος ἐν τῇ ἐρήμῳ[2], ἄνθρωπος δὲ ἦν τὴν φύσιν. Μὴ οὖν ἀναίρει διὰ τὸ ὄνομα τοῦ Λόγου τὴν τοῦ Μονογενοῦς ὑπόστασιν. Ἀλλ' ἴσως φῄς. Διὰ τί οὖν ἐκ δεξιῶν καθήμενος ἐντιμότερός ἐστιν; Ἀλλ' εἰ μὲν δι' ἑαυτοῦ τὴν τιμὴν εἶχεν, ἐντιμότερος· εἰ δὲ λαβὼν παρὰ τοῦ γεννήσαντος, τοῦ δεδωκότος ἡ χάρις. Οὐκ ἦν ἄλλος Υἱός, ἵνα ἐξ ἀριστερῶν καθίσῃ. Εἷς ἀγέννητος ὁ Θεός, εἷς καὶ ὁ τούτου Μονογενής, Υἱὸς καὶ Θεός. Ἔπρεπεν οὖν μὴ τὸν Υἱὸν ὀρέγειν τῷ Πατρὶ τὴν δεξιάν, ἀλλὰ τὸν Πατέρα τῷ Υἱῷ. Δηλαδὴ ἀφωρισμένης τῆς παρ' ἡμῖν φύσεως, ἀφόρισον καὶ τὰ νοήματα. Ὁ μὲν γὰρ παρ' ἡμῖν πατὴρ ἐξ ἄλλου πατρὸς καὶ χρόνων δεῖται καὶ ἀνατροφῆς καὶ αὐξήσεως καὶ ἄλλης ἐπιμελείας καὶ οὐχ ὅπερ βούλεται πατὴρ γεννᾷ· ὁ δὲ Θεός, σύνδρομον ἔχων τῇ βουλήσει τὴν δύναμιν, ἐγέννησεν ἄξιον ἑαυτοῦ, ἐγέννησεν ὡς αὐτὸς οἶδεν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Α' Κορ. 3,11. 2. Μάρκ. 1,3. Ἡσ. 40,3.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

		Σελ.
Γεν.	1,26	30.34.40
	1,28	34
	1,31	94
	2,5	48
	2,7	34
	2,17	12
	2,24	52
	3,1	121
	3,5	96
	3,6	13
	3,7	97
	3,15	96.106.233
	3,17	12
	3,19	34.102.233
	3,21	175
	3,24	99.135.183
	4,2	214
	4,14	147
	6,4	181
	9,3	13
	9,4	127
	9,20–21	14
	17,14	134
	18,27	102.152
	25,27	126
	25,30–34	14
	27,15	127
	31,38	214
	37,28	86.111
	39,8–9	165
	39,8–10	86
	39,12	86
	42,7	26
	43,30	86
	45,11	86
	47,11	59
	47,12	86
	50,1	161
Ἐξ.	1,17	127
	2,1	181
Ἐξ.	3,1–4	214
	4,10	152
	12,23	137
	12,35	127
	14,22	18
	14,28	93
	16,3	18
	16,35	18
	17,6	18
	20,7	205
	20,10	16
	24,18	14
	31,18	14
	32,6	14.150
	32,27	106
	32,29	106
	34,28	18.25.176
	35,31	225
Λευϊτ.	16,29	12
	23,27	12
Ἀριθ.	12,1	103
	12,3	106.164
	14,23	18
	14,29	18
	16,5	235
	16,31	93
	24,9	232
	24,15–17	231
	25,6	81
	25,7–8	106
	25,17	106
Δευτ.	5,11	205
	8,3	92
	15,9	28.29.30.31
		32.33.34.35.37
	16,4	32
	22,28–29	230
	32,39	90.133

---

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο'.

		Σελ.
Δευτ.	34,8	161
Ἰησ. Ν.	7,1	81
Κριτ.	13,4–5	14
	13,14	14
	14,5	165
	14,6	25
	15,16	25
	16,3	25
	16,25	25
Α' Βασ.	1,11	25
	1,11–13	14
	2,3	182
	15,33	106
	16,11–12	214
	16,14	183
	17,4	181
	18,7	110
	24,3	111
	25,1	161
	26,7	111
Β' Βασ.	1,24	41
	1,26	41
	14,26	181
	15,4	127
	16,10	105
Γ' Βασ.	1,5	181
	3,12	117
	3,15	124
	5,9–10	117
	11,14	98
	12,4	181
	12,14	181
	17,1	15.25
	17,4–6	83
	17,12	84
	17,23	15
	18,22–40	106
	18,34	135
	18,45	81
	19,1	166
	19,8	176
	19,8–13	15
	20 (κεφ.)	72
Δ' Βασ.	2,11	135
	2,21	49
	4,8	15
	4,38–44	15
Β' Παρλ.	19,3	185
Τωβ.	3,6	52
	3,15	52
Ψαλ.	3,2	88
	4,2	88
	4,5	106
	4,7	137
	6,2	88.120
	6,6	192
	6,7	80
	7,9	126
	12,2	88
	13,1	88.89
	17,17	120
	17,32	188
	18,2	118
	18,4	118
	21,7	102
	21,19	104
	22,1	214
	22,4	168
	23,8	214
	25,1	126
	25,11	126
	32,15	28
	33,6	134
	33,9	129.134
	35,7	123
	36,8	107
	36,11	108.129
	36,25	26
	38,2	103
	38,3	103
	44,10–11	86
	48,8	193
	48,13	144
	49,21	138
	50,12	154
	50,13	154
	54,23	198
	57,2	124
	61,11	62.188
	63,2	19
	65,12	177
	68,3	132
	68,15–16	131
	72,23	163
	72,24	163
	72,27	95
	77,25	18.135
	80,4	11

		Σελ.
	82,4	127
	83,12	126
	94,8	139
	103,15	118
	103,24	50
	104,37	18
	106,26	98
	110,10	157
	111,6	171
	111,9	61.68
	113,13–14	149
	115,3	54.176
	115,12	54
	117,6	168
	117,9	44
	117,27	232
	118,1	188
	118,29	188
	118,53	56
	118,60	104
	118,71	54.120
	118,89	218
	118,103	129
	118,105	132
	118,120	119
	118,133	32
	119,5	41
	122,1	132
	127,5	142
	131,4	132
	138,6	37
	140,4	38
	141,8	52
	142,4	105
	142,10	154
	143,1	162
	148,12	128
	148,13	128
Ἰώβ	1,1	44
	1,21	44.104.191
		195.196
	2,10	197
	3,18	24
	15,11	54
	19,21	81
	30,25	44
	31,34	186
	33,4	225
Παρμ.	1,1	116.117
	1,2	117.119
	1,3	122.124
Παρμ.	1,4	126.127
	1,5	129.130
	1,7	119
	1,20–21	118
	1,28	119
	2,21	129
	3,14	119
	3,15	119
	3,19	118
	3,27	59
	3,28	64
	3,34	184
	3,35	129
	4,6	118.119.186
	4,8	129
	4,23	201
	4,25	128
	5,3	128
	6,5	30
	7,4	118
	8,10	120
	8,22	118
	8,27	118.139
	8,30	118
	9,2	27.118
	9,4	119
	9,8	187
	9,9	194
	9,12	119
	9,18α	128
	10,3	26
	11,4	129
	11,25	100
	11,26	61
	12,5	125
	12,23	126
	13,8	14.150
	13,13α	119
	14,6	119
	14,31	235
	15,1	100
	15,5	126
	16,7	157
	18,17	186
	19,23	119
	20,1	147
	20,10	124
	20,23	124
	22,1	60
	22,17	128
	23,6	112
	23,13–14	120
	23,14	92

		Σελ.
Παρμ.	23,29–30	146
	23,31	147
	24,13	128
	24,23	124
	25,12	128
	27,1	64
	27,12	126
	27,20	72
	28,1	167
	29,2	164
	30,16	72
	31,6	57
Ἐκκλ.	1,2	188
	1,8	72.152
	2,18–19	74
	3,1	132
	3,5	129
	4,4	112
	5,13	74
	7,2	56
	10,4	150
Σ. Σολ.	1,4	119
	3,6	58
	6,6	143
Σ. Σειρ.	9,13	30
	21,2	188
Ὡσ.	4,16	134
	10,12	60
Ἀμ.	3,6	90.92
	3,8	77
	4,7–8	78
	8,10	150
	8,11	26
Μιχ.	1,12	90.92
	7,1	41
	7,2	41
	7,9	120
Ἰωὴλ	3,1	128
Μαλ.	3,6	214
	3,20	54.227
Ἡσ.	1,16	134
	2,4	218
	3,16	144
	5,8	72
Ἡσ.	5,11	149
	5,11–12	147
	5,20	125
	7,10–12	229
	7,14	228.229
	9,2	54
	9,5	233
	10,14	46
	26,16	54
	28,1	19
	40,1	20
	40,3	237
	40,6–7	181.188
	44,24	214
	45,7	90
	50,5	120
	50,6	104
	52,11	151
	56,10	100
	58,4	11.19
	58,5	26
	58,6	11.19
	58,7	59
	58,9	88
	64,5	184
	65,1	167
	66,18	184
	66,24	35
Ἱερ.	4,22	139
	5,8	18
	8,23	57
	9,22	182
	9,22–23	182
	9,23	182
	10,24	54.120
	15,10	41
	16,16	32
	20,9	143
	38,19	120
Θρ.	1,1	41
Ἰεζ.	2,10	41
Δαν. Σωσ. (Θδτ)	50	128
Δαν.	1,4–6	201
	1,8	18
	1,8–16	15
	3,22	40
	3,40	176
	3,47–48	15

		Σελ.
Δαν.	3,49	195
	3,50	15
	3,94	15
	4,27	150
	6,8–19	15
	6,18	40
Δαν. (Θδτ.)	9,23	15
	10,2–3	15
Δαν. (Βήλ.)	30	83
Ματθ.	1,18	228
	1,19	228
	1,20	229
	1,21	229
	1,23	228.229
	1,24	230
	1,25	230
	2,1–2	231
	2,1–3	232
	2,2	231
	2,3	232
	2,9	231.232
	2,10	232
	2,11	232
	3,2	98
	3,12	215
	4,2	17.176
	4,19	155
	5,4	41.42.129
	5,5	57.108
	5,12	55
	5,18	87
	5,22	100.106
	5,25	140
	5,28	29.150
	5,39	205
	5,41	140
	5,44	140.205
	5,45	58
	6,2	186
	6,12	19.136
	6,16	12.23.25
	6,16–17	11
	6,17	11.25
	6,20	63.193
	6,21	69
	6,25	97
	6,26	98
	6,33	199
	7,3	33
	7,13	202
	7,24	121
Ματθ.	7,24–25	170
	7,25	122
	8,8–10	170
	9,9	155
	9,12	12
	10,16	121
	10,22	103
	10,25	69
	10,33	170.217
	11,11	17
	11,12	128
	11,28	134
	11,29	186
	11,30	134
	12,32	223
	12,37	170
	13,9	128
	13,45	131
	15,32	85
	16,18	195
	18,20	178
	18,24	136
	19,5	52
	19,16	66
	19,16–26	66
	19,17–21	35
	19,18–20	67
	19,20	67
	19,21	66.70.74
	19,22	66
	19,23	66
	19,26	66
	20,12	137
	23,33	100
	24,4	86
	24,29	51
	24,35	51
	25,1	141
	25,10–13	122
	25,26	131
	25,34	35.85
	25,34–36	65
	25,41	35.85
	25,41–43	65
	26,33	183
	27,28	176
	27,35	104.176
	27,54	170
	28,19	235
	28,20	230
Μάρκ.	1,3	237
	1,4	134

		Σελ.
Μάρκ.	1,5	134
	9,29	18
	9,35	107
	9,43	35
	9,45	35
	9,47	35
	10,44	186
Λουκ.	1,28	233
	1,44	233
	2,10	232
	2,11	232
	2,14	98.224.232
	2,28	233
	2,29	52
	2,38	233
	6,21	41.42
	10,2	78
	10,16	224
	10,18	98
	10,19	98
	10,25	66
	10,37	66
	12,8	186
	12,16–18	58
	12,18	58.63
	12,19	63
	12,20	60.63
	12,35–36	189
	13,8	32
	14,11	184
	14,18	142
	15,24	195
	16,8	121
	16,19–31	17
	16,20	193
	16,20–31	13
	16,23	17
	16,24	17.194
	16,25	75
	18,11	33
	18,11–14	184
	18,13	33
	19,22	170
	19,38	98
	19,41	41.42
	22,31–32	183
	23,28	55.170
	24,43	17
Ἰω.	1,1	156.157.215 217.236
	1,1–2	160
Ἰω.	1,2	153
	1,14	35.54.153.227
	2,1	40
	3,3–10	80
	3,5	135
	3,8	18
	4,6	43
	4,24	221
	5,18	219
	5,23	224
	5,29	73
	6,51	135
	8,14	218
	8,16	218
	8,17	218
	8,18	218
	8,48	104
	9,16	215
	10,11	214
	10,11–13	214
	10,14	215
	10,20–21	215
	10,27	215.216
	10,30	218
	11,11	42
	11,25	161
	11,35	41.42
	11,43	42
	11,48	182
	12,28	224
	12,31	98
	14,6	217.222
	14,7	218
	14,9	218
	14,10	216
	14,16	219.236
	14,17	222
	14,23	19
	14,30	98
	15,16	183
	15,18	234
	15,26	236
	16,7	236
	16,14	224
	16,15	153
	16,25	116
	16,28	218
	17,4	224
	18,22	107
	18,23	107
	19,23–24	215
	21,13	17

		Σελ.
Πράξ.	1,26	177
	2,38	134
	2,44	86
	5,15	155
	5,41	162
	7,22	121.201
	9,15	155
	9,20	177
	10,1	170
	14,22	140
	19,12	155
	21,13	170
Ρωμ.	1,18	73.107
	1,20	118.225
	1,22	181
	1,23	89
	1,26–27	89
	1,28	89
	1,29	110
	2,5	20
	2,15	125
	2,16	125
	5,3	41
	5,20	137
	6,2	140
	6,5	135
	6,13	138
	6,23	95
	8,2	154
	8,7	133
	8,9	221.222
	8,10	221
	8,11	150
	8,12	39
	8,15	222
	8,18	54
	9,22	93
	10,10	170
	11,20	183
	12,1	176
	12,12	41
	12,15	41.42.55
	12,19	100
	13,10	55
Α′ Κορ.	1,20	129.161
	1,30	124.129
	1,30–31	182
	1,31	182
	2,1–2	128
	2,6	213
	2,6–7	117
Α′ Κορ.	2,7	182
	2,10	182
	3,1–2	128
	3,11	237
	3,11–12	32
	3,16	26
	3,17	221
	3,23	224
	4,3–4	184
	4,5	29
	4,7	183
	4,9	179
	4,12–13	140
	4,15	77
	6,10	23.103.146
	6,19	221
	7,5	18
	9,24	32
	9,25	22.200
	9,26	32
	10,2	135
	10,31	49
	11,32	54.121
	12,7	223
	12,11	155
	15,10	182
	15,12–22	35
	15,26–55	35
	15,33	96
	15,42–44	44
	15,54	227
	15,56	138
Β′ Κορ.	1,9–10	183
	2,7	130.150
	3,18	233
	4,4	226
	4,10	39
	4,16	18.92.127.192
	5,1	192
	5,3	131
	6,9	120
	6,16	26
	6,17	151
	8,9	86.104
	9,8	194
	10,17	182
	11,6	161
	11,23	17
	11,27	40
	12,2	17
	12,9–10	40
	12,10	18

		Σελ.
Γαλ.	1,1	177
	2,20	39
	4,9	183
	5,17	18.23.31
	5,26	115
	6,1	186
	6,4	184
	6,7	76.138.170
Ἐφ.	2,2	98
	4,5	235
	4,9–10	229
	4,22	137.175
	4,25	171
	4,31	100
	4,31–32	108
	4,32	115
	5,3	11
	5,6	142
	5,18	147
	6,12	21.32.98
	6,13	32
	6,14	22
	6,16	22
	6,17	22
	6,19	116
Φιλιπ.	1,23	41
	2,6	219.232
	2,10	171
	2,11	171
	2,13	182
	3,9–11	182
	3,12	183
	3,13	32
	3,18	41.56
	3,19	148
	3,20	140.188
Κολ.	1,15	153.219.226
	1,20	98
	2,11	134
	2,12	135
	3,5	39
Α' Θεσ.	4,13	44
	5,3	142
	5,6	32
	5,8	22
	5,16	38.39.41.42
	5,16–18	38.49
Α' Θεσ.	5,17	39
	5,18	39.50.83
	5,21–22	121
Α' Τιμ.	1,18	32
	1,19	131
	1,20	120
	2,6	76
	3,15	31
	6,7–8	192
	6,16	153
Β' Τιμ.	1,8	32
	2,3	22.32
	2,4	32
	2,5	22.32
	2,19	235
	2,20	31.93
	2,26	30
	4,8	21.35
Τίτ.	2,11	227
Ἑβρ.	1,3	107.220.226
	1,14	224
	2,4	35
	5,14	27.118
	10,27	73
	11,10	173
	11,32	32
	11,33–34	15
	11,37	17
	11,38	17
	12,1	200
	12,7	120
	12,11	120
	12,22	173
	12,23	22
	13,18	18
Ἰακ.	4,6	184
	5,7	15
	5,17	25
Α' Πέτρ.	3,11	139
	5,3	186
	5,5	184
Α' Ἰω.	5,17	137
Ἀποκ.	14,13	44

ΠΙΝΑΞ
ΕΞΩΒΙΒΛΙΚΩΝ ΧΩΡΙΩΝ

Σελ.

Αἰσχύλου, Οἱ ἑπτὰ ἐπὶ Θήβας 592 204
Ἀρριανοῦ, Ἀνάβασις 4,7 205
» » 4,19 205
Γρηγορίου Θεολόγου, Ἔπη ἠθικά, Κατὰ θυμοῦ 25 PG 37,833 204
» » Ἐπιτάφιος εἰς Βασίλειον 60 PG 36,576 204
» » Ἐπιτάφιος εἰς Καισάρειον 6 PG 35,760 204
Διογένους Λαερτίου 1,5,88b 210
» » 6,2 207
» » 6,54 207
Δίωνος Χρυσοστόμου, Περὶ Βασιλείας λόγος 3, 102 209
Εὐριπίδου, Ἱππόλυτος 612 204
Ἡροδότου 7,26 206
» Γ', 102 209
» Κλειὼ (Πυθικὸς χρησμὸς) 1,47 223
Ἡσιόδου, Ἔργα καὶ Ἡμέραι 285-290 202
» » » » 293 199
Θεόγνιδος 227 209
» 1155-1156 209
» Ἐλεγεῖα 157 203
Ἰαμβλίχου, Πυθαγορικὸς Βίος 17,76 200
» » » 28,145 205
Ἰουλιανοῦ, Λόγος IV [VIII] 243d 201
Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Α', 4. ΒΕΠ. 7,243 207
Λουκιανοῦ, Πῶς δεῖ ἱστορίαν συγγράφειν κεφ. 28 202
Ξενοφῶντος, Ἀνάβασις 1,2 206
» » 1,8 206
» Ἀπομνημονεύματα 1,1 204
» » 1,7 204
» » 2,1 202
» » 2,20 202
Ὀδυσσείας δ', 384 210
» δ', 455 210
» ι', 495 204
» ιβ', 39 201
» ιβ', 154 201
Παυσανίου 6,5 206

Σελ.

Πλάτωνος, Γοργίας 458c 204
» » 482bc 204
» Εὐθύδημος 288b 210
» Νόμοι 2,659e 201
» Πολιτεία 272d 204
» » 305d 204
» » 335a 204
» » 338c 206
» » 361a 204
» » 361b 204
» » 364cd 202
» » 365c 210
» » 386d 204
» » 411a 208
» » 429de 200
» » 457a 202
» » 491c 199
» » 516b 200
» » 608b 200
» Πρωταγόρας 336b 204
Πλουτάρχου, Βίος Ἀλεξάνδρου 21 205
» Βίος Περικλέους 5 204
» Βίος Σόλωνος 3 203
» Περὶ παίδων ἀγωγῆς 14,10c 205
» Περὶ τῆς Ἀλεξάνδρου τύχης 6,338de 205
» Περὶ φυγῆς 8 211
» Συμποσιακὰ προβλήματα 709e 201
» Πῶς δεῖ τὸν νέον τῶν ποιημάτων ἀκούειν 14,36e 200
Σόλωνα (εἰς) Ἀπόσπ. 1, 5, 7 Diehl 209

Ciceronis, De Divinatione 1,40 204
Vergilii Georg. IV, 388 210

ΠΙΝΑΞ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Ἀρχιμ. Παντελεήμονος Μπεζενίτη).

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.

Ἀαρὼν 103,1.
Ἀβειρὼν 92,40.
Ἄβελ 214,1.
Ἀβεσσαλὼμ 181,11. Πανουργία — 127,15.
Ἀβιμέλεχ 181,32.
Ἀβραὰμ 17,23. 75,40. 102,39. 252, 16,18. 193,27. 229,16.
Ἀβροδίαιτος 17,4.
Ἀγὰγ 106,34.
Ἀγαθά. Στέρησις τῶν — 53,8 ἑξ.
Ἀγάπη 67,14,23. 125,24,25. — πρὸς Θεὸν 97,18.
Ἄγγελοι 95,4. 96,25,26. 222,14. Χοροὶ — 232,37.
Ἄγγελος 152,30. 153,7. 214,5.
Ἀγέννητον 222,41.
Ἀγέννητος σελ. 236. Εἷς — ὁ Θεὸς 237,33.
Ἀγέραστος 177,7.
Ἅγιοι. Δάκρυα — 41,37. Θάνατοι — 161,3,8. Θρῆνοι — 41,37.
Ἀγνωμοσύνη 225,1.
Ἀγρανθώνιος 210,33.
Ἀγωγή. — ἀστεία 31,3.
Ἀγώγιμος 72,32. 138,12. 173,33. 192,37.
Ἀγῶνες. Γυμνικοὶ — 206,7,26.
Ἀγωνίσματα 92,33.
Ἀγωνισταὶ 20,8.
Ἀδὰμ 12,29. 85,28. 94,41. 95,15. 183,14. 233,5. 237,1.
Ἀδελφότης 86,4.
Ἄδερ. — βασιλεὺς τῶν Σύρων 98,5.
Ἀδωναΐ 25,4.
Ἀδωνίας 181,10.
Ἀὴρ 223,30,32.
Ἀθάνατον 227,18.
Ἄθλησις 173,32. 174,2.
Αἰγύπτιοι 18,16. 121,7. 127,8. 201,4. 210,28. 217,4. Εἰδωλομανία τῶν — 14,18. Σοφία — 121,5.
Αἰγύπτιος 112,16. — σοφιστὴς 210, 14.
Αἴγυπτος 18,19. 26,33. 111,29,33. 117,13.
Αἱρετικὸς 215,18.
Αἰσθητικὸς 128,23-24.
Αἰσχύλος. — Οἱ ἑπτὰ ἐπὶ Θήβαις 204 ὑποσμ. στ.
Ἀκαδημία 209,1.
Ἀκακία σελ. 126.
Ἄκακοι 125,41. 126,9,29.
Ἄκακος σελ. 126.
Ἀκαρπία 73,3. 78,7. 81,3.
Ἀκαταγώνιστος 14,25.
Ἀκοὴ 36,37.
Ἀκρόαμα 152,23.
Ἀλαζονεία 182,29.
Ἀλέξανδρος 205,18. 206,23.
Ἀλήτης 102,20.
Ἀλλοτρίωσις 19,2. 26,19,22. 53,14. 67,24. 90,30. 96,11. 108,1-2. 115,1. 126,2. 190,43. 217,17-18. 219,28. 223,18. 235,3.
Ἀλογία 111,22.
Ἄλυπον. — τῆς ψυχῆς 46,10.
Ἀμαλὴκ 106,34.
Ἁμαρτία σελ. 92. 94,27. 95,12,13. Ἀρχὴ καὶ ῥίζα τῆς — τὸ αὐτεξούσιον 88,37 ἑξ. Τὸ κυρίως κακὸν ἡ — ἐκ τῆς ἡμετέρας προαιρέσεως ἤρτηται 92,30 ἑξ.
Ἁμαρτίαι 73,20.
Ἀμβακοὺμ 83,21.
Ἀμφιέσματα 97,10.
Ἀμὼς 77,5.
Ἀνάβλεψις 36,28.
Ἀνάγνωσις 134,14.
Ἀνάδοσις 146,37.
Ἀναλώματα 68,14. 70,3.
Ἀνάπλασμα 44,23-24.
Ἀνάστασις σελ. 133.
Ἀναχώρησις 134,4.

Ἀνδριὰς 163,10.
Ἀνελευθερία 208,6-7.
Ἀνεπινόητος 226,15-16.
Ἀνθολκαί 192,24.
Ἄνθρωπος 191,20. Δημιουργία τοῦ — 82,22 ἑξ. Ἐν τίνι μέγας ὁ — 182, 13 ἑξ. Ὁ ἔξωθεν — 192,5. Ὁ ἔσω — 128,28. 222,1. Ὁ ἔσωθεν — 192,6.
Ἄννα 25,4. 182,9. 233,31.
Ἀνόμοιοι. Ὁμιλία Μ. Βασιλείου κατὰ Σαβελλιανῶν καὶ Ἀρείου καὶ τῶν — 217,1 ἑξ.
Ἀνόμοιος 218,21. 219,35.
Ἀνομοιότης 218,5-6.
Ἀντέρεισις 37,2.
Ἀντίδικος 97,34. 103,7.
Ἀντίδοσις 46,2. 104,3.
Ἀντικείμενον 109,7.
Ἀντιλύπησις 101,23-24.
Ἀξίωμα 180,29,30.
Ἀξιώματα 180,29.
Ἀορασία 222,22.
Ἀόρατος 237,4.
Ἀπαιδεύτως 40,7. 43,39.
Ἀπανάστασις 190,24.
Ἀπανθρωπία 136,38.
Ἀπαύγασμα σελ. 220.
Ἀπεικόνισμα 158,39.
Ἀπερίγραπτα 159,20.
Ἀπήχημα 50,21.
Ἀποβίωσις 75,13.
Ἀπόβλητος 203,22.
Ἀπογραφή 22,5.
Ἀπόθετος 68,18.
Ἀποθῆκαι. — μαθημάτων 36,15-16.
Ἄποιος 146,27.
Ἄπολις 173,1.
Ἀπολυπραγμόνητος 230,20.
Ἀπόπτωμα 226,30.
Ἀποφυγαί 64,38.
Ἀπροσεξία 31,27. 131,36.
Ἀργεῖοι 210,1.
Ἄρειος. Ὁμιλία Μ. Βασιλείου κατὰ Σαβελλιανῶν καὶ — καὶ τῶν Ἀνομοίων 217,1 ἑξ.
Ἀρετὴ 139,1. σελ. 202. 203,28. 204,1. σελ. 210. 213,13. Τραχεῖα ἡ πρὸς — φέρουσα ὁδὸς 202,22-23.
Ἀρίστευμα 163,25.
Ἀριστοτέχνης 50,11-12.
Ἀρριανός. —, Ἀνάβασις 205 ὑποσμ. β.
Ἀρρώστημα 33,11,22. 50,1.
Ἀρχάγγελοι 95,4.
Ἀρχάγγελος 152,31. 153,7.
Ἀρχαιογονία 12,20-25.
Ἀρχέτυπος 165,31. 220,18.
Ἀρχὴ σελ. 156. σελ. 157. σελ. 158. 160,6,18. Περὶ τῆς σημασίας τῆς λέξεως — 157,8 ἑξ.
Ἀρχίλοχος 210,8.
Ἀρχιοινοχόος 148,14.
Ἀρχιτρίκλινος 148,17.
Ἄσμα. — τῶν ᾀσμάτων 117,13,21.
Ἄσματα. — πορνικὰ 144,7.
Ἀσσύριοι 217,4.
Ἀστεία. Ἀγωγὴ — 31,3.
Ἀστέρες 231,30,32. 232,38.
Ἀστὴρ 231,29. 232,1,13.
Ἀστρολογία 121,8. 231,28.
Ἀσυμπαθὴς 42,37. 44,17.
Ἀσφράγιστος 135,24.
Ἀσώματος σελ. 236.
Ἀταμίευτος 145,29.
Ἄτεκνοι 74,39.
Ἀτέκνωσις 141,16.
Ἀτέλεστον 49,15-16.
Ἄτρεπτον 227,18.
Ἀττικὴ 209,1.
Ἀτυφία 180,9.
Αὐτεξούσιον 95,29. 96,8. Ἀρχὴ καὶ ῥίζα τῆς ἁμαρτίας τὸ — 88,37 ἑξ.
Αὐτεξούσιος. — ὁρμὴ 94,31.
Αὐτόχειρ 111,1.
Αὐχμὸς 80,36. 81,32. 82,29. Ὁμιλία Μ. Βασιλείου ἐν λιμῷ καὶ — 77,1 ἑξ.
Ἀφορία 141,15.
Ἀχαάβ 72,13.
Ἄχαζ σελ. 229.
Ἄχαρ 81,28.
Ἀχρεῖον 199,18.

Βαβυλὼν 83,24. 195,3. 201,6.
Βαβυλωνία 15,19. 40,31.
Βαβυλώνιος. — λάκκος 83,18.
Βαλαὰμ 231,6. 232,4.
Βαλὰκ 231,7.
Βαλανεῖον 177,15.
Βαλάντιον 34,40.
Βάπτισμα σελ. 133. σελ. 134. σελ. 135. σελ. 137. 138,6. 139,9. 141, 36. 142,22. — Ἰωάννου εἰσαγωγικὸν 134,3. — μετανοίας 134,1. — υἱοθεσίας 134,2. — Χριστοῦ τελειωτικὸν 134,4. Ἡ παράδοσις τοῦ — 222,3. Μ. Βασιλείου ὁμιλία προτρεπτικὴ εἰς τὸ ἅγιον — 133,

1 ἐξ. Οἱ χωρίζοντες Πατρὸς καὶ Υἱοῦ καὶ τῇ κτίσει συναριθμοῦντες τὸ Πνεῦμα ἀτελὲς ποιοῦσι τὸ — 222,6-7. Περὶ τοῦ μὴ ἀναβάλλειν τὸ — 136,2 ἐξ.
Βαρλαάμ. — μάρτυς σελ. 161. Γενναιότης εἰς τὰ βασανιστήρια τοῦ μάρτυρος — 161,33 ἐξ. Ὁμιλία Μ. Βασιλείου εἰς — τὸν μάρτυρα 161,1 ἐξ.
Βασιλεία. — τῶν οὐρανῶν 131,20.
Βασίλειος. — ὁ Μέγας 226 ὑποσμ. Λόγος Α' — περὶ Νηστείας 11, 2 ἐξ. Λόγος Β' — περὶ Νηστείας 21,1 ἐξ. Λόγος περὶ Εὐχαριστίας — 38,1 ἐξ. Ὁμιλία — εἰς Βαρλαὰμ τὸν μάρτυρα 161,1 ἐξ. Ὁμιλία — εἰς Γόρδιον τὸν μάρτυρα 164,1 ἐξ. Ὁμιλία — εἰς τὴν Ἁγίαν τοῦ Χριστοῦ Γέννησιν 226,1 ἐξ. Ὁμιλία — εἰς τὴν ἀρχὴν τῶν Παροιμιῶν 116,1 ἐξ. Ὁμιλία — εἰς τὴν μάρτυρα Ἰουλίτταν 47,1 ἐξ. Ὁμιλία — εἰς τὸ «ἐν ἀρχῇ ἦν ὁ Λόγος» 156,1 ἐξ. Ὁμιλία — εἰς τὸν ἅγιον μάρτυρα Μάμαντα 212,1 ἐξ. Ὁμιλία εἰς τὸ «πρόσεχε σεαυτῷ» — 28,1 ἐξ. Ὁμιλία — εἰς τοὺς ἁγίους Τεσσαράκοντα μάρτυρας 172,1 ἐξ. Ὁμιλία — κατὰ μεθυόντων 143,1 ἐξ. Ὁμιλία — κατὰ ὀργιζομένων 100,1 ἐξ. Ὁμιλία — κατὰ Σαβελλιανῶν καὶ Ἀρείου καὶ τῶν Ἀνομοίων 217,1 ἐξ. Ὁμιλία — ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεὸς 88,1 ἐξ. Ὁμιλία — περὶ Πίστεως 152,1 ἐξ. Ὁμιλία περὶ πλεονεξίας — 58,1 ἐξ. Ὁμιλία — περὶ ταπεινοφροσύνης 180,1 ἐξ. Ὁμιλία — περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς καὶ περὶ τοῦ γενομένου ἐμπρησμοῦ ἔξωθεν τῆς ἐκκλησίας 187,1 ἐξ. Ὁμιλία — περὶ φθόνου 109,1 ἐξ. Ὁμιλία — πρὸς τοὺς νέους, ὅπως ἂν ἐξ ἑλληνικῶν ὠφελοῖντο λόγων 199,1 ἐξ. Ὁμιλία — πρὸς τοὺς πλουτοῦντας 66,1 ἐξ. Ὁμιλία — πρὸς τοὺς συκοφαντοῦντας ἡμᾶς ὅτι τρεῖς θεοὺς λέγομεν 234,1 ἐξ. Ὁμιλία — προτρεπτικὴ εἰς τὸ ἅγιον Βάπτισμα 133,1 ἐξ.
Βασιλεύς σελ. 214.
Βασιλὶς 148,17. 197,7. 202,37.
Βασκανία 109,5. 112,29. 114,30. 115,7.
Βεβαίωσις 200,35.
Βενιαμὶν 86,11.
Βεσελεὴλ 225,4.
Βηθλεὲμ 231,1,39.
Βίας 210,28.
Βίβλος 194,23.
Βίος σελ. 130. 131,2. σελ. 189. 190, 10. 191,37. 197,30,36. 198,6,16. 199,8,28. 200,3. 202,13. 204,17. σελ. 206. 210,11,31. 211,2,7. Οὐδὲν τῶν ἐν τῷ — τερπνῶν ἡμέτερον ὄντως ἐστὶν 190,7 ἐξ. Σταθμοὶ τοῦ — 189,10. Τὰ τοῦ — πράγματα 130,28.
Βιοτικά. Ματαιότης — 188,2-23. Ὁμιλία Μ. Βασιλείου περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς — καὶ περὶ τοῦ γενομένου ἐμπρησμοῦ ἔξωθεν τῆς Ἐκκλησίας 187,1 ἐξ.
Βλάβος 159,36.
Βόθυνοι 232,17.
Βόσκημα 144,38. 145,5,32. 165,14.
Βραβεῖον 140,30.

Γαβαωνῖται 127,15.
Γαβριὴλ 96,5. 233,30.
Γαλάται 41,7.
Γάμος 228,14,16.
Γαργαλισμὸς 35,24.
Γεδεὼν 181,32.
Γέλως 42,11.
Γέννησις. — Χριστοῦ 226,2,3. Ἀΐδιος καὶ ἄρρητος — Χριστοῦ 226, 26-27. Ἄφατος ῥήμασιν ἀνθρωπίνοις ὁ τρόπος τῆς θείας — 226, 16 ἐξ.
Γεννητὸν 223,1.
Γεωργία 141,15.
Γεωργοὶ 78,13.
Γῆ 223,30,31.
Γλῶττα 36,42.
Γολιὰθ 110,38. 181,9.
Γόρδιος. — μάρτυς 166,38. σελ. 168. Ὁμιλία Μ. Βασιλείου εἰς — τὸν μάρτυρα 164,1 ἐξ.
Γράμμα 173,35.
Γραμματεῖον 80,40.
Γραφαὶ 109,38. 221,14.
Γραφὴ 91,1. 98,21. 100,25. 130,18. 194,28. 226,12. 230,6.
Γρηγόριος Θεολόγος. — Ἔπη ἠθι-

κά, Κατὰ θυμοῦ 204 ὑποσμ. η. — Ἐπιτάφιος εἰς Μ. Βασίλειον 204 ὑποσμ. στ. Ἐπιτάφιος εἰς Καισάρειον 204 ὑποσμ. στ.
Γυνή. — Ἰώβ 197,15,17. — φιλόπλουτος 70,7.

Δαβίδ 41,19. 52,22. 54,15. 80,34. 88,4. 92,36. 102,41. 103,29. 104, 37,39. 105,2. σελ. 110. 116,25. 117,14. 126,13. 188,29. 192,30. 208,9. 214,9.
Δαθὰν 92,39.
Δάκρυον σελ. 43. 56,37,40. 57,2. — Κυρίου 42,28. 43,8,29.
Δάνειον 16,24.
Δάνεισμα 42,15. 62,13. 84,19.
Δανιὴλ 15,30. 18,22. 128,13. 201,6.
Δαπάνημα 181,6.
Δαρεῖος. Θυγατέρες — 205,18.
Δέλτα 79,25. 82,35.
Δευσοποιοὶ 200,25.
Δευτερονόμιον 230,7.
Δημοκατάρατος 61,4.
Δῆμος 71,16. 81,27,28. 85,41. 169, 29. 180,37. 181,1.
Δημοσιεύω 113,17. 228,40.
Δημότης 140,18.
Διάβολος 95,40. σελ. 96. 97,31,34. σελ. 98. 107,7. σελ. 109. 110,23. 180,13. 181,16. 184,20. 187,13. 194,36. 195,4. 196,4,28. 198,3. σελ. 214. — καταπεσὼν διὰ τοῦ φθόνου 112,5. Πόθεν — προσηγόρευται 98,5 ἑξ. Ποία ἡ φύσις τοῦ — 98,8 ἑξ.
Διάγραμμα 166,8.
Διαγωγὴ 12,37. 50,24. 52,12,26. 54,14. 86,23. 169,4.
Διαθήκη 76,6. Νέα — 83,8. 86,6. Παλαιὰ — 83,8. 86,6.
Δίαιτα 206,31.
Διακονία 160,27.
Διάκρισις 51,2.
Διακριτικὸς 40,16.
Διαλεκτικὴ 122,27.
Διατριβὴ 51,39.
Διδασκαλεῖον 43,40. 79,25. 165,4. 167,19. 213,36. 218,24.
Διδασκάλιον 80,19.
Διδάσκαλος 82,34-35.
Διήγημα 78,6. 85,39.
Δικαιοκρισία 20,12.
Δικαιοσύνη 122,35,36. σελ. 123. σελ. 125. Ἀληθὴς — 123,9,18. σελ. 124. Γνῶσις — 123,1. Ἡ ἀληθὴς — ἐστὶν ὁ Χριστὸς 124,10. Ἡ ἐκ Θεοῦ — 182,25. Θεία — 123,26.
Δικαιωτήριον 207,12.
Διογένης 207,28. 209,27. — Λαέρτιος 207 ὑποσημ. β. 210 ὑποσμ. γ.
Διχοτομία 52,8.
Δίων. — Χρυσόστομος 209 ὑποσμ. δ.
Δοκίδες 232,16-17.
Δοτὸς 25,6.
Δυσανάφορος 145,13.
Δυσέντευκτος 64,13.
Δυσκληρίαι 81,37.
Δωρικὴ. — παροιμία 202,12.
Δώριον (μέλος) 208,13.

Ἑβραῖοι 98,3. 147,39. Ἄρρενα τῶν — 127,10. Πανουργία — 127,7.
Ἐγκώμια. — ἀγίων σελ. 165. — μάρτυρος σελ. 212.
Ἔθνος 231,3.
Εἰδωλολατρία 106,21. 127,14.
Εἰρήνη σελ. 91.
Εἰσαγώγιμος 47,32.
Ἑκατόνταρχος 170,17-18.
Ἐκδημία 161,10.
Ἐκκλησία 23,6. 31,33. 86,39. 114, 12. 133,33. 140,17. 152,22. 161, 22. 166,6. 194,37. 195,5. 198, 19. 213,14. 214,31. 216,26. 234, 25. — Θεοῦ 233,26. — Θεοῦ ζῶντος 31,36. — Κυρίου 235,21. Ἡ τοῦ Θεοῦ — 215,15.
Ἐκκλησιαστὴς 74,27. 116,13,17. 129, 6. 152,23.
Ἐκπύρωσις 82,30.
Ἐκφόρια 62,41.
Ἐλεημοσύνη 83,40 ἑξ. 150,33.
Ἐλισάβετ 233,30.
Ἐλισσαῖος 15,9. 49,5.
Ἔλλαμψις 18,25.
Ἕλλην 167,14.
Ἕλληνες 85,39. σελ. 217.
Ἑλληνική. — πολυθεΐα 217,20.
Ἑλληνισμὸς 217,3.
Ἑλωὶ 25,4.
Ἐμμανουὴλ 229,23,26. 233,7.
Ἐμπαράσκευος. — ἀκολ 212,8.
Ἐμπορία 62,12. 141,15. 193,1.
Ἔμποροι 21,36.
Ἐμπρησμός. Ὁμιλία Μ. Βασιλείου περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς καὶ περὶ τοῦ γενομένου

— ἔξωθεν τῆς Ἐκκλησίας 187,1 ἐξ.
Ἐναλλαγὴ 16,37. 18,35. 133,9.
Ἐνανθρώπησις. — Κυρίου 233,11.
Ἐναντίωσις 91,9. 96,29.
Ἐνδιάθετος. — λόγος 158,16.
Ἔνδικος 85,9.
Ἔνδροσος 15,27.
Ἐνδύματα. Διατὶ οὐκ εὐθὺς τῷ ἀνθρώπῳ συγκατεσκευάσθησαν τὰ — 97,12 ἐξ.
Ἐνθήκη 83,33-34.
Ἐννοηματικός. — λόγος 158,17.
Ἐνοίκησις 150,22.
Ἔντευξις 85,22.
Ἐνύπνια 50,23.
Ἐξηκεστίδης 209,22.
Ἐξομολόγησις 31,24.
Ἔξωθεν. Τὰ — 201,9. 212,28-29.
Ἔπαρσις 180,23. 181,14.
Ἐπίκρυψις 116,31.
Ἐπίνοια 12,39. 62,12. 68,14,23-24.
Ἐπισπορὰ 113,4.
Ἐπίστασις 29,33.
Ἔπος 199,15.
Ἐργαστήριον 169,25.
Ἐρυθρά. — θάλασσα 93,33.
Ἔρως. — εὐσεβείας 162,5.
Ἑστίασις 161,25.
Ἑτερούσιος. Ὁ — λέγων τὸν Υἱὸν πρὸς τὸν Πατέρα δύο θεοὺς κηρύσσει 220,7 ἐξ.
Εὖα 12,31. 13,6. 127,22. 136,23.
Εὐαγγέλια 156,3,5. 160,16.
Εὐαγγέλιον 31,32. 32,14,28. 75,1. 77,20. 125,35. 128,3,8. 139,22. 143,10. 157,4,37. 228,10. — τῆς βασιλείας 98,32.
Εὐανάκλητος 105,36.
Εὐεξίαι 17,8.
Εὐημερία 109,34. 130,34.
Εὐθηνία 58,3. 130,34. 197,2.
Εὐκλείδης 204,30. 205,14.
Εὔνοῦχος 139,19.
Εὐπατρίδης 53,40.
Εὐποιία 60,15. 111,13.
Εὐπολίτευτος 164,27.
Εὐριπίδης 204,18. — Ἱππόλυτος 204 ὑποσμ. ε.
Εὐσέβεια 76,28. 196,36. σελ. 213.
Εὐσχημοσύνη 20,1. 143,35-36.
Εὐχαριστία. Μ. Βασιλείου λόγος περὶ — 38,1 ἐξ.
Ἐφραΐμ 134,28.
Ἔχθρα 125,24.
Ζαμβρὶ 81,29. 106,30.
Ζαχαρίας 230,34,35. 232,36.
Ζεὺς 201,30. 210,1.
Ζιβύνη 218,29.
Ζωγράφος 165,29. 172,26.
Ζωή. Ἡ παροῦσα — 189,5.

Ἡδοναὶ 35,26. 145,30,41. 149,31. 188,23. 209,10,17. 210,7. Ὅτι οἱ μεθύοντες ἐπιρρεπεῖς εἰσι πρὸς — 145,30 ἐξ.
Ἡδονὴ 35,23. σελ. 138. 146,27,37. 150,13. 190,36.
Ἠλεῖοι 210,1.
Ἠλίας 14,38. 25,12. 81,17,19. 83,9. 106,37. 135,26,31. 166,34. 176, 28.
Ἥλιος σελ. 223. 224,2. Κίνησις — 223,37.
Ἥρα 210,1.
Ἡρακλῆς σελ. 203.
Ἡρόδοτος 206 ὑποσμ. β. 209 ὑποσμ. α.
Ἡρῴδης 231,1.
Ἡσαΐας 11,12. 147,34.
Ἡσαῦ 14,22.
Ἡσίοδος 199,14. 202,20. — Ἔργα καὶ Ἡμέραι 199 ὑποσμ. α. 202 ὑποσμ. β.

Θάνατοι. — ἁγίων 161,3,8.
Θάνατος 55,26. 89,33. σελ. 95. σελ. 133. σελ. 227. — ἀπροσδόκητος παιδὸς 50,31 ἐξ. — συζύγου 51, 40 ἐξ. Ἀωρίαι — 45,3 ἐξ. Οὐχ ὁ Θεὸς ἔκτισε — ἀλλ' ἡμεῖς ἑαυτοῖς ἐκ πονηρᾶς γνώμης ἀπεσπασάμεθα 95,17 ἐξ. Ὕπνος τοῖς δικαίοις ὁ — 161,10.
Θέατρον 167,35. 168,7-8. 234,16.
Θεόγνις 203,17. 209,24. 209 ὑποσμ. β. γ. — Ἐλεγεῖα 203 ὑποσμ. β.
Θεοὶ 201,24,28. Ὁμιλία Μ. Βασιλείου πρὸς τοὺς συκοφαντοῦντας ἡμᾶς ὅτι τρεῖς — λέγομεν 234,1 ἐξ.
Θεολογία 124,9.
Θεὸς 12,36. σελ. 14. 15,14. σελ. 26. 28,3. σελ. 29. 33,34. σελ. 34. σελ. 35. σελ. 36. 37,9. 38,10. σελ. 40. 41,10,37. 42,18. 44,4. 46,2,8. 47,19. σελ. 48. σελ. 49. σελ. 50. 52,11. 53,11. 54,25. 55,5,15. σελ. 58. 59,31. 60,1,35. 63,18. σελ. 64. 76,8,13. 77,3. σελ. 79.

σελ. 80. 81,6. σελ. 82. σελ. 83. 84,13,15. 85,10. σελ. 88. σελ. 89. σελ. 90. 91,1,15. σελ. 92. σελ. 93. σελ. 94. σελ. 95. σελ. 96. σελ. 97. 98,34. 99,4. 105,1. 106,6,35. 109,3. σελ. 110. 111,27. 113,2. 114,2,5. 115,14,18. σελ. 117. σελ. 118. σελ. 120. 123,25. 124,10. 125,34. 127,18. 128,16. σελ. 133. 135,38. 136,16,22. 137,19. σελ. 138. σελ. 139. 141,19. σελ. 142. σελ. 143. 148,3. 150,22,23. 151, 8. σελ. 152. σελ. 153. 154,38. 155,14,18. σελ. 156. σελ. 159. σελ. 160. 162,36. 166,36,37. 167, 3. 168,16,32. 169,39,40. σελ. 170. 171,7. σελ. 173. 174,21,40. 175,1. 178,15. 179,7. σελ. 180. σελ. 181. σελ. 182. σελ. 183. σελ. 184. σελ. 186. σελ. 188. 191,28. 192,9. 194,28. 197,25. 203,17. 207,13. 214,4. σελ. 215. 216,18. 217. σελ. 219. 220,41. σελ. 221. σελ. 224. 225,4. 226,32. σελ. 227. σελ. 228. σελ. 229. σελ. 231. σελ. 232. σελ. 233. σελ. 236. σελ. 237. — ἀόρατος 36,1. — ἀσώματος 36,1. — ἐν σαρκὶ 227,3. — Λόγος 116, 23. 218,1. σελ. 227. Ἀγαθότης — 82,28. 88,9,20. Ἅγνοια — θάνατός ἐστι ψυχῆς 133,24. Ἀλλοτρίωσις ἀπὸ — 108,1. 223,18. Ἀνοχὴ τοῦ — 93,28. Ἄρνησις τοῦ — 88,19. Βασιλεία — 67,5. 103,22. 135,1. Γνῶσις περὶ — 121,14. Δικαία τοῦ — κρίσις 90,14. 91,29. 92,38. Εἷς ἀγέννητος ὁ — 236,21. Ἐλπὶς πρὸς — 83,1,11. Ἐνανθρώπησις — 54,25 ἑξ. Ἐντολὴ — 51, 1. Ἐπίγνωσις — 215,30. Θέλημα τοῦ — 132,31. Κατ' εἰκόνα τοῦ — 94,34. Κρίσις — 142,19. 184,7. Νόμος τοῦ — 125,20. 133,17. Οἶκος — 31,35. Ὁμιλία Μ. Βασιλείου ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ — 88,1 ἑξ. Ὅτι δυνατός ἐστιν ὁ — 82,20 ἑξ. Ὅτι ὁ — τὰς πληγὰς ἐνίησιν, οὐκ ἐκτρῖψαι ζητῶν, ἀλλ' ἐπανορθῶσαι σπουδάζων 78,25 ἑξ. Οὐσία — 215,27. Περὶ — ἔννοια 118,2. Πρόνοια — 83,30. Προστάγματα — 120,20. Τοῦτο γνῶσις —, τήρησις ἐντολῶν — 215,26. Φόβος — 119,25. 125,8. 143,25. 157,19. Φύσις — 153,11. Χάρις τοῦ — 182,37. 227,36.
Θεότης σελ. 227. Κατὰ ποῖον τρόπον ἐν σαρκὶ ἡ — 227,8 ἑξ.
Θεοτόκος 230,22.
Θεοφάνια 233,3.
Θεσσαλονικεῖς 38,3.
Θεωρία. — τοῦ ὄντος 201,5.
Θῆλυ. Ἀρετῆς δεκτικὸν τὸ — ὁμοτίμως τῷ ἄρρενι παρὰ τοῦ κτίσαντος γέγονε 48,30 ἑξ.
Θηριομάχος 60,31.
Θλίψεις 140,31,33.
Θυμὸς 19,7. 35,16,17. σελ. 100. σελ. 101. 102,2,24. 103,15. 104,2. σελ. 105. σελ. 106. σελ. 107. 108, 8. Διαφορὰ μεταξὺ — καὶ ὀργῆς 107,8-15. Περὶ τοῦ πῶς δύναται ὁ ἄνθρωπος νὰ κατανικήσῃ τὸ πάθος τοῦ — 107,16 ἑξ. Πότε ὁ — ἐστὶν χρήσιμος 105,34 ἑξ. Πότε ὁ — οὐκ ἁμαρτίας ἐστὶν πρόξενος, ἀλλὰ σωτηρίας 106,12 ἑξ.

Ἰακὼβ 26,33. 86,8. 126,20. 161,4. 214,6. 231,12.
Ἰάμβλιχος. — Πυθαγορικὸς βίος 200 ὑποσμ. β. 205 ὑποσμ. γ.
Ἰδιότης 216,11.
Ἰδιώματα 78,36.
Ἰεζάβελ 106,39.
Ἰεζεκιὴλ 41,9.
Ἱερεμίας 41,8. 56,39. 182,9. Θρῆνοι — 234,17. Ὑπόδειγμα — 143,22.
Ἱεριχούντιοι 49,5.
Ἱεροσόλυμα 232,1.
Ἱεροσολυμῖται 85,8.
Ἱερουσαλὴμ 21,4. 41,25. 90,38. 91, 32. 92,10. 98,35. 117,20. 142,29. — ἐπουράνιος 46,7. Ἡ ἄνω — 173,8. Θυγατέρες — 55,21.
Ἱεροψάλτης 88,1.
Ἰησοῦς 27,10. 32,7. 46,22. 57,30. 99,7. 108,12. 115,18. 129,29. 134,10. 151,8. 155,22. 160,27. 170,12. 171,7,8. 177,29. 179,11. 225,6. 229,15,19. 233,39. 237,11. Νέκρωσις τοῦ — 39,29.
Ἰλασμὸς 12,22. 184,1,3.
Ἰουδαία 83,24. 134,2. 231,1,14. 232, 23.
Ἰουδαϊκή. — ἄρνησις 217,20.
Ἰουδαῖοι 16,10. 26,35. 91,34,36.

161,5. 162,8. 167,34. 170,20. 181,37. 215,14. 217,11,17. 230, 37. σελ. 231. 232,2. Φθόνος — ἐναντίον Σωτῆρος 111,35 ἑξ.
Ἰουδαῖος 134,34. 167,14.
Ἰουδαϊσμὸς 217,3,25.
Ἰούδας 177,26.
Ἰουλιανός. — Λόγος 201 ὑποσμ. β.
Ἰουλίττα. — μάρτυς 47,2,10. Μ. Βασιλείου ὁμιλία εἰς τὴν μάρτυρα — 47,1 ἑξ.
Ἱππόδρομος 168,8.
Ἱπποτρόφος 53,41-42.
Ἰσαὰκ 229,16.
Ἰσάγγελος 55,5.
Ἰσοστάσιον 136,20-21.
Ἰσραὴλ 12,23. 81,30. 107,1. 116,25. 135,6,11. 170,27. 181,27,31. 217, 5. 231,8,13. 229.17. Θυγατέρες — 41,21.
Ἰσραηλῖται 127,15. — νέοι 78,2. Πτῶσις — 184,22.
Ἰωάννης 98,31. 133,36. 134,5. 155, 10,14. 156,8. 233,31. 237,28. — Βαπτιστὴς 17,27. 185,12.
Ἰὼβ 24,26. 44,8. 58,11. 81,33. 83, 32. 92,34. 186,8. σελ. 198. — καρτερία 195,37.
Ἰωὴλ 128,11.
Ἰωνάθαν σελ. 41.
Ἰωνᾶς 79,42.
Ἰωσαφὰτ 184,40.
Ἰώσηπος 85,7.
Ἰωσὴφ 59,40. 86,7,12. 111,21. 161, 4. 165,2. σελ. 228.

Κάθαρσις 208,2.
Κάϊν 110,23. 138,33. 147,28.
Κακά. Ὁμιλία Μ. Βασιλείου ὅτι οὐκ ἔστιν αἴτιος τῶν — ὁ Θεὸς 88,1 ἑξ.
Κακεντρέχεια 121,28.
Κακία 203,28.
Κακὸν σελ. 93. σελ. 94. — ἐστι ἡ τοῦ Θεοῦ ἀλλοτρίωσις 96,11. Οὐ γεννητὸν τὸ — 94,9. Οὐκ ἀγέννητον τὸ — 94,6. Στέρησις ἀγαθοῦ ἐστι τὸ — 94,2 ἑξ. Τὸ κυρίως — ἡ ἁμαρτία ἐκ τῆς ἡμετέρας προαιρέσεως ἤρτηται 92,30 ἑξ.
Κάκωσις 92,13. 93,37.
Καλλωπιστὴς 207,29,37.
Κάρμηλος 83,9.
Καρπογονία 32,13.
Καρτερικὸς 177,2.
Καταγώγιον 36,23-24.
Καταθυμία 51,30.
Κατάλογος 22,2. 140,17. 148,35. 166,5. 173,17-18.
Κατανόησις 55,6.
Καταπιλῶ 145,24.
Κατασοφισμὸς 181,28.
Κατάστασις 157,18. Ἀγγελικὴ — 42, 16.
Κατήχησις 133,36.
Καύχησις. — ἐν Θεῷ 182,21.
Κεῖος. — σοφιστὴς 203,20.
Κειρίαι 42,32.
Κενεμβατῶ 226,22.
Κεφαλὴ 36,30.
Κεφαλλῆνες 202,36.
Κήρυγμα 166,7.
Κλείνιος 205,24.
Κλήμης. — Ἀλεξανδρεὺς 207 ὑποσμ. α.
Κόλασις. — αἰώνιος 129,14.
Κομῆται 232,13,16.
Κόμμα. — Ἰουδαϊκὸν 214,38.
Κορίνθιοι 128,1.
Κορνήλιος 170,27.
Κότινος 206,35.
Κρίματα 125,16,29.
Κρίσις. — Θεοῦ 197,40.
Κριτήριον σελ. 125.
Κριτὴς 124,25,29. — τῆς ἀνθρωπίνης ζωῆς 198,19.
Κτιστὸν 223,1.
Κυβέρνησις 132,15.
Κύριος 11,14. 15,1,6. 17,30. 19,39. 20,7. 23,25. 25,4,33. σελ. 26. 27,10. 31,40. 33,24. 41,24. σελ. 42. σελ. 43. σελ. 44. 45, 35. 46,22. σελ. 54. 55,18. 57, 29. 63,7,22. 66,8. 67,12. 74,22. 75,1,3. 76,4. 77,3. 78,25. 82,14. 84,2,10. σελ. 85. σελ. 88. 86,18. 90,38,39. 91,35. 92,10,12. 97,20, 32. σελ. 98. 99,7. 100,12. 104, 27,30. 105,1. 106,16,27. 107,17, 26. 108,12. 115,18. 116,10,33. 117,8. 118,7,15. σελ. 120. 121, 1,24. 122,3. 124,38. 126,15,17. 128,11,32. σελ. 129. 133,14. σελ. 134. 138,31. 139,34,36. σελ. 140. 147,37. 149,27. 150,17,40. 155, 22. 160,28. 162,36. 164,5. 168, 33. σελ. 170. 171,7. 173,14,41. 175,39. σελ. 176. 177,29. 178,12, 14. 179,5,12. σελ. 181. σελ. 182.

183,11,21. 184,14,28. 186,25. 188,30. σελ. 195. σελ. 196. 197, 22,34. 198,30. σελ. 214. 215,7,8. 218,8,38. 219,18. 221,14. 222, 24,34. 225,6. σελ. 229. 230,26. 231,9,16. 232,31. σελ. 233. σελ. 234. σελ. 235. 236,17. Ἀνθρωπίνη σὰρξ τοῦ — 227,23. Γέννησις — 230,16. 231,27. Δάκρυον — 42,28. 43,8,28. Ἐνανθρώπησις — 228,21. 233,11. Ἐντολαὶ τοῦ — 132,23. Ἡ διὰ σαρκὸς ἐπιφάνεια τοῦ — 228,35. Κύησις — 230,37. Ὁ — ἐστι καὶ ποιμὴν καὶ βασιλεὺς 214,13. Ὀργὴ — 120,37. Ποιμὴν ὁ — 214,31. Πρόσωπον — 137,17. Ταπεινοφροσύνη τοῦ — 185,7 ἑξ. Φόβος — 119,17. 157,14,17. Χεὶρ — 81,34.

Λάζαροι 193,24.
Λάζαρος 13,5. 17,23. 41,24. σελ. 42. 171,27.
Λαιμαργία 59,28.
Λαμπτήριον 227,7-8.
Λειποτάξιον. — γραφὴ 22,6.
Λευΐται 106,21. 150,38.
Λέων 232,6,8. 237,18,19.
Λίβανος 232,4,12.
Λιθίδια 73,41. 74,1.
Λιμὸς 78,6. σελ. 84. 85,30. Ἀποτελέσματα — 84,21 ἑξ. Ὁμιλία Μ. Βασιλείου ἐν — καὶ αὐχμῷ 77,1 ἑξ. Πάθος — 85,3.
Λογογράφος 172,25.
Λόγοι. Ἱεροὶ — 200,14. Στροφαὶ — σελ. 122.
Λογοποιοὶ 200,23.
Λόγος 54,26. σελ. 156. 157,5,34. σελ. 158. σελ. 159. σελ. 160. 215,39. 216,1,4. σελ. 217. 218,1. 221,25. σελ. 236. 237,2,29. Ἀληθὴς — — 122,10. Ἀνθρώπινος — 158,19. Διὰ τί ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἀποκαλεῖται — 158,33 ἑξ. Ἐνδιάθετος — 158,16. Θεὸς — 116, 23. 218,1. σελ. 227. Ὁ ζῶν — 153,20. Ὁμιλία Μ. Βασιλείου εἰς τὸ «ἐν ἀρχῇ ἦν ὁ —» 156,1 ἑξ. Ὅτι ὁ ἀνθρώπινος — γέννημά ἐστι τοῦ νοῦ 159,5 ἑξ. Ὅτι οὐκ ἐν ἀρχῇ ἦν ὁ ἀνθρώπινος — 158, 23. Ὁ τοῦ Θεοῦ — ζωή ἐστι καὶ ἀλήθεια 217,35. Περὶ τοῦ ὅτι Θεός ἐστιν ὁ — 159,38 ἑξ. Περὶ τοῦ ποῦ ἐστιν ὁ — 159,18 ἑξ. Τεχνικὸς — 158,17.
Λοιδορία σελ. 103. 125,23,24.
Λοίδοροι 103,22.
Λοίδορος 103,18,25.
Λουκᾶς 66,5.
Λουκιανός. — Πῶς δεῖ ἱστορίαν συγγράφειν 202 ὑποσμ. α.
Λύδιον. — ψῆγμα 209,14-15.
Λῦπαι 82,40. 196,20.
Λύπη 19,8. 82,42.

Μάγοι σελ. 231. σελ. 232. 233,23.
Μαδιανῖτιδες 81,29. 106,30.
Μαδιανίτις 106,30.
Μαδιηναῖοι 106,19.
Μάθημα 202,11.
Μαθήματα. Ἀποθῆκαι — 36,15-16.
Μαθουσάλας 210,34.
Μακροβίωσις 30,27.
Μακροθυμία 93,23. 125,23.
Μάμας. — μάρτυς 213,1,2. Ὁμιλία Μ. Βασιλείου εἰς τὸν ἅγιον μάρτυρα — 212,1 ἑξ.
Μαμμωνᾶς 79,20.
Μανιχαῖοι 237,10.
Μαργῖτης 207,1.
Μαρία 103,2. σελ. 228. 230,18,24. 232,37. 233,29.
Μαριὰμ 229,3,6. 230,36.
Μαρκίων 220,6.
Μαρσίας 206,15.
Μάρτυρες 161,11. 164,5,10. Ἐγκώμιον — 172,33. Τεσσαράκοντα — 172,2.
Μάρτυς σελ. 161. σελ. 162. σελ. 163. 164,2,11. 165,33. — τῇ προαιρέσει 172,7.
Ματθίας 177,26.
Μεγαλοδωρεὰ 40,11. 110,21.
Μεγαλόνοια 39,18.
Μέθη σελ. 19. 23,31. σελ. 26. 57, 21,23. σελ. 144. σελ. 146. σελ. 147. σελ. 148. 149,16,27. 150,30. Ἀποτελέσματα τῆς — 147,14 ἑξ. Γυναῖκες ἀσχημονοῦσαι ὑπὸ τῆς — 150,11 ἑξ. Ὅτι ἀποκτηνώνει ἡ — τὸν ἄνθρωπον 144,34 ἑξ.
Μεθύοντες. Ἐλεεινὸν θέαμα οἱ — 148, 34 ἑξ. Ὁμιλία Μ. Βασιλείου κατὰ — 143,1 ἑξ. Ὅτι ἀκόρεστοί εἰσιν οἱ — 146,17 ἑξ. Ὅτι οἱ — ἐπιρ-

ρεπεῖς εἰσι πρὸς ἡδονὰς 145,30 ἑξ. Ὅτι οἱ — ὁμοιοί εἰσι τοῖς δαιμονιζομένοις 146,13 ἑξ. Περιγραφὴ σωματικῆς καταστάσεως — 145,40 ἑξ. Συμπεριφορὰ — 145, 4-29. Συμπόσια — 149,12 ἑξ.
Μέλισσαι 164,3. 201,39. 202,2.
Μελῳδία 208,6,16.
Μετάνοια 31,26. 80,31,32.
Μετάπτωσις 17,8.
Μετεωρολογία 121,9.
Μηνιάματα. — αἱρετικὰ 216,28.
Μήτηρ. — μάρτυρος σελ. 178.
Μίλων 206,12.
Μῖμος 60,31.
Μισθωτοὶ σελ. 215. — ποιμένες 214, 35,39.
Μνήμη. — ἁγίων 165,22,24.
Μνηστεία. — Μαρίας μετὰ τοῦ Ἰωσὴφ σελ. 228.
Μοιχεία 150,17.
Μονογενὴς 40,20. 153,29,34. 156,34. 158,27. 159,10,43. 160,15. 217, 21. 221,30. 226,21. 229,13. 236, 34. σελ. 237. Ἡ τοῦ — ἐκ Πατρὸς γέννησις σιωπῇ τιμάσθω 237,20. Θεότης — 154,4. 237,9. Ὑπόστασις τοῦ — 237,30.
Μονότροπος 122,11.
Μουσικὴ 206,8,26.
Μουσικὸς 204,13.
Μυσός. Πύθιος ὁ — 209,30.
Μωυσῆς 14,6. 18,12. 25,3. 28,25. 78,2. 83,25. 90,40. 91,19. 103,1. 106,20,26. 121,4. 135,6,10. 152, 17,19. 164,29. 201,3. 214,2,6. Τελευτὴ — 161,5.

Ναβουθαί. — ὁ Ἰεζραηλίτης 72,12.
Ναζιραῖος 14,34.
Ναυάγιον 141,15.
Νεανίσκοι 128,10,11.
Νεανίσκος. — κατὰ τὴν ψυχὴν 128,4.
Νέοι 202,17,21. Ὁμιλία Μ. Βασιλείου πρὸς τοὺς —, ὅπως ἂν ἐξ ἑλληνικῶν ὠφελοῖντο λόγων 199,1 ἑξ.
Νεόπλουτοι 71,27.
Νεωτερισμὸς 78,40.
Νηστεία σελ. 11. σελ. 12. σελ. 14. σελ. 15. σελ. 16. σελ. 17. σελ. 18. 20,1. σελ. 21. σελ. 22. σελ. 23. σελ. 24. σελ. 25. σελ. 26. 80,1. 150,30. — ὅπλον κατὰ τῶν δαιμόνων 18,28 ἑξ. — τὸν ἀσκητὴν τῆς εὐσεβείας κρατύνει 21,24. Ἀληθὴς — 11,13 ἑξ. Ἀληθὴς — οὐ μόνον ἡ ἀποχὴ τῶν βρωμάτων, ἀλλ' ἡ τῶν κακῶν ἀλλοτρίωσις 19, 1 ἑξ. Ἀνάπαυσις ὑπηρετῶν καὶ — 16,11-24. Ἀρχαιογονία τῆς — 12,25. Ἀρχαῖον τῆς — 13,33 ἑξ. Ἐγκώμιον — 24,6 ἑξ. Λόγος Μ. Βασιλείου περὶ — 11,5 ἑξ. Νόμου πρεσβυτέρα ἡ — 12,21 ἑξ. Ὅτι ἡ — διαυγεστέραν ποιεῖ τὴν ψυχὴν 18,4 ἑξ. Ὅτι ἡ — εἰς πάντα χρόνον ὠφέλιμος ἐστὶ 21,29 ἑξ. Ὅτι τῶν βρωμάτων τὴν ἀπόλαυσιν ἡ — φαιδρύνει 16,26 ἑξ. Περὶ — λόγος Β' Μ. Βασιλείου 21,1 ἑξ. Περὶ τῆς προπαρασκευῆς διὰ τὴν — 23,15 ἑξ. Σημασία τῆς — διὰ τὴν ὑγείαν τοῦ σώματος 17,6 ἑξ. 25,23 ἑξ. Συνηλικιῶτις τῆς ἀνθρωπότητος ἡ — 12,27 ἑξ. Ὑγεία σώματος καὶ — 13,11-32.
Νινευῖται 18,13. 79,40.
Νοήμων 130,9,15. 131,3.
Νομοθεσία 38,12. 57,25.
Νόσος. Οὐκ ἀγέννητος ἡ —, οὔτε δημιούργημα τοῦ Θεοῦ 94,21 ἑξ.
Νυκτομαχία 19,14.
Νῶε 13,40. 14,3.

Ξενοφῶν. —, Ἀνάβασις 26 ὑποσμ. β. — Ἀπομνημονεύματα 202 ὑποσμ. β. 204 ὑποσμ. ζ.

Ὁδοιπόροι 21,35-36.
Ὀδόντες 37,1.
Ὁδός. — βασιλικὴ 32,6.
Ὀδύσσεια 201 ὑποσμ. α. 204 ὑποσμ. α. 210 ὑποσμ. β.
Ὀδυσσεὺς 201,16. 203,3.
Οἰκείωσις 22,18. 134,4.
Οἰκονομία 64,34. 111,37.
Οἰκοτρίβας 102,20.
Οἰκουμένη 21,33. 173,1. 234,16.
Οἶμος (=ὁδὸς) 116,28.
Οἰνόπληκτοι 147,9.
Οἶνος 57,19,21. 144,11,12. σελ. 145. σελ. 146. σελ. 147. σελ. 149.
Οἰνόφλυγες 57,14. 147,5,17.
Ὀλιγοψυχία 197,5.
Ὄλυμπος 206,15.
Ὅμηρος 202,34. 203,5. 207,3.

Ὁμοούσιον. — Πατρὸς καὶ Υἱοῦ 220,21.
Ὄνειρα 212,18.
Ὁρατὰ σελ. 224.
Ὀργὴ σελ. 100. σελ. 101. 102,10,26. 103,7. 104,25. 106,17,35. σελ. 107. 108,8. — Κυρίου 120,37. Διαφορὰ μεταξὺ — καὶ θυμοῦ 107,8-15. Ὁμιλία Μ. Βασιλείου κατὰ ὀργιζομένων 100,1 ἑξ. Περιγραφὴ ἀνθρώπου καταληφθέντος ὑπὸ — 101,22-102,4. Περὶ τοῦ πῶς δύναται ὁ ἄνθρωπος νὰ κατανικήσῃ τὸ πάθος τῆς — 107,16 ἑξ. Περὶ τρόπου ἀντιμετωπίσεως ἀνθρώπου καταληφθέντος ὑπὸ — 102,5 ἑξ.
Ὀργίζεσθαι. Περὶ τοῦ πῶς θὰ ἀποφύγωμεν τὴν ἐκ τοῦ — βλάβην 105,18 ἑξ.
Οὐρανὸς σελ. 98.
Ὀφθαλμοὶ 36,34.
Ὄφις 121,23,27.
Ὄφλημα. Δημόσιον — 136,27-28.
Ὀχήματα 68,24.

Παγκρατιστὴς 60,31.
Πάθη 132,11.
Παιδαγωγὸς 81,32.
Παιδεία 54,8. σελ. 120. σελ. 121. — Κυρίου 120,11,22. — παρὰ Θεοῦ 120,19. Περὶ τῆς — Κυρίου 120, 11 ἑξ. Περὶ τοῦ τί ἐστι — 119, 37 ἑξ.
Παῖδες. Τρεῖς — 15,18,27. 40,31.
Παίδευμα 129,24. 201,7-8. 210,23.
Παίδευσις 116,16. 121,10. 200,36.
Παιδοτρίβης 191,9.
Παῖς σελ. 127. σελ. 128.
Παλαιότης 158,1.
Παλαιστίνη 93,5.
Παλαίστρα 21,17. 191,10.
Πανδοχεῖα 69,18-19.
Πανήγυρις 85,19.
Πανουργία 126,32. σελ. 127.
Πανοῦργος σελ. 126.
Παράδεισος 96,19,40.
Παράδοσις 222,24. 230,35.
Παραίνεσις 129,1.
Παράκλητος 219,21,22. 224,28. σελ. 236.
Παραμέτρησις 219,10.
Παραπληξία 171,20.
Παράταξις 17,39-18,1. 21,6. 81,28. 137,12. 149,5-6. 177,20-21.
Παρείσδυσις 158,3.
Παρθενία σελ. 228. σελ. 230.
Παρθένοι 128,10.
Παρθένος σελ. 228. σελ. 229. σελ. 230.
Παροικία 41,18.
Παροιμία 92,7. 157,12.
Παροιμίαι 100,9. σελ. 116. 119,35. 121,18. σελ. 122. 123,4. 125,39. 129,23,31. — Σολομῶντος 116, 25. σελ. 117. Βίβλος — 128,21. Ὁμιλία Μ. Βασιλείου εἰς τὴν ἀρχὴν τῶν — 116,1 ἑξ. Περὶ τῆς σημασίας τῆς λέξεως — 116,25 ἑξ.
Πάσχα 150,18.
Πατέρες 221,15. 222,25. 235,28,29.
Πατὴρ 19,36. 115,19. 116,4. σελ. 153. 154,15,25. σελ. 159. σελ. 216. 217,14,29. σελ. 218. σελ. 219. σελ. 220. σελ. 221. σελ. 222. σελ. 224. 225,6. 226,8. σελ. 235. σελ. 236. σελ. 237. Ἀγέννητον ὁ — 222,27. Ἕτερον πρόσωπον ὁ — καὶ ἕτερον ὁ Υἱὸς 218,11 ἑξ. Ἑτερότης προσώπων — καὶ Υἱοῦ 219,15 ἑξ. Ἡ ἀγεννησία οὐσία τοῦ — 220,12. Ῥίζα καὶ πηγὴ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ὁ — 221,23-24.
Πατροφονία 123,13.
Παῦλος 17,27. 32,19. 40,9. 56,38. 108,8. 117,36. 120,23,39. 128,1. 155,5. 161,32. 173,9. 177,26. 182,23,37. 184,12. 192,4,16. 208, 28. 219,3. 235,38.
Παυσανίας 206 ὑποσμ. α.
Πειρασμὸς 82,39.
Πειρατήριον 58,4.
Πένης 22,14. σελ. 64. σελ. 71. 83,36. 213,35. — ἐστιν ὁ πολλῶν ἐνδεὴς 71,21 ἑξ. Συμπεριφορὰ κακὴ πρὸς τὸν — 194,8 ἑξ.
Πένθος 57,2,11.
Πενθοῦντες σελ. 55. Συμπεριφορὰ πρὸς τοὺς — 55,26 ἑξ.
Πενθῶν 44,25.
Πενία 104,19. 194,17. 213,22.
Πεντεφρῆς 86,18.
Πεντηκοστὴ 150,18,19.
Περικάρδιον 41,30-31.
Περικλῆς 204,25,28. 205,14.
Περιτομὴ 134,35.

Περιφάνεια 115,1.
Περιχαρεία 46,12. 135,28. 139,24-25. 167,41.
Περσικόν. — ἔθνος 231,4.
Πέτρος σελ. 155. 170,28. 183,20,33.
Πιθανολογία 157,2-3.
Πίστις. Ἡ ὁμολογία τῆς — 222,3,7. Ὁμιλία Μ. Βασιλείου περὶ — 152, 1 ἑξ.
Πιττακὸς 207,4.
Πλάτων 204,19. 208,27,41. 210 ὑποσμ. α. β. — Γοργίας 204 ὑποσμ. γ. δ. — Νόμοι 201 ὑποσμ. β. — Πολιτεία 199 ὑποσμ. β. 200 ὑποσμ. α. β. γ. 202 ὑποσημ. β. γ. 204 ὑποσμ. α. β. γ. στ. ζ. 206 ὑποσμ. α. 208 ὑποσμ. α. — Πρωταγόρας 204 ὑποσημ. γ.
Πλέθρα 190,19.
Πλεονέκτης 59,23. 62,17. 63,37,39. σελ. 72.
Πλεονεξία 59,12. 62,40. 63,29. 64, 18,36. 74,16. 81,4. 85,2. 180,17. Ὁμιλία Μ. Βασιλείου περὶ — 58, 1 ἑξ.
Πλούσιος 17,3,10. 22,9. 58,17,22. 59,21. 64,27. 71,35. 82,7. 194, 21. 213,21,38. — ἐνώπιον τοῦ δικαστηρίου τοῦ Χριστοῦ 73,5 ἑξ.
Πλούταρχος 200 ὑποσμ. γ. — Βίος Ἀλεξάνδρου 205 ὑποσμ. β. — Βίος Περικλέους 204 ὑποσμ. η. — Βίος Σόλωνος 203 ὑποσμ. α. — Περὶ παίδων ἀγωγῆς 205 ὑποσμ. α. — Περὶ τῆς Ἀλεξάνδρου τύχης 205 ὑποσμ. β. —, Περὶ φυγῆς 211 ὑποσμ. α. — Συμποσιακὰ προβλήματα 201 ὑποσμ. β.
Πλοῦτος σελ. 58. 59,24. 60,40. σελ. 62. σελ. 67. σελ. 68. σελ. 69. 70, 29. 71,9. 72,27. σελ. 74. 75,37. 76,17,29. 81,4,15. 114,29. 190, 17,33. 191,35. 192,32. 193,37. 209,23,33. 210,6. σελ. 213. Ἄδηλον τὸ μέλλον τοῦ — 69,5 ἑξ. Ἀκόρεστον τοῦ — 71,21 ἑξ. Ἀφορμὴ πλεονεξίας ὅτι ἀναγκαῖός ἐστιν ὁ — διὰ τὰ τέκνα 74,15 ἑξ. Ὅτι σκορπιζόμενος ὁ —, καθ' ὃν ὁ Κύριος ὑποτίθεται τρόπον, πέφυκε παραμένειν· συνεχόμενος δέ, ἀλλοτριοῦσθαι 68,6 ἑξ. Οὐράνιος — 131,24. Περὶ διανομῆς τοῦ — εἰς τοὺς πτωχοὺς μετὰ τὴν τελευτὴν τοῦ βίου 75,5 ἑξ. Περὶ τῆς φύσεως τοῦ — 73,34 ἑξ. Τοῦ — τὸ μὲν στάσιμον ἄχρηστον, τὸ δὲ κινούμενον καὶ μεταβαῖνον κοινωφελὲς καὶ ἔγκαρπον 62,32 ἑξ.
Πλουτοῦντες. Ὁμιλία Μ. Βασιλείου πρὸς τοὺς — 66,1 ἑξ.
Πλωτῆρες 21,36.
Πνεῦμα. — Ἅγιον 18,24. 19,39. 27,2. 28,20. 30,6. 32,16. 35,7. 57,29. 108,4. 114,7,13. 115,19. 116,4. 132,28. 134,11. σελ. 135. 139,23. 150,19,22. 153,16. σελ. 154. σελ. 155. σελ. 156. 157,4. 159,31. 164,29. 167,5,11. 173,12. 182,35. 216,30,31. 219,24. σελ. 221. σελ. 222. σελ. 223. σελ. 224. σελ. 225. σελ. 228. 229,7,8. 230, 16. 235,30,33. σελ. 236. — ἐκ Πατρὸς ἐκπορεύεται 222,30. — Θεοῦ 183,15. Ἄγνωστος ὁ τρόπος ὑπάρξεως τοῦ — 223,8-10. Εἰ κτιστόν ἐστι τὸ —, οὐ θεῖον 225,2. Ἐκ τοῦ Πατρὸς ἐκπορεύεται τὸ — 224,25-26. Ἐν ἐστι τὸ ἀληθινῶς — 224,22. Οἱ χωρίζοντες Πατρὸς καὶ Υἱοῦ καὶ τῇ κτίσει συναριθμοῦντες τὸ — ἀτελὲς ποιοῦσι τὸ βάπτισμα 222,6-7. Ὁ μὲν Υἱὸς ἐξῆλθεν ἐκ τοῦ Πατρὸς γεννητῶς, τὸ δὲ — ἀρρήτως ἐκ τοῦ Θεοῦ 224,26-27. Ὅτι διάνοια ἡ δυνηθεῖσα τῶν ὑλικῶν παθῶν καθαρεῦσαι ὄψεται τὸ — 154,11 ἑξ. Οὐ κτίσμα τὸ — 223,15. Οὐ τὸ αὐτὸ πρόσωπον ὁ Χριστὸς καὶ τὸ — 221,21. Τὸ — πάντας φωτίζει πρὸς τὴν τοῦ Θεοῦ κατανόησιν 154,37 ἑξ. Ὡς Πατὴρ εἷς καὶ Υἱὸς εἷς, οὕτως ἓν καὶ τὸ — 154,26.
Ποιηταὶ 200,23. 201,11,21. 202,14. 204,23.
Ποιητικὴ 121,10,12.
Ποιμαντικὴ 32,10. σελ. 214. Ἀδελφὴ βασιλείας ἡ — 214,10,16.
Ποιμένες. Μισθωτοὶ — 214,35,39.
Ποιμὴν σελ. 213. σελ. 214. — ὁ καλὸς σελ. 214. Μισθωτὸς — 214,35.
Πολίτευμα 39,18. 140,20.
Πολίτης 173,1.
Πολιτογραφοῦμαι 140,18.
Πολύδακρυ 43,35.
Πολυδάμας 206,10.

Πολύκλειτος 209,37.
Πονηρία. Πάνδημος — 92,29.
Πορνεία 123,31. 125,6,8. 193,8.
Πορνοβοσκὸς 123,32.
Πρατήριον 61,18.
Προαγὼν 20,8.
Προαίρεσις 60,10. 93,11. 95,28. 96, 2,7. 123,36. 126,11.
Προβόλαιον 22,38.
Προθεσμία 64,1.
Προπόλεος. — κόσμος 164,9.
Προσεδρεία 94,29.
Προσευχὴ σελ. 49. σελ. 79. 82,9. — εὐχαριστήριος 50,26 ἑξ. 53, 23 ἑξ. Περὶ τῆς ἀδιαλείπτου — 49, 26 ἑξ.
Πρόσταγμα 38,36. 41,9. 166,10.
Προτέμνισμα 48,39.
Προτίμησις 115,5.
Προφῆται 227,4.
Πρωτολογία 186,8.
Πρωτότοκος 230,31.
Πρωτότυπον 226,13.
Πτωχοὶ 71,10.
Πτωχὸς 34,15,17.
Πυθαγόρας 205,24. 208,11,38.
Πύθιος. — ὁ Μυσὸς 209,30.
Πύκτης 32,21.
Πῦρ 223,30,32. σελ. 227. — φύσις 178,6.
Πωλοδάμνας 23,40. 56,19.

Ραὰβ 127,12.
Ραστώνη 207,8.
Ραχὴλ 127,12.
Ραψῳδῶ 144,22.
Ρεβέκκα. Πανουργία — 127,11.
Ρήτορες 200,24.
Ρητορικὴ 121,13.
Ροδωνιὰ 202,8.
Ρωμαῖοι 181,39.

Σαβαὼθ 25,4.
Σάββατον 16,10.
Σαβελλιανοί. Ὁμιλία Μ. Βασιλείου κατὰ — καὶ Ἀρείου καὶ τῶν Ἀνομοίων 217,1 ἑξ.
Σαβέλλιος 217,8. 218,22. 219,34.
Σαλωμὼν 117,10,12.
Σαμαρείτης 104,23.
Σαμουὴλ 14,23. 25,3. 106,33. 161,6.
Σαμψὼν 14,25. 25,7. 165,3.
Σαοὺλ 41,22. 106,34. 110,34,40. 183,14.
Σαρδανάπαλος 206,40.
Σὰρξ 39,25. Φρόνημα τῆς — 133,16.
Σατὰν 8,5.
Σατανᾶς 96,6. σελ. 98. 120,23. 183, 31. Πόθεν — προσηγόρευται 98, 2 ἑξ.
Σειρῆνες 201,17.
Σελευκὶς 71,41.
Σέλινον. Στέφανος — 206,35.
Σεμεεὶ 104,40. 105,2.
Σίδηρος σελ. 227.
Σιδωνία 166,35. Χήρα τῆς — 84,9.
Σίκερα 147,35,38. 149,26.
Σίμβλον 164,3,8.
Σίμων 183,31.
Σιτοδεία 61,3.
Σιτοδοχεῖα 61,4. 63,28.
Σιτοποιὸς 17,25.
Σκότωσις 108,1.
Σκύθης 112,16.
Σμύρνα 232,4,11.
Σόδομα 91,31.
Σολομὼν 56,25. 57,6. 64,8. 98,5. 112,14. 116,12,25. 117,15. 119, 11. 120,28,32. 124,14. 125,15. 133,3. 164,15. 187,12. — υἱὸς 180,38. Παροιμίαι — 116,25. σελ. 117.
Σόλων 203,12. 203 ὑποσμ. α. 209, 22. 209 ὑποσμ. β.
Σουναμίτις 15,9.
Σοφία σελ. 117. σελ. 118. σελ. 119. σελ. 129. 181,13. — Αἰγυπτίων 121,5. — ἀνθρωπίνη σελ. 182. — ἀπὸ Θεοῦ 182,18. — Θεοῦ 117,38. — κόσμου 117,41. — παρὰ Θεοῦ 181,15. — τοῦ κόσμου 213,16. — Χαλδαίων 201,7. Ἀληθινὴ — 129,28. Θύραθεν — 201, 1. Κοσμικὴ — 181,24. Περὶ τῆς ἀνθρωπίνης — 118,17 ἑξ.
Σοφιστικὴ 121,13.
Σοφοὶ σελ. 129.
Σοφὸς σελ. 129. 130,7.
Σπάρτος 202,12.
Στοιχείωσις 157,16.
Στρατηγὸς 21,6. 163,22.
Στρατόπεδα 21,35.
Συγγραφεῖς 202,15. 204,24.
Συμεὼν 52,24. 233,31.
Συμμελανειμονῶ 56,1.
Συμμεριστὴς 64,17.
Συμποσίαρχος 148,13.
Συναγέννητος 236,22.

Συνάλλαγμα 67,24. 85,19.
Συναλλάκτης 57,16.
Συνασπισμὸς 177,22.
Συνέμπορος 22,20.
Σύνεσις 139,29.
Συνηγορία 43,28.
Σύνταγμα 86,2. 178,39.
Σύροι. Ἄδερ βασιλεὺς τῶν — 98,5.
Σύστασις 29,26.
Σύστημα 86,39. 172,20.
Σχίσμα σελ. 215.
Σωκράτης σελ. 205. 209,34.
Σῶμα 191,19. σελ. 207. σελ. 208. σελ. 209. Ἀνάστασις — 87,12. Ἡ ἁγαν ἐπιμέλεια τοῦ — πρὸς τὴν ψυχὴν ἐμπόδιόν ἐστι 209,5-8. Ἡδοναὶ — 209,10. Κατασκευὴ — 36,22-37,9. Πάθη — 207,19,21.
Σωτὴρ 194,35. 195,10. 232,30.
Σωφρονίσκος 205,4.
Σωφροσύνη σελ. 125.

Τάγμα. — στρατιωτικὸν 170,17.
Τακτικὰ 21,17.
Ταμεῖον 19,26.
Ταμιεῖον 28,6. 136,41.
Ταξίαρχος 97,35.
Ταπεινότης σελ. 185.
Ταπεινοφροσύνη 107,17. 184,9. σελ. 185. 186,25,29. — τοῦ Κυρίου 185,7 ἑξ. Ὁμιλία Μ. Βασιλείου περὶ — 180,1 ἑξ.
Ταυτότης 216,11,15.
Ταχυνακτῶ 45,24.
Τειχίον 43,41.
Τελείωσις 116,21-22.
Τελώνης 183,37,39.
Τεραστικόν. — σημεῖον 229,39.
Τεσσαράκοντα Μάρτυρες. Ὁμιλία Μ. Βασιλείου εἰς τοὺς ἁγίους — 172, 1 ἑξ.
Τέχνη 97,24.
Τεχνικός. — λόγος 158,17.
Τιθωνὸς 210,32.
Τιμιουλκῶ 61,4.
Τιμόθεος 206,19.
Τόκοι 16,24-25. 80,41. 84,19.
Τολύπη 15,12.
Τραπεζοποιὸς 207,21-22.
Τριὰς 154,24. 221,33. 222,8. 235, 30. Πίστις εἰς — 136,1.
Τρυφὴ 191,36.
Τύραννος 166,5.

Ὕβρεις. — γραφαὶ 72,32.
Ὕδωρ 223,30,32.
Υἱοθεσία. Πνεῦμα — 222,34.
Υἱὸς 120,31. σελ. 153. 154,15,26. σελ. 159. 215,35,39. σελ. 216. 217,24,29. σελ. 218. σελ. 219. σελ. 220. σελ. 221. σελ. 222. σελ. 224. 226,8,23. σελ. 235. σελ. 236. σελ. 237. — γέννημα τοῦ Πατρὸς ἀνενδεὲς 221,25. — Ὁμοούσιος πρὸς τὸν Πατέρα σελ. 216. 219,36 ἑξ. Γεννητὸν ὁ — 222,27. Εἰκὼν ἀπαράλλακτος τοῦ Πατρὸς ὁ — 220,20 ἑξ. Εἷς ὁ μονογενὴς — καὶ Θεὸς 236,22. Ἕτερότης προσώπων Πατρὸς καὶ — 219,15 ἑξ. Ἡ γέννησις οὐσία τοῦ — 220,12-13. Ἰσότης τοῦ — πρὸς τὸν Πατέρα 219,2 ἑξ. Ὁ τῆς τοῦ — κατηξιωμένος κοινωνίας οὐκ ἀποστέρηται τοῦ Πατρὸς 218,18 ἑξ. Οὐ δέχεται τὴν εἰς αὐτὸν τιμὴν ὁ — ἀθετουμένου τοῦ Πνεύματος 224, 28-29. Περὶ τῆς θεολογίας τοῦ — τοῦ Θεοῦ 156,32. Ταυτότης οὐσίας — πρὸς τὸν Πατέρα 219,29 ἑξ.
Ὑπερηφανία 180,22. 182,29. 184,4. 185,3,31.
Ὑπερορία 235,4.
Ὕπνος σελ. 50.
Ὑποβρύχιος 93,31.
Ὑπόθεσις 47,5. 49,27. 50,9.
Ὑποικουρῶ 11,26.
Ὑπόκρισις. Καρπὸς τοῦ φθόνου ἡ — 115,8 ἑξ.
Ὑπόμνησις 172,22-23.
Ὑπομονή. — μαρτύρων 177,1.
Ὑπόστασις 220,32,33.
Ὑποστροφαὶ 17,8.
Ὑποφώνησις 130,7.

Φαίακες 202,39. 203,2,8.
Φαραὼ 93,4,7. 111,32. 135,12. 181, 27. 214,3.
Φαρισαῖοι 214,38. Ἀλαζονεία — 66,12.
Φαρισαῖος 183,35.
Φειδίας 209,37.
Φθονερός. Περιγραφὴ — ἀνθρώπου 113,5 ἑξ.
Φθόνος σελ. 109. σελ. 110. 111,12. σελ. 112. 114,31. 115,9. — ἀδελφῶν Ἰωσὴφ 111,21 ἑξ. — Ἰουδαίων ἐναντίον Σωτῆρος 111,35

ἑξ. Καρπὸς τοῦ — ἡ ὑπόκρισις 115, 8 ἑξ. Λύπη ἐστὶ τῆς τοῦ πλησίον εὐπραγίας ὁ — 109,15 ἑξ. Ὁμιλία Μ. Βασιλείου περὶ — 109,1 ἑξ. Ὅτι ἀδελφοκτόνος ἐστὶν ὁ — 110, 23 ἑξ. Ὅτι θεομάχος ἐστὶν ὁ — 110,20 ἑξ.
Φιλαδελφία 86,16.
Φιλανθρωπία 193,31.
Φιλάνθρωπον 193,17-18.
Φιλαργυρία 64,10. 86,16.
Φιλάργυρος 72,3.
Φιλόζωος 141,40. 177,13.
Φίλοινοι 57,14.
Φιλόλυπος 42,37. 43,29.
Φιλοπευθὲς 43,35.
Φιλοπλουτία. Πάθος — 66,21.
Φιλόπλουτος 76,15. — γυνὴ 70,7.
Φιλόσοφοι 202,15.
Φιλοχρηματία 62,6. 76,13-14.
Φιλόχρυσοι 70,24.
Φινεὲς 106,28. 151,7.
Φόβος 19,9. — Θεοῦ 119,25. 125,8. — Κυρίου σελ. 119. Θεῖος — 119, 33. Ὅτι καθάρσιον ψυχῆς ἐστιν ὁ — Κυρίου 119,18 ἑξ.
Φόνος 110,24,25.
Φορολόγος 16,18. 24,26.
Φρόνησις σελ. 121. 181,13.
Φρύγες 206,16.
Φρύγιον (μέλος) 206,24.
Φρύγιος. — λίθος 68,40.
Φυλέτης 140,19.
Φυσιολογία 116,18.
Φύσις 97,23. Ἄκτιστος — 153,16. Θεία — 153,11.

Χαλδαῖοι 15,26. 121,8. Σοφία — 201,7.
Χειραγωγία 35,36.
Χειροήθης 105,35.
Χορὸς 204,14,15.
Χοροστασία 153,7.
Χρήματα σελ. 180. — ἐκβληθέντα καλῶς οὐκ ἀπόλλυται τοῖς ἐκβαλοῦσι 193,12.
Χριστιανισμὸς 217,3.
Χριστιανοὶ 139,38. 148,34. 167,14. 173,38. 174,8. 178,10. 217,17. Κοινοκτημοσύνη — 86,2.
Χριστιανὸς 134,17. 174,1. 177,17. 213,36. 282,1.
Χριστοκτονία 182,1.
Χριστομάχος 157,36.
Χριστὸς 12,3. 20,12. 21,13. 27,10. 32,7,28. 39,23. 41,8,17. 44,29,36. 46,22. 47,35. 48,2,19. 56,39. 57,30. 76,30,35. 86,25. 91,19. 98,25. 99,7. 108,12. 115,18. 121, 39. 129,29. 133,19. 134,10,30. 135,11. 136,17. 140,27. 142,33. 143,33,35. 151,8. 155,23. 160, 3,27. 161,21. 163,9,32. 166,9. 168,26. σελ. 170. 171,7. 173,22, 34. 175,40. 177,29. 179,11. σελ. 182. σελ. 183. 184,19. 186,16,28. 187,33. 188,7. 195,1. 215,17. σελ. 221. σελ. 222. σελ. 224. 225, 7. 232,5,30. 233,39. 237,11. Γέννησις — 226,2,3. Δικαστήριον — 235,25. Δωρεὰ — 185,29. Ἔνδοξος τοῦ — παρουσία 73,26. Ἐν — ζωὴ 182,31. Ἡ ἀληθὴς δικαιοσύνη ἐστὶν ὁ — 124,10. Μαρτύρια ὑπὲρ — 165,34. Ὁμιλία Μ. Βασιλείου εἰς τὴν Ἁγίαν τοῦ — Γέννησιν 226,1 ἑξ. Παρουσία — 227, 35. Πρόβατον — 177,10. Στρατιώτης — 140,20. Τὸ τοῦ — δικαστήριον 73,5.
Χρόνος. Τμήματα — 189,3.
Χρυσὸς 232,3,11.
Χωρὴβ 14,39. Ὄρος — 166,36. 214,4.

Ψαλμοὶ 168,32.
Ψαλμὸς 106,15.
Ψαλμῳδὸς 86,37. 123,25.
Ψυχὴ 35,27,30. σελ. 36. 87,13. 94, 27,28. σελ. 129. 191,18. σελ. 200. σελ. 207. σελ. 208. 209,6. — ἀνανδρος 44,3. — τιμιωτέρα σώματος 200,12. Ἀκυβέρνητος — 131, 11. Ἄλυπον τῆς — 46,10. Ἀπροσεξία — 131,36. Ἀφὴ τῆς — 129,4. Γεῦσις τῆς — 129,2. Ἐπιμέλεια — 207,16. Εὐήκοον τῆς — 128,31. Θεοῦ ἄγνοια θάνατός ἐστι — 133,24. Κάθαρσις — 208, 3. Ὅρασις τῆς — 128,37. Παιδικὴ κατάστασις τῆς — 127,39. Περὶ τῆς φροντίδος διὰ τὴν — 30, 25 ἑξ.

Amand de Mendieta 226 ὑποσμ. 234 ὑποσμ.

Boulenger F. 199 ὑποσμ.

Cicero. — De divinatione 204 ὑποσμ. α.

Courtonne Yves 58 ὑποσμ. 66 ὑποσμ.

Diehl 209 ὑποσμ. β.

Migne J. P. 11 ὑποσμ. 226 ὑποσμ. 234 ὑποσμ.

Garnier J. 11 ὑποσμ.

Rudberg Stig 28 ὑποσμ.

Εἰς τὸν καταρτισμὸν τῶν Πινάκων μετὰ τοῦ Ἀρχιμ. Παντελεήμονος Μπεζενίτη, συνειργάσθη καὶ ὁ κ. Παναγιώτης Γ. Νικολόπουλος, Διδάκτωρ Φιλοσοφίας. Εἰς τὰς διορθώσεις ἐβοήθησεν ἡ κ. Πολυτίμη Κατσίκα-Τζέρπου, Θεολόγος.